mine antiquitus appellati sunt. de iis quae in ignobili quodam Thraciae oppido Petro et incolis acciderunt, utque Sclavorum praefectus Piragastus sit interfectus. de militum Romanorum virtute, licet aquarum ingenti penuria premerentur. Petro a Sclavis pugna superato Priscus iterum belli imperator delectus est. obitus Ioannis cognomento ieiunatoris, patriarchae Constantinopolitani, deque mutuo a Mauricio imperatore accepta pecunia datoque aeris accepti confessique chirographo; quantoque in pretio vere pius Augustus ille relictas a praesule post mortem pannosas vestes habuerit. de Maurusiorum adversus Carthaginem expeditione, utque Gennadii fortitudine bellum illud extinctum sit. de Cometa, qui dies complures visus est. de intestino apud Turcas et civili bello: accessit de eorumdem republica narratio. ut Turcarum Chaganus Ephthalitarum principe interfecto totam eam gentem subegerit: ut Agarenorum ad haec et Colchorum gentem trecentorum millium strage caeciderit, utque insurgentem adversus se Turum interfecerit, quo nomine victoriae nuntiam epistolam Mauricio imperatori scripserit. idem Abaros quoque sub iugum victos misit. refert et de gentibus quae Taugast incolunt, et de Mucri, in quas devicti Abari dispersi sunt. item de Var et Chuni, quorum pars magna iam inde ab Iustiniani temporibus

τῶνδε τῶν ἐθνῶν ἐνδημεῖ τῇ Εὐρώπῃ, οἳ καὶ Ἀβάρους ἑαυτοὺς ἐπεφήμισαν. καὶ ὡς ἡ Τούρκων χώρα σεισμοῦ καὶ λοιμοῦ ἀπείρατος. περί τε τοῦ χρυσοῦ λεγομένου ὄρους, καὶ περὶ τῆς Ταυγάστ, περί τε τῶν σκωλήκων τῶν τικτόντων τὴν ἐσθῆτα τὴν Σηρικήν, καὶ ὡς πολλή ἐστι περὶ τὴν λεγομένην Χουβδὰν ἡ τῆς μετάξης γένεσις, καὶ τὰ περὶ αὐτὴν νόμιμα. καὶ περὶ τῶν Ἰνδῶν τῶν λευκῶν τὸ σῶμα. διάλεξις πρὸς τὸν Πρίσκον Χαγάνου περὶ ἀνδραποδισμοῦ τῆς Σιγγιδόνος, καὶ ἀντιλογία Πρίσκου πρὸς αὐτόν, καὶ ὅπως ὁ Πρίσκος Σιγγιδόνα σώζει τὴν πόλιν. ὅσα τε κατὰ Δαλματίαν οἱ βάρβαροι διεπράξαντο καὶ πόλεις ἐπόρθησαν, ὅπως τε ὁ Γουνδουῒς παρὰ Πρίσκου σταλεὶς κατὰ τῶν ἐν Δαλματίᾳ βαρβάρων ἠρίστευσεν. ὅτι τῷ ἐννεακαιδεκάτῳ ἔτει τῆς βασιλείας Μαυρικίου προαγορεύει μοναχός τις τὸν αὐτοῦ θάνατον καὶ τῶν τέκνων· ξίφος γὰρ γυμνώσας, ἀπὸ τοῦ φόρου μέχρι τῶν προαυλίων τῶν ἀνακτόρων διαδραμών, αὐτόν τε Μαυρίκιον καὶ τὰ τέκνα ξίφει τεθνάναι προηγόρευσεν. ἀλλὰ καὶ Ἡρωδιανός τις τῷ βασιλεῖ διεῖπε τὰ συμβησόμενα. περὶ τοῦ συμβάντος λιμοῦ τοῖς στρατεύμασι, καὶ ὡς ὁ Χαγάνος παραδόξῳ φιλανθρωπίᾳ πενθημέρους σπονδὰς τοῖς λιμώττουσιν ἔθετο, ὡς ἂν ὁ ἐπισιτισμὸς ἀπὸ τῶν βαρβάρων τοῖς Ῥωμαίοις ἀδεὴς ἔσοιτο· καὶ ὡς ἀρώμασιν ὑπὸ Πρίσκου φιλοτιμηθεὶς ἐπὶ τὰ κατὰ Μυσίαν ἐχώρησεν. ὡς συνῆψεν ὁ Χαγάνος περὶ τὴν Μυσίαν πρὸς Κομεντίολον μάχην, ἐπιβουλῇ δὲ Κομεντιόλου διαφθείρεται ὑπὸ

in Europa sedes habent, Abarosque se nominarunt. Turcorum regionem terraemotui ac pesti minime obnoxiam. de monte qui Aureus sit dictus, ac de ipsa urbe Taugast. de bombycibus, qui ex se vestes gignunt sericas, et quod serici ingens gignatur ad Chubdam urbem, quam appellant, copia, quaeque in illis vermibus glomerandis fieri solita. de Indis, qui candido sunt corpore. disceptatio Chagani cum Prisco de Singidonensibus in servitutem abducendis, Priscique contraria sententia, utque eam urbem Priscus servarit. quae per Dalmatiam barbari gesserint, quasque urbes everterint. quomodo Gundoes a Prisco adversus barbaros in Dalmatiam missus res fortiter gesserit. undevicesimo imperii Mauricii anno monachus quidam mortem illi liberisque eius praedixit: stricto enim gladio a foro ad palatii vestibulum procurrens Mauricium una cum liberis ferro occisum iri denuntiat. quin et Herodianus quidam imperatori eventura praenuntiavit, famem scilicet illam, quae post in castris orta. ut incredibili Chaganus humanitate esurienti exercitui quinque dierum indutias concesserit, quibus absque metu barbarorum commeatus annonaque ferretur Romanis, utque vicissim a Prisco donis honoratus in proxima Mysiae loca discesserit. in Mysia Chaganus cum Comentiolo signis collatis conflixit, perfidiaque Comentioli Romanorum exercitus, clade accepta, caesus a barbaris est, fuga interim

τῶν βαρβάρων τὸ Ῥωμαϊκόν. καὶ φεύγει Κομεντίολος, καὶ πρὸς Δριζίπερα τὴν πόλιν παραγίνεται, καὶ ἀποπέμπεται τῆς πόλεως ὡς φυγάς, καὶ πρὸς τὰ μακρὰ παραγίνεται τείχη. οἱ δὲ βάρβαροι κατόπιν ἰόντες πρῶτον τὰ Δριζίπερα αἱροῦσι, καὶ τὸν Ἀλεξάνδρου τοῦ μάρτυρος ἐμπρήσαντες νεὼν καὶ τὸ σῶμα τῆς θήκης ἐκσύραντες ὕβρισαν. θεία δὲ δίκη μετῆλθε τοὺς ὑβριστὰς τοῦ μάρτυρος· ἑπτὰ γὰρ παῖδες τοῦ Χαγάνου ἐν ἡμέρᾳ μιᾷ βουβῶσι περιληφθέντες ἐτελεύτησαν. Κομεντίολος δὲ μετὰ τῶν θορύβων ἐνδημεῖ τῇ Κωνσταντινουπόλει, οἱ δὲ βάρβαροι τοῖς μακροῖς πλησιάζουσι τείχεσι. καὶ οἱ τοῦ Βυζαντίου ἐπὶ τοσοῦτον ἔδεισαν ὡς καὶ καταλιπεῖν Εὐρώπην καὶ πρὸς τὴν Ἀσίαν περαιωθῆναι διεμελέτησαν. πρεσβεύεται δ᾽ οὖν ὅμως ὁ βασιλεὺς πρὸς τὸν Χαγάνον δι᾽ Ἁρμάτωνος, καὶ δώροις λαμπροῖς καὶ προσθήκαις χρυσοῦ χιλιάδων εἴκοσι πείθει μόλις τὴν εἰρήνην δέξασθαι, λέγοντα "κρίναι ὁ θεὸς ἀνὰ μέσον Χαγάνου καὶ Μαυρικίου καὶ ἀνὰ μέσον Ῥωμαίων καὶ Ἀβάρων." περὶ τῶν φανέντων ἀνθρωπομόρφων τεράτων ἐν τοῖς Νειλῴοις ὕδασι, καὶ περὶ τῆς τοῦ Νείλου ἀναβάσεως δόξαι διάφοροι. ὁ δὲ συγγραφεὺς Ἀγαθαρχίδου τοῦ Κνιδίου τῇ δόξῃ προστίθεται· φησὶ δὲ οὗτος ἀν᾽ ἔτος ἕκαστον ἐν τοῖς κατὰ τὴν Αἰθιοπίαν μεγάλους καὶ συνεχεῖς γίνεσθαι ὄμβρους ἀπὸ θερινῶν τροπῶν μέχρι τῆς ἰσημερίας τῆς ἐν τῷ μετοπώρῳ γινομένης καθ᾽ ἕκαστα· εὐλόγως οὖν τὸν Νεῖλον ἐν μὲν τῷ χειμῶνι συστέλλεσθαι, κατὰ φύσιν ἔχοντα ῥύσιν ἀπὸ μόνων τῶν ἑαυτοῦ πηγῶν, κατὰ δὲ τὸ θέρος διὰ τοὺς

elapso Comentiolo: quem ad Driziperam urbem delatum cives ut transfugam repellunt: quare inde ad muros longos, quos vocant, ille se recepit. barbari porro pone insequentes Driziperam capiunt, et Alexandri martyris templo incenso corpus capsa extrahentes contumeliis afficiunt. verum divina mox ultio martyris est violatores consecuta. septem enim Chagani filii una die, inguinum morbo correpti, perierunt. Comentiolus in his turbis Constantinopoli haeret, barbaris interim ad muros longos propius accedentibus. unde tantus Constantinopolitanos terror invasit, ut de Europa deserenda et in Asiam transmittendo deliberarint. legationem itaque extemplo imperator per Armatonam ad Chaganum mittendam censuit, splendidisque muneribus et viginti millium auri pondo accessione pacem aegre redemit: dicente illo: "iudicet deus Chaganum inter et Mauricium: Romanos item inter ac barbaros." de monstris humana forma in Nilo flumine visis: deque Nili incremento atque eluvione variae discrepantesque sententiae. hic vero scriptor Agatharcidi Gnidio assentitur. quotannis enim ille ait in Aethiopiae locis magnos continentesque coeli imbres decidere ab aestivo solstitio ad usque autumni aequinoctium. Non sine causa itaque angustius hieme Nilum fluere, quod suas duntaxat e fontibus suapte natura natas vehat undas; at aestate, decur-

ἐκεῖθεν ἐκχεομένους εἰς αὐτὸν ὄμβρους λαμβάνειν τὴν αὔξησιν. ταῦτα μὲν καὶ ὁ ἕβδομος.

8. Ὁ δὲ ὄγδοος λόγος διαλαμβάνει ὅπως ὁ Χοσρόης διὰ τὰς ἐπιδρομὰς τῶν Σαρακηνῶν τῶν ὑπὸ Ῥωμαίοις ταττομένων λῦσαι τὰς σπονδὰς ἐνεχείρησε, Γεωργίου δὲ πρὸς αὐτὸν σταλέντος αἱ σπονδαὶ μεμενήκασι· καὶ Γεώργιος ἀτιμάζεται ὡς εἰπόντος Χοσρόου διὰ Γεώργιον ἀλύτους τηρεῖν τὰς σπονδάς, ἀλλ' οὐ διὰ τὸν βασιλέα Μαυρίκιον. ὅπως τε Κομεντίολος προδοσίας κρίνεται, καὶ διαλλαγαὶ τῶν Ῥωμαϊκῶν στρατευμάτων πρὸς αὐτόν, καὶ ὅπως αὖθις ὑπὸ τοῦ αὐτοκράτορος στρατηγὸς στέλλεται. μάχη Ῥωμαίων καὶ Ἀβάρων στρατηγοῦντος Πρίσκου καὶ Κομεντιόλου, καὶ Κομεντιόλου μὲν ἀπομάχου διά τινας προσποιήσεις ὄντος Πρίσκου δὲ τῷ στρατοπέδῳ παρόντος ἀριστεία Ῥωμαίων καὶ ἀναίρεσις τῶν Ἀβάρων μέχρι τεσσάρων χιλιάδων. δευτέρα μάχη, καὶ ἀναίρεσις τῶν αὐτῶν ἄχρι χιλιάδων θ'. τρίτη μάχη, καὶ ἔτι τῶν αὐτῶν ὄλεθρος μέχρι πεντεκαίδεκα χιλιάδων. τετάρτη μάχη, καὶ νίκη πάλιν Ῥωμαίων λαμπρά, καὶ ἀναίρεσις Ἀβάρων ἅμα Γηπαίδων χιλιάδων λ'. πέμπτη μάχη, καὶ νίκη Ῥωμαίων, καὶ ἀναίρεσις Ἀβάρων, καὶ ἅλωσις τῶν μὲν ζωγρηθέντων Ἀβάρων τρισχιλίων, ἄλλων δὲ βαρβάρων τετρακισχιλίων, καὶ ἑτέρων δισχιλίων καὶ διακοσίων, καὶ Σκλαβήνων χιλιάδων ὀκτώ· ἐξ ὧν ὁ Χαγάνος ἀπατήσας τὸν αὐτοκράτορα τοὺς ζωγρη-

rentibus in Nilum ex Aethiopia imbribus, crescere nimium quantum atque augeri.

8. Octavus haec fere complectitur. Chosroen ob illorum Saracenorum, qui Romanis parebant, incursiones rumpere inducias conatum: Georgii tamen legatione persuasum foedus sartum tectum servasse: Georgium vero Caesaris indignationem incurrisse, quod Chosroes dixisset se Georgii potissimum gratia, non imperatoris Mauricii causa, ratam pacem fecisse, ut Comentiolus proditionis reus actus, mox Romanorum sibi militum animos duci licuit, atque eam ob rem dux iterum exercitus ab imperatore creatus sit. Romanorum pugna commemoratur et Abarorum Prisco et Comentiolo ducibus: Comentiolo tamen nescio quid causante et a pugna abstinente, Prisco vero copias ducente. militum Romanorum fortitudo et Abarorum caedes quatuor millium. praelium item alterum, eorundemque Abarorum millium novem strages. tertia pugna cum quindecim millium clade Abarorum. quartum rursum praelium illustrem Romanis victoriam concessit, caesis ad internecionem Abarorum et Gepaedum triginta millibus. quinta in pugna penes Romanos victoria quoque stetit: caesi captique Abari, ac vivi quidem in potestatem venere ad tria millia, caeterorum barbarorum quatuor, aliorum ad haec duo millia et ducenti, et Sclavorum octo millia. postea tamen Chaganus decepto Mauricio imperatore vivos Abaros recepit. de Comentioli

θέντας Ἀβάρους ἀνέλαβε. περὶ τῆς Κομεντιόλου μελαγχολίας, καὶ ὅπως τῇ τούτου ἀβουλίᾳ πλῆθος Ῥωμαίων, πρὸς Φιλίππου πόλιν ἀπαίροντος, τῷ κρύει διώλοντο. ὡς Πέτρος αὖθις στρατηγὸς τῆς Εὐρώπης ὑπὸ τοῦ αὐτοκράτορος προχειρίζεται. περί τε τοῦ γάμου [τοῦ παιδὸς] Θεοδοσίου τοῦ παιδὸς Μαυρικίου ἐπὶ τῇ θυγατρὶ Γερμανοῦ. καὶ περὶ τῆς σιτοδείας τῆς γενομένης τῇ βασιλίδι τῶν πόλεων, καὶ τῆς συμβάσης ἀταξίας τῶν δήμων λιτανεύοντος τοῦ βασιλέως, καὶ περὶ τῆς μακροθυμίας αὐτοῦ, καὶ ἐξορίας τῶν στρατιωτῶν καὶ μονοημέρου ἐπανόδου. ὅπως Μαυρίκιος ἐπέστελλε Πέτρον παντὶ τρόπῳ τὰς Θρακῴας δυνάμεις εἰς τὸ ἀντιπέρας τοῦ Ἴστρου διατρίβειν, ὅπως τε θεία προσέπεσεν ὀμφὴ τῷ Πέτρῳ. καὶ ὅπως στάσις ταῖς Ῥωμαϊκαῖς εἰσήρρησε δυνάμεσι, καὶ τυραννὶς συνέστη κατὰ τοῦ αὐτοκράτορος, Φωκᾶ τοῦ τυράννου ὑπὸ τοῦ πλήθους ἀναρρηθέντος. ὅπως τε φεύγει Πέτρος, καὶ ὅπως ἡ στάσις διαγγέλλεται τῷ βασιλεῖ. καὶ ὅπως τὰ πρῶτα διὰ τῶν δημάρχων Σεργίου καὶ Κοσμᾶ πολυπραγμονεῖ τὸ πλῆθος τῶν δήμων, καὶ εὑρίσκεται Πρασίνων μὲν ͵αφ', Βενέτων δὲ ϡ, καὶ ὅπως τοῖς δημοτικοῖς φιλοτιμίας παρέσχετο. πρεσβεία τε τοῦ αὐτοκράτορος πρὸς τὰς στασιαζούσας δυνάμεις, καὶ ἀποστροφὴ τῆς πρεσβείας· ὅπως τε περιφρουρεῖ τὴν βασιλίδα τῶν πόλεων. πρεσβεία τε τῶν στρατευμάτων πρὸς Θεοδόσιον τὸν Μαυρικίου υἱόν, ἀξιοῦσα ἢ αὐτὸν ἢ τὸν πενθερὸν Γερμανὸν βασιλέα σφῶν ἀναρρηθῆναι. γνῶσίς τε τούτων εἰς Μαυρίκιον ἀφιγμένη, καὶ ὑπόνοια εἰς Γερμανὸν ὡς αἴτιον τῆς τυ-

praefracto moerore, utque eius temeritate Romanorum copiae, quas ad Philippopolim proficisci iubebat, frigore sint extinctae. quomodo Petrus iterum belli dux totius Europae ab imperatore creatus sit. de nuptiis Theodosii filii Mauricii et filiae Germani. urbem regiam fame ea tempestate laborasse, precesque in ecclesia fundente Mauricio, plebem esse tumultuatam; de eius mansuetudine ac lenitate militumque ablegatione, utque eodem sint die revocati. Petrum ab Augusto missum, ut omni ope atque opere Thracicas copias ad oppositam Istri ripam distineret; deque divinitus Petrum appellante voce. tumultuantem rursum in castris Romanorum, et contra Mauricium factio instituta, electo ab incondita multitudine Phoca. Petrus fuga interim salutem quaerit, et seditionis ad imperatorem rumor defertur. plebs autem a Sergio atque Cosma tribunis plebis primum incitata, novis studere rebus incipit, repertique Prasinorum CIϽ. IϽ. Venetorum vero trecenti duntaxat. hinc plebeiis donativa Mauricius praebuit. sequitur ad tumultuantes milites eiusdem legatio et legationis repulsa, utque regiam urbem praesidio munierit. exercitus ad Theodosium Mauricii filium legatio, ipsum aut socerum illius Germanum dari sibi imperatorem postulans. eius rei nuntius ad Mauricii aures accidit, indeque suspectio in Germanum, ut

ραννίδος, καὶ ἀπειλή, καὶ μήνυσις τῆς βασιλικῆς ἀπειλῆς διὰ τοῦ γαμβροῦ Θεοδοσίου, καὶ καταφυγὴ Γερμανοῦ πρὸς τὸν νεὼν τῆς θεομήτορος. τῶν Κύρου καὶ Στεφάνου τοῦ εὐνούχου, ὃς ἐπίτροπος ἐτέτακτο τοῖς βασιλέως παισί, πρὸς Γερμανὸν ἀποστολὴ εἰς τὸ ἐξελθεῖν αὐτὸν τοῦ ναοῦ καὶ ἀπραξία· καὶ ἡ διὰ ῥάβδων μαστίγωσις Θεοδοσίου τοῦ παιδὸς ὑπὸ τοῦ πατρὸς ἕνεκα τῆς πρὸς τὸν πενθερὸν καταμηνύσεως. καὶ μεταφοίτησις Γερμανοῦ ἀπὸ τοῦ νεὼ τῆς θεομήτορος ἐπὶ τὴν ἁγίαν Σοφίαν, καὶ πάλιν πρόσκλησις ἐπὶ τὸ ἐξελθεῖν, καὶ ἀπείθεια, Ἀνδρέα τινὸς συνεχῶς φοιτῶντος ταῖς λιτανείαις τὴν ἔξοδον κεκωλυκότος. θόρυβοί τε καὶ ἐμπρησμὸς τῆς κατὰ τὴν πόλιν οἰκίας Κωνσταντίνου τοῦ πατρικίου, ὃν Λαρδῦν ἐπεκάλει τὰ πλήθη· καὶ ἀπορία Μαυρικίου καὶ ἀπόδρασις. ὅπως κλύδωνος γεγονότος ἐγκοπὴν πρὸς τὴν ἀπόδρασιν λαμβάνει. καὶ ἀποστολὴ Θεοδοσίου τοῦ παιδὸς πρὸς Χοσρόην, καὶ ὑποστροφὴ πάλιν ἀπὸ Νικαίας τῇ ἐπιδείξει τοῦ δακτυλίου, ὃ ἦν εἰς σύνθημα τῷ παιδὶ παρὰ τοῦ πατρὸς ποιηθέν. ὅπως τε πρὸς τὸν τύραννον οἱ τοῦ ἄστεος, ἐν οἷς ἦν καὶ ὁ Ἐδομίτης, προσεχώρησαν. ὅπως τε Γερμανὸς κατασκευάζων ἑαυτῷ τὴν βασιλείαν ἀποτυγχάνει, τῶν Πρασίνων ἀπειπόντων τὴν ἀνάρρησιν διὰ τὸ τῆς αἱρέσεως αὐτὸν εἶναι, ὡς ἐκεῖνοι ἔφασκον, τῶν Βενέτων. εἶτα ἀναγόρευσις ἐν τῷ ναῷ τοῦ ἁγίου Ἰωάννου ἐν τῷ Ἑβδόμῳ τοῦ Φωκᾶ· Κυριακὸς δὲ τηνικαῦτα τοὺς τῆς βασιλίδος ἀρχιερατικοὺς ἐγκεχείριστο νόμους. εἴσοδός τε Φωκᾶ πρὸς τὰ βασίλεια, καὶ ἀνάρρησις Λεοντίας τῆς γυναι-

tyrannidis auctorem. minae minarumque Augusti in Germanum per Theodosium generum delatio: et Germani in deiparae templum, ut in azylum fuga. hinc Syros, et Stephanus eunuchus, qui Caesaris liberis morum praefectus fuerat, ad Germanum missi, ut templo digrederetur, sed irrita legatio fuit. fustibus caesus Theodosius apparente Mauricio, quod socero suas minas indicasset. Germani a templo b. Virginis ad sanctae Sophiae transitus, et iterata, ut inde digrediatur, hortatio: sed qua nihil persuadetur, Andrea quodam egressum dissuadente, dum precandi gratia templum frequentat. turbae iterum incendiumque urbanae domus Constantini patricii, quem Lardyn vulgo cognominabant. Mauricii aestuatio ac fuga, utque exorta maris tempestas fugam ipsi interciderit. Theodosii filii ad Chosroem missio reductioque Nicaea ex indicio annuli, quem filio parens Mauricius signi tesseraeque loco tradiderat. urbanorum ad tyrannum, in quibus et Edomites erat, concursus. imperium Germanus affectans voto excidit, Prasinis se eum creaturos imperatorem negantibus: quod, ut ipsi affirmabant, factionis esset Venetorum. ergo Phocas deinde in templo b. Ioannis, quod est in Septimo, imperator renuntiatur, Cyriaco regiae urbis patriarcha. Phocae in regiam ingressus et Leontiae eius uxoris, ut Augustae consalu-

κὸς Φωκᾶ. καὶ περὶ τὴν τῶν τόπων στάσιν τῶν δημάρχων ἔρις, καὶ ὠθισμὸς Κοσμᾶ τοῦ δημάρχου τῶν Βενέτων ὑπὸ Ἀλεξάνδρου καὶ ὕβρις εἰς Ἀλέξανδρον. καὶ μνήμη Μαυρικίου, ὡς οὐκ ἀπέθανε, καὶ διὰ τοῦτο τοῦ τυράννου πρὸς τὸν φόνον τοῦ βασιλέως μᾶλλον ὁρμή. ἀναίρεσίς τε τῶν τοῦ βασιλέως παίδων ἐνώπιον τοῦ πατρὸς ἐν τοῖς Εὐτροπίου, καὶ φιλοσοφία καὶ εὐχαριστία τοῦ βασιλέως, καὶ αὐτοῦ ἐκείνου διὰ Λιλίου ἀναίρεσις. καὶ περὶ τῆς ἐπὶ Ἡρακλείου τοῦ βασιλέως εὑρεθείσης διαθήκης Μαυρικίου τοῦ αὐτοκράτορος. ὅπως τε τὰ σώματα τῶν βασιλέων τῷ θαλαττίῳ ῥοθίῳ παρεδόθησαν. ἐπιτάφιός τε εἰς Μαυρίκιον· καὶ ὅπως τὰς ἀντιδόσεις τῶν παρανομηθέντων αὐταῖς εἰς Μαυρίκιον αἱ Ῥωμαϊκαὶ δυνάμεις κρίσει προνοίας θείας ἐλάμβανον, ὡς ἐν ὀλίγῳ χρόνῳ μηδένα τῶν κοινωνησάντων τῆς τυραννίδος ἐκ τοσούτου πλήθους ὑπολειφθῆναι, ἀλλ' οἱ μὲν λοιμῷ οἱ δὲ πυρὶ οὐρανίῳ οἱ δὲ καὶ στόματι διεφθάρησαν μαχαίρας, ὥστε ἡνίκα Ἡράκλειος ὁ βασιλεὺς πρὸς Ῥαζάτην τὸν Πέρσην πολεμεῖν ἔγνω, ἔκταξιν τῆς στρατείας ποιησάμενος δύο μόνους εὗρεν ὑπολελειμμένους τῆς φιλοτυράννου πληθύος. καὶ τότε ἤρξατο τὸ Ῥωμαϊκὸν κατὰ Περσῶν ἐνισχύειν· μέχρι γὰρ ἂν ἐκεῖνοι περιῆσαν, ἡ νίκη τοῖς Πέρσαις ἐνηυλίζετο. ἀναίρεσις ὑπὸ τοῦ τυράννου δι' Ἀλεξάνδρου Θεοδοσίου τοῦ βασιλέως τοῦ αὐτοκράτορος παιδός, καὶ Πέτρου καὶ Κομεντιόλου καὶ Κωνσταντίνου τοῦ Λαρδῦ· πλάνη τε περὶ Θεοδοσίου, ὡς οὐ πεφόνευται.

tatio. tribunorum plebis ingens tum de locorum statione contentio atque altercatio. Cosmae partis Venetae tribuni plebis ab Alexandro propulsatio et iniecta mentio, nondum obiisse Mauricium. quo factum ut impetu quodam ad imperatoris caedem tyrannus se proripuerit. hinc caedes liberorum Augusti in parentis oculis ad Eutropii. animi sapientia Caesaris, actis Deo gratiis, utque a Lilio percussus obierit. legitur et testamentum Mauricii, Heraclio imperante inventum. quomodo regia corpora marinis commissa fluctibus, et funebris in Mauricium laudatio: utque divinae iudicio providentiae Romani milites eorum, quae in Mauricium flagitiose patrarunt, poenas dederint, quod post non diu caedis tyrannidisque sociorum nemo in tanta multitudine superfuerit: peste enim alii, alii coelesti igne, ferro caeteri ad unum omnes perierunt: atque adeo Heraclius post paulo rerum potitus, cum Razate Persa bellum gesturus, delectu habito, vix duos ex illis partium studiosis relictos reperit. ac tum demum Romani Persis superiores esse coeperunt, qui dum illi nefarii superstites essent, a Persis victi semper discesserant. caedes a tyranno per Alexandrum intentata Theodosio Augusti filio: Petro item et Comentiolo atque Constantino, Lardy cognomento. falsus etiam rumor de Theodosio exortus est, quasi is tum non fuisset in-

καὶ ὅπως κατὰ Ἀλεξάνδρειαν τὰ ἀγάλματα τῆς οἰκείας ἕδρας ἀποφοιτῶντα προηγόρευον τὰ γεγονότα καλλιγράφῳ τινί, κατὰ τὸ Τυχαῖον οὕτω καλούμενον, ἀπὸ δείπνου πρὸς τὰ οἴκοι διερχομένῳ. ὅπως τε ὁ Μαυρίκιος λέγεται τρίτην μοῖραν τῶν φόρων συγχωρῆσαι τοῖς ὑπηκόοις, καὶ τριάκοντα δοῦναι τάλαντα τοῖς Βυζαντίοις εἰς νεουργίαν τοῦ τῶν ὑδάτων ὁλκοῦ· καὶ ὅπως ἐφιλοτιμεῖτο λαμπρῶς τοὺς τῶν μαθημάτων ἐραστάς. καὶ περὶ τῶν γεγονότων παραδόξων τῆς τῶν αἱμάτων ῥύσεως Εὐφημίας τῆς μάρτυρος, καὶ ὡς Μαυρίκιος πειράσας μᾶλλον τὸ θαῦμα δι' ἀπιστίας ἐπίστωσε. καὶ ὅπως ὁ τύραννος Κωνσταντῖναν τὴν τοῦ βασιλέως Μαυρικίου γυναῖκα ἅμα ταῖς θυγατράσιν ἐν ἰδιωτικῇ οἰκίᾳ ἐνέκλεισε. πρεσβεία τοῦ τυράννου πρὸς Χοσρόην τὸν Περσῶν βασιλέα, καὶ ἀποτυχία, κατάλυσίς τε τῶν σπονδῶν προφασιζομένου Χοσρόου τὴν ὁσίαν διεκδικεῖν Μαυρικίου· καὶ οὕτως ὁ Λίλιος (οὗτος γὰρ ὁ πρεσβεύων ἦν) ἀνεχώρησεν ἄπρακτος. ἀναίρεσις Ἀλεξάνδρου τοῦ συννεωτερίσαντος τῷ Φωκᾷ, δι' ὑπόνοιαν ὅτι Θεοδόσιον τὸν Μαυρικίου παῖδα, ὃν ἀνεῖλε, περιεποιήσατο. ἐν οἷς καὶ τῆς ὅλης ἱστορίας τὸ πέρας.

terfectus. quomodo Alexandriae statuae suis sedibus sponte motae, quae Byzantii accidissent, nuntiarint calligrapho cuidam (sic forte appellato) a coena domum reverteuti. ut Mauricius tertiam vectigalium portionem subditis remisisse feratur: triginta quoque Byzantinis donasse talenta reficiendis aquae ductibus. quo honore praemioque disciplinarum studiosos publice affecerit. quae in fluxu sanguinis Euphemiae martyris admiranda acciderint: utque Mauricius rei periculo facto, quod initio non credidisset, miraculum magis confirmarit. uti Phocas tyrannus Constantinam, Mauricii Augusti coniugem, cum filiabus privatae domui incluserit. Phocae ad Chosroen Persarum regem missa legatio: sed irrita. ruptae enim indutiae sunt, Chosroe praetexente, quod Mauricium iuste vindicaret. sic Lilius, qui legatus erat, re infecta domum retro revertit. caedes Alexandri rerum novarum Phocae socii eo nomine suspecti, quasi Theodosium, Mauricii filium quem occidit, servasset. atque hic universae finis historiae.

ΘΕΟΦΥΛΑΚΤΟΥ P 1 V 133

ΔΙΑΛΟΓΟΣ.

PONTANI ARGUMENTUM.

Hoc non mediocriter festivo et erudito sane dialogo Simocatta noster in Phocam ut importunissimum tyrannum invehitur; quo imperante (imperavit autem annis octo) res Mauricii nemo ausus est litterarum memoriae commendare, ac proinde eius imperatoris historia ignota posteris ac velut mortua iacuit. iacuerunt item bonae disciplinae, quae sub Heraclio demum, Phocae successore, iterum se palamque ostenderunt. mirifice laudatur Sergius patriarcha illius temporis, studiis liberalibus ipsique historico amicissimus; cuius auctoritate ac voluntate permotus ad hanc historiam conscribendam videtur accessisse. fingit, ut mos est dialogorum, Historiam ipsam res gestas Mauricii enarraturam cum Philosophia sub platano considere. plerumque enim in dialogis colloquentes aut disputantes sessum se recipere, et suas partes sedendo, idque in locis amoenioribus nonnunquam, agere introducuntur, ut imprimis apud Platonem et eius imitatorem studiosissimum M. Tullium videre est.

ΦΙΛΟΣΟΦΙΑ. Τί τοῦτο, θύγατερ; ἄγε δή μοι τὸ διαπόρημα τοῦτο γλιχομένῃ μαθεῖν διάλυσαι, οἷα μίτῳ τινὶ τῇ σαφηνείᾳ οὐ μυθικὸν περαιουμένη λαβύρινθον· δυσέμβατα γάρ μοι καὶ δυσάγωγα τὰ τῆς θεωρίας προαύλια. ἹΣΤΟΡΙΑ. ὦ φιλοσοφία πάντων βασίλεια, εἴγε συμπρέπει ἐμοῦ τε πυθέσθαι, αὐτὴν δὲ διδάσκεσθαι, ἀποκρινοῦμαι ὡς ἔχω συνέσεως. μηδὲν γὰρ ἄγνωστον ἔχοιμι καλόν, ὡς ἔμοιγε καὶ τῷ Κυρηναίῳ δοκεῖ.

PHILOSOPHIA. Quid hoc, filia? age, mihi discere cupienti hanc dubitationem exime, tanquam filo quodam dilucida explanatione per labyrinthum non fabulosum me dirigens. sunt enim huius spectaculi vestibula ac prooemia mihi pene inaccessa, parumque me alliciunt. HISTORIA. Hem philosophia, omnium artium regina, si modo et me interrogari et te doceri decet, pro intelligentia respondebo: nihil quippe incognitum ducendum est pulcrum, mea quidem et Cyrenaei sententia.

ΦΙΛ. ἡδέως ἐροίμην ἐγὼ ὅπῃ τε καὶ ὅπως χθὲς καὶ τρίτην ἀνε-
βίως, ὦ θύγατερ. ἐπέχει δὲ τοῦ λόγου πάλιν ἡμᾶς, καὶ οἷα
χαλινῷ τινὶ πρὸς σιωπὴν ἀνακρούεται, τὸ τῆς ἀπιστίας ἐπαγω-
B γότατον, μή πού γε φαντασία τις τερατισμάτων ἡμᾶς φενακίζη-
ται. πολλοῦ γὰρ τοῦ χρόνου ἐτεθνήκεις, ὦ παῖ, ἐξ ὅτου εἰσ-
ἤρρησε τῇ βασιλίδι αὐλῇ ὁ Καλυδώνιος τύραννος, σιδήρῳ περί-
φρακτος, μιξοβάρβαρος ἄνθρωπος, τὸ κυκλώπειον γένος, ὁ τῆς
σώφρονος ἁλουργίδος ἀσελγέστατος Κένταυρος, ᾧ βασιλεία οἰ-
νοφλυγίας ἀγώνισμα. τὸ γὰρ ἕτερον σιωπήσομαι αἰδοῖ τῆς ἐμῆς
εὐκοσμίας τῆς τε τῶν ἀκουόντων σεμνότητος. κἀγὼ δὴ τότε τῆς
βασιλέως στοᾶς ἐξωστρακίσθην, ὦ θύγατερ, καὶ τῆς Ἀττικῆς
ἐπιβαίνειν οὐκ ἦν, ὁπότε τὸν ἐμὸν βασιλέα Σωκράτην ὁ Θρᾷξ
P 2 ἐκεῖνος διώλεσεν Ἄνυτος. χρόνῳ δ' ὕστερον Ἡρακλεῖδαι διέσω-
σαν, καὶ τὴν πολιτείαν ἀπέδοσαν, τό τε ἄγος τῶν ἀνακτόρων
ἀπεδιοπομπήσαντο. ναὶ δῆτα καὶ πρὸς τὰ βασιλέων τεμένη εἰσ-
ῴκισαν, καὶ περιλαλῶ τὰ βασίλεια, καὶ ταῦτα δὴ τὰ ἀρχαῖα καὶ
Ἀττικὰ μουσουργῶ κελαδήματα. ἐμοὶ μὲν δὴ ταῦτα οὕτως ἔχει
καλῶς· σοὶ δ', ὦ θύγατερ, τίς καὶ ὅπως σωτήριος γέγονεν;
ΙΣΤ. μῶν οὐκ οἶσθα, βασίλεια, τὸν μέγαν τῆς ἁπανταχόθεν
οἰκουμένης ἀρχιερέα καὶ πρόεδρον; *ΦΙΛ.* πάνυ μὲν οὖν, ὦ
θύγατερ. φίλος ἐμὸς οὗτος παλαιότατος καὶ θησαυρὸς οἰκειό-
τατος. *ΙΣΤ.* ἔχεις οὐκοῦν, ὦ βασίλεια, τὸ ζητούμενον αὐτο-
B σχέδιον ἕρμαιον. ἐκεῖνος ἀνεψύχωσεν, ὥσπερ ἐκ τάφου τινὸς

8. βασιλείας P.

PHIL. Libenter interrogarem ego, ubi et quomodo nuperrime revixeris, filia. sed reprimit me et quasi quodam freno ad silentium inhibet ac retroagit, quae me totum occupavit incredulitas, ne forte prodigiosa species aliqua nobis illudat. iam pridem enim mortua es, filia, ex quo videlicet in aulam imperatoriam irruit tyrannus Calydonius, ferro communitus, homo semibarbarus, de Cyclopum genere, in modesta purpura Centaurus petulantissimus, qui de regno ebrietatis certat: aliud enim foedius tacebo, tum modestiae meae tum gravitatis audientium rationem habens. ego quoque tunc e porticu imperatoria in exilium missa sum, filia, et in Atticam ingredi non licuit, quando regem meum Socratem Thracius ille Anytus perdidit. tempore intercedente Heraclidae me servarunt, ditionemque mihi meam restituerunt, et palatii scelus procul removerunt. sane tandem et in templa imperatorum me receperunt, et vocibus meis regia personat, eademque, vetera nimirum et Attica, modulor cantica. meae igitur res sic bene habent. tibi primo, gnata, quis et quomodo salutem attulit? HIST. An tu, regina, non nosti totius orbis praesulem et antistitem? PHIL. Equidem novi: est enim amicus meus pervetus et thesaurus familiarissimus. HIST. Habes igitur, regina, ad id quod quaesivisti responsum ex tempore. rem exoptabilem

τῆς ἀλογίας ἀναλαβόμενος, οἷάπερ Ἄλκηστίν τινα ἀλεξικάκου τινὸς Ἡρακλέους ἀναστησάμενος ῥώμῃ. εἰσεποιήσατο δὲ μεγαλοφρόνως, περιέβαλέ τε ἐσθῆτα φαιδράν, καὶ χρυσέῳ κατεκόσμησεν ὅρμῳ. τὸν δὲ κρωβύλον τουτονί, τέττιξ δ' ὁ ἄρα αὐτῷ χρύσεός ἐστιν ἐφεζόμενος, ὁ θεσπέσιος οὑτοσὶ κατηγλάϊσε, τῷ τε παρόντι συλλογισμῷ ἐλάμπρυνε. βῆμά τε προτέθεικεν εὐμενῶς ἱδρυμένον καὶ παρρησίαν ἀκίνδυνον. ΦΙΛ. ἄγαμαι, θύγατερ, V 134 τῆς μεγαλονοίας τὸν ἱεροφάντην ἐγώ, ὁπόσης κατορθωμάτων ἀναβάσεως ἐπιβέβηκε, τὴν ὑψηλὴν τῆς θεολογίας ἀκρώρειαν περικαθήμενος ἐπί τε τὸν κολοφῶνα τῶν ἀρετῶν τὴν ἀποικίαν C ποιούμενος, καὶ τῶν ὑπὸ σελήνην πλεονεκτημάτων ἀντέχεται, καὶ βίος αὐτῷ οἱ πανάριστοι λόγοι· οὐκ ἐθέλει γὰρ οὔτε τὸν περίγειον κόσμον μένειν ἀκόσμητον. οὕτως ὀναίμην τῶν ἐμῶν ἐραστῶν. ἣ σώματος ἐκτὸς φιλοσοφεῖ ἐπὶ γῆς, ἡ θεωρία σωματωθεῖσα μετὰ τῶν ἀνθρώπων ὡς ἄνθρωπος ἀναστρέφεται. ΙΣΤ. κάλλιστά γε, βασίλεια, τῶν ἐγκωμίων τὸν στέφανον ἔπλεξας. ἀλλ' εἴ σοι δοκεῖ, περὶ ταυτηνὶ τὴν πλάτανον καθίσωμεν μικρόν· ἀμφιλαφὴς γὰρ τὸ δένδρον, τοῦ τε ἄγνου τὸ ὕψος καὶ τὸ σύσκιον πάγκαλον. ΦΙΛ. πρόαγε δῆτα, ὦ παῖ, καὶ βαλβῖδά τινα τῆς διηγήσεως τοῖς φιλακροάμοσιν ὥσπερ ἐντίθει D προοίμιον. ἐγὼ δέ σοι ἐπιστήσω τὸν νοῦν οἷά τις Ἰθακήσιος, μὴ διαβύσασα τὰ ὦτα, καὶ Σειρηναίων ἀφηγημάτων ἀκούσομαι. ΙΣΤ. τοιγαροῦν πειθαρχήσω, βασίλεια, τήν τε τῆς ἱστορίας

ille in vitam reduxit, meque tanquam e sepulcro aliquo taciturnitatis recuperavit, et ut Alcestin aliquam viribus alicuius Herculis malorum depulsoris resuscitavit. adoptavit autem me excelso animo, splendida veste operuit, et monili decoravit aureo; et hunc crobylum, sive plexum capillorum in vertice, cicada ex auro insidente, divinus hic vir exornavit, et qua vides ratione illustravit, stabilemque mihi sedem benevole proposuit, et libertatem omni periculo vacantem concessit. PHIL. Miror antistitis ingentem animum, quo tam alte in recte factis ascendit, et in summo fastigio divinae scientiae sese collocavit, et usque ad apicem virtutum progressus est, omnesque sub sole praerogativas consectatur; cui vita est omnimodis optimae et cultissimae artes. nec enim vel terrenum ornatum inornatum manere vult. ita fruar meis amatoribus. quae corpus non habet, in terris philosophatur, et commentatio corporata cum hominibus ut homo versatur. HIST. Pulcerrime tu encomiorum coronam contexuisti. sed si placet, ad platanum istam paulum consideamus: est enim excelsa et ad locum opacandum patulis diffusa ramis bellissime. PHIL. I prae igitur, filia, et prooemium ceu carceres quosdam narrationi ad audiendum iucundae praetexe. ego tibi animum adhibebo, non (velut Ithacensis Ulysses) obturatis auribus, Sirenicasque narrationes auscultabo. HIST. Obtemperabo, regina, historiaeque lyram pulsabo.

λύραν τινάξομαι. ἔσο δέ μοι πλῆκτρον αὐτὴ μουσικώτατον· ὠκεανὸς γὰρ ἐπιστήμης ἔφυς καὶ λόγων τις, ἐν σοί τε πᾶσα χάρις, ἅτε νῆσος, τὴν πέρι πόντος ἀπείριτος ἐστεφάνωται.

esto tu mihi plectrum maxime musicum: es enim scientiae et eloquentiae Oceanus. in te omnis gratia, velut in insula, quam immensus, ut est apud poetam, pontus circumdat.

P 3
V 135

ΠΡΟΟΙΜΙΟΝ.

Δεῖ μὴ μόνον τοῖς ἐκ φύσεως ἀγαθοῖς ἀλλὰ καὶ οἰκείοις εὑρήμασι κατακοσμεῖσθαι τὸν ἄνθρωπον. ἔνεστι γὰρ λόγος αὐτῷ, χρῆμά τι θεῖον καὶ ἀξιάγαστον. τούτῳ καὶ θεὸν αἰδεῖσθαι καὶ σέβειν μεμάθηκε, καὶ τὰ τῆς οἰκείας ἐνοπτρίζεσθαι φύσεως καὶ τῆς ἑαυτοῦ διαπλάσεως τὴν σύνταξιν οὐκ ἠγνόησε. τοιγάρτοι λόγῳ καὶ πρὸς ἑαυτοὺς συννεύουσιν ἄνθρωποι, καὶ ἐκ τῆς ἔξω περιωπῆς ἐπ' αὐτὸν τὸν νοῦν εἰσκυκλήσαντες τά τε περὶ τῆς σφῶν αὐτῶν δημιουργίας ἀνελίττουσιν ὄργια. πολλὰ μὲν οὖν οὗτος ἀγαθὰ τοῖς ἀνθρώποις δεδώρηται, καὶ συνέριθός ἐστι τῆς φύσεως ἄριστος. ἃ γὰρ ἐκείνη διέλειπε, λόγος τετελεσιούργηκε B βέλτιστα, ἃ μὲν εἰς θέαν ἐγκαλλωπίσας, ἃ δ' ἐς γεῦσιν ἡδύνας, ἔνια πρὸς ἁφὴν τονώσας ἢ μαλακίσας, ἄλλα πρὸς ἀκοὴν μουσουργήσας, τῇ τῆς ἀπηχήσεως ἴυγγι κατακηλῶν τὴν ψυχὴν καὶ πρὸς τὰ ἀκούσματα μεθελκόμενος. ἢ οὐχὶ καὶ τεχνῶν οὗτος σοφιστὴς πιθανώτατος; ἐξ ἐρίου μὲν εὐήτριον ἱστουργήσας χιτῶ-

Non ex bonis tantummodo natura insitis, verum etiam ex inventis ab se excogitatisque rebus cohonestari et exornari hominem consentaneum est. possidet namque rationem, divinum quiddam et admirabile, cuius beneficio deum venerari, ei vota et preces adhibere, conditionem suam perinde ut in speculo intueri, quemadmodumque fictus atque coagmentatus fuerit, probe didicit. proinde ratione et intelligentia in semet conversi mortales, et ab exteriorum circumspectu in ipsam mentem seu gyro quodam delati, fabricationis suae mysterium evolvunt. haec igitur, ratio, inquam, multa nobis ornamenta comparavit, naturae ipsius operum ac laborum socia et adiutrix praeclarissima. etenim quae illa intermittit et in quibus deficit, haec quam rectissime perficit et absolvit, alia quidem ad aspectum venusta reddens, alia ad gustatum condiens, quaedam ad tactum solidans aut emolliens, nonnulla ad auditionem musicis numeris distinguens, sonorumque illecebris pectora demulcens, et ad commodandas aures alliciens. quid? an non haec artium quoque vulgarium et in medio positarum repertrix est probatissima? e lana nimirum elegantem

νιον, ἐκ δὲ ξύλων γεωργοῖς μὲν τεκταινόμενος ἐχέτλην, πλωτῆρσι δὲ κώπην, τῷ τε στρατιώτῃ πέλτην καὶ γέρρον κινδύνων πολεμικῶν ἀμυντήρια. ἀξιολογώτατόν τε πάντων, τὸ τῆς ἱστορίας διέθετο πολυπειρότατον ἀκοῇ μὲν ἥδυσμα, τῇ δὲ ψυχῇ παιδευτήριον· οὐδὲν γὰρ ταῖς φιλοπευθέσι ψυχαῖς ἔνεστιν ἱστορίας C ἐπαγωγότερον. ἱκανὸν δὲ τῷ τεκμηριῶσαι Ὁμηρικῆς τι δέλτου διήγημα. ἐπὶ τὴν Ἀλκινόου τοῦ βασιλέως αὐλὴν ὁ τοῦ Λαέρτου παῖς ἔναγχος ἐκ τοῦ θαλαττίου κλύδωνος ἐπὶ τὴν ἤπειρον ἐκβρασθεὶς ἐξενίζετο, καὶ πολλὴ ἀμφὶ τὸν Ὀδυσσέα φιλοφροσύνη περιεκέχυτο. πρόχειρον γὰρ ἦν γυμνῷ καὶ τετρυχωμένῳ τὸ σῶμα συμφορᾷ ναυαγίας ἐσθῆτα λαμπρὰν ἐμπορπήσασθαι. ἐπῆν δ' αὐτῷ καὶ κοινὸν τῆς βασιλέως τραπέζης ἀξίωμα. καὶ οὖν τῷ ἐπήλυδι παρείχετο καὶ γλώττης ἐλευθερία καὶ διηγημάτων ἐκθέσεως ἄδεια. τοὺς δὲ Φαίακας οὕτω τὰ τῆς ἱστορίας ἐνηύφρανεν ὡς χαίρειν εἰπόντας τῷ πότῳ θέατρον εἶναι δοκεῖν τὸ συμ- D πόσιον, καὶ διανιστᾶν τὰ ὦτα, καὶ κεχηνέναι θεωμένους τὸν ἄνδρα, καὶ τῷ μήκει μηδαμῶς τῆς διηγήσεως ἀποκναίεσθαι. καίτοι τὰ πολλὰ τῶν ἀφηγημάτων κατηφεῖς εἶχε τὰς ὄψεις· μεγί- P 4 στων γὰρ κινδύνων ἐμπειρία περιέρρει τῇ συνουσίᾳ. λίχνον γὰρ ἀκοὴ καὶ ἀκόρεστον, ἑστιωμένη λόγον παράδοξον. ἔνθεν ἄρα καὶ τοὺς ποιητὰς ἐπὶ παιδείᾳ πρώτους ἐνευδοκιμήσαντας ἔστι θεάσασθαι· παραλαβόντες γὰρ οὗτοι τὰς τῶν ἀνθρώπων ψυ-

contexit tunicam; e ligno agricolae stivam, nautae remum, militi peltam et scutum fabrefacit. verumtamen nihil praestabilius ex omnibus quam multifariam historiarum cognitionem instruit, quae et auribus oblectamentum et animis quaedam discendi officina est, quando non aliud quidquam mentibus cognoscendi amore flagrantibus aeque blanditur; id quod narratio quaedam Homerici poematis ad fidem faciendam satis apposite cuipiam probaverit. in regiam Alcinoi regis Ulysses paulo ante vastis fluctibus in littus proiectus hospitio suscipitur, mirificaque comitate et benevolentia tractatur. illico enim nudum eius corpus et ex naufragio sale tabentes artus veste splendida cooperiuntur; regia mensa dignatur; et libertas loquendi, quaeque vellet commemorandi potestas homini ignoto ac peregrino conceditur. Phaeacas porro tanta iucunditate ipsa casuum expositio perfundit, sic eos detinet, ut poculorum immemores convivium in theatrum mutavisse videantur, auresque arrigant, et ab ore viri illius contemplabundi pendeant, nec ex narratione tametsi longa taedium ullum sentiant, quamquam tristia multa referat, periculorumque gravissimorum, quae subierit, commemoratione coetum illum convivantium velut inundet. aures namque, cum sermone quopiam de rebus novis et admirandis tanquam epulis accipiuntur, liguritorem imitantes avidae insatiabilesque reperiuntur. quam ob causam etiam poetas eruditione principes celebre ad posteros nomen consecutos videre licet. qui hominum ingeniis sciendi

χὰς φιλοΐστορας καὶ πρὸς μάθησιν ὀργώσας ἀεὶ καὶ ξένων διψώ-
σας διηγημάτων, τεχνουργοῦσιν αὐταῖς μυθολόγημα, καὶ περι-
βάλλουσι φράσιν τῷ πλάσματι, ῥυθμῷ δὲ τὸ ψεῦδος στιμμί-
ζουσι, καὶ μέτροις οἷα κεστοῖς θελκτηρίοις τισὶ τὸ τεράτευμα
B καλλωπίζουσι. καὶ τοσαύτην εἶχεν ἡ ψυχαγωγία τὴν δύναμιν
ὡς καὶ θεολόγων εἶναι νομίζεσθαι, καὶ παρ' ἐκείνους φοιτᾶν τοὺς
θεούς, καὶ ταῖς ἐκείνων γλώτταις παραγυμνοῦν τοῖς ἀνθρώποις
τὰ οἴκοι, καὶ εἴ τί ποτε τῷ σφῶν αὐτῶν βίῳ συνέτυχεν ἀνδρα-
γάθημα ἢ δυστύχημα. οὐκοῦν ἐρήσειέ τις κοινὴν ἁπάντων ἀν-
V 136 θρώπων τὴν ἱστορίαν διδάσκαλον, εἰσηγουμένην οἷς τε ἐγχειρη-
τέον καὶ ἃ παροπτέον ὡς μὴ συνοίσοντα. ἐμφρονεστάτους τε
τοὺς στρατηγοὺς δι' ἐκείνης ἔστιν ἰδεῖν· τάττειν γὰρ δυνάμεις
ἐπίσταται, ὅπως τε λόχοις σοφίζεσθαι δεῖ τὸ πολέμιον. καὶ ταῖς
C μὲν τῶν ἄλλων συμφοραῖς προμηθεστέρους σφᾶς αὐτοὺς ἀπεργά-
ζεται, τοῖς προσφαλεῖσιν ἑτέροις ἐκείνους ἰθύνουσα· ταῖς δ' αὖ
πάλιν εὐπραγίαις εὐδαιμονεστέρους ἀπέδειξε, μικραῖς ἀφορμαῖς
μεγάλας ἀρετῶν κορυφὰς ἐπαυξάνουσα. καὶ τῷ μὲν πρεσβύτῃ
χειραγωγός τίς ἐστι καὶ βακτηρία, τῷ δὲ νέῳ παιδαγωγὸς κάλλι-
στος καὶ συνετώτατος, τῇ πολυπειρίᾳ πολιοῦσά πως τὸν νεώτε-
ρον, καὶ προφθάνουσα τοῦ χρόνου τὰ κατ' ὀλίγον μαθήματα.
πρὸς ἣν ἐπιδραμοῦμαι καὐτός, εἰ καὶ μεῖζον ἢ κατ' ἐμὲ τὸ ἐγχεί-

cupidis et ad discendum mire semper inclinantibus novarumque narrationum sitientibus sese accommodantes, artificio quodam fabulas ipsis seu figmenta procudunt, quae scita et ornata elocutione convestiunt, numeros quasi quaedam pigmenta et fucum illinunt, et portenta sua carminibus ut cestis seu cingulis quibusdam ad delectationem appositis decenter circumdant. tantumque voluptas ea valuit, ut etiam Theologi haberentur, et dii immortales ad eos ventitare eorumque linguis domestica sua, et si quid aliquando faustum infaustumve sibi contigisset, hominibus pandere crederentur. quod cum ita sit, historiam communem generis humani magistram atque doctricem iure dixerim, praeeuntem nobis ac praemonstrantem quae capessere et quae ut inania nihilque profutura aspernari debeamus; a qua condocefactos duces militares prudentissimos evasisse in confesso est: novit enim ordines disponere, et qua via hostem callide circumvenias. iisdem per eventa aliena procurationem et cautionem maiorem inserit, perque aliorum frustrationes et offensiones tutiore itinere illos ducit. similiter secundis aliorum successibus beatiores efficit, dum eos occasionibus non magnis ad magnarum virtutum fastigia provehit. ac senibus quidem manuductrix et baculus, adolescentibus paedagoga et institutrix optima ac sapientissima est, peritia multa quandam iis canitiem concilians, et quae procedens tempus paulatim eos doceret, ea ipsa docendo antevertens. cui ego quoque studium et operam meam dicabo, quanquam maius onus capessere me intelligo quam istis humeris sustinere possim, quandoquidem nulla mihi suppeditat ver-

ρημα διὰ τὸ τῆς λέξεως ἀγεννές, τῶν τε νοημάτων τὸ ἀδρανέστατον, τῆς τε τοῦ λόγου συνθήκης τὸ ἀκαλλές, τό τε τῆς οἰ- D κονομίας ἀτεχνότατον. εἰ δέ που εὔχαρί τι τῶν ἐκτεθησομένων φανείη, τύχῃ τινὶ προσαπτέσθω· μὴ γὰρ ἐπιστήμῃ τὸ αἴτιον.

borum dignitas, nulla sententiarum gravitas, nec orationem belle ac festive contexere scio, et eius oeconomiae artificiique sum rudissimus. quodsi quid eorum quae referemus, cum lepore et venustate expositum videbitur, id a fortuna quadam, non a scientia mea profectum existimetur.

ΘΕΟΦΥΛΑΚΤΟΥ
ΙΣΤΟΡΙΩΝ
ΛΟΓΟΣ Α'.

THEOPHYLACTI
HISTORIARUM
LIBER I.

PONTANI ARGUMENTUM.

(1) *Tiberii Augusti sub excessum praeclara oratio. Mauricius successor palam declaratur.* (2) *Vox divinitus ad Tiberium delata. eius e vita abitio. populi luctus et lacrimae. funus et sepultura.* (3) *Inter Abares et Romanos ictum foedus ignominiosum. Chaganus elephantum spectandum, lectum aureum et praeter pactam in foedere pecuniam viginti millia ab imperatore poscit. foedus rumpit.* (4) *Urbs Singidon a Chagano capitur, Augusta et Viminacium expugnantur, Anchialus devastatur, vici propinqui hostiliter diripiuntur. Romanorum ad Chaganum legatio.* (5) *Liberior et minacior Comentioli apud Chaganum eiusque optimates oratio, cum praedicatione Romanorum eximia.* (6) *Chaganus excandescit: Comentiolum punit atrocius. alia ad Abares legatio. viginti aureorum millia ad priora octoginta spondentur.* (7) *Sclavorum ad longum murum hostilis progressio; et in iis caedendis fugandisque Comentioli ducis memoranda virtus.* (8) *Foedus a Chagano iterum pessundatur: caussa Bocolabras quidam magus, Scytha genere. Targitius Chagani legatus in insulam relegatur. urbes Romanorum subiguntur.* (9) *Transitus ad res Persicas. Romanorum cum Persis ad Nymphium flumen adverso Marte congressus.* (10) *Mauricii et Constantinae Augustorum nuptiae magnificentissimae. civitatis publica laetitia gratulatioque.* (11) *Incendium in foro sub initia imperii Mauricii. miraculum de concha Glyceriae martyris. Paulinus praestigiator in crucem agitur: filio caput amputatur.* (12) *Aphumi castellum a Persis, Acbas a Romanis oppugnatur, et a Persis supervenientibus liberatur. ingens terrae motus imperio Mauricii adhuc recenti, eiusdemque consulatus et*

in populum liberalitas. Ioannis ducis exauctoratio. (13) *Philippicus imperatoris sororius praetor Orientis decernitur. eius expeditiones. e Perside redeuntes Romani via aberrant et extrema siti cruciantur. captivos utriusque sexus interficiunt. pueri servati moriuntur siti.* (14) *Philippicus Arzanenam regionem suis diripiendam permittit. ab imitatione Scipionis Romani commendatur. aegrotat. Cardarigannus Monocartum frustra invadit, latrociniis et incendiis grassatur. Philippicus Byzantium redit; inde rursum veris initio discedit.* (15) *Persarum ad Romanos de bello finiendo legati. Mebodi legati oratio. locus communis contra bellum. Romanorum recusatio et ad confligendum cum Persis promptissima voluntas.*

---

1. Ὅτε τὸν αὐτοκράτορα Τιβέριον τῆς ἐντεῦθεν ἔδει λοιπὸν P 8 V 139 A. C. 582. μεταβήσεσθαι λήξεως καὶ τῷ κοινῷ ὑπείκειν νόμῳ τῆς φύσεως, ἐπιθεμένης τῇ νόσῳ μελαίνης χολῆς, ὥς σύνηθες παισὶν ἀποκαλεῖν ἰατρῶν, ἀνερρήθη Μαυρίκιος, καὶ βασιλέως ἀξίᾳ μεγαλαυχεῖται, καὶ νεάζων τῇ ἁλουργίδι τῆς μεγάλης τῶν αὐτοκρατόρων δυνάμεως μετελάγχανε. φοράδην γὰρ ἀχθεὶς ὁ βασιλεὺς Τιβέριος ἐπὶ τὴν ὕπαιθρον τῶν βασιλείων αὐλήν, ἥτις παρήνωται τῇ πολυστιβάδι τῶν ἀνακτόρων οἰκίᾳ προαυλίῳ περιφανεῖ καὶ περιδόξῳ τῷ προσκηνίῳ, τὸν τῆς ἱεραρχικῆς προεστῶτα καθέδρας B συγκαλεσάμενος (Ἰωάννης δὲ κατ' ἐκεῖνο καιροῦ τοὺς τῆς ἐκκλησίας διίθυνεν οἴακας) τόν τε τῶν ἱερῶν ἀξιωμάτων συναθροισάμενος ξύλλογον, τούς τε δορυφόρους καὶ φύλακας, καὶ πάντας τοὺς ἐς βασιλέως τιμὴν συντεταγμένους, ναὶ μὴν καὶ τοὺς ἐπισημοτέρους τοῦ δήμου, αὐτὸς μὲν οὐδέπω τοῖς ἐντυχοῦσι διείλεκται, βασιλέως δὲ γλῶτταν τὸν Ἰωάννην ἐδείκνυεν, ἄνδρα ῥήτορά τε δεινὸν καὶ νόμων Ῥωμαϊκῶν ἐπιστήμονα, ὃς τὰ βασιλέως

1. Cum iam Tiberio Augusto, atra bile, quam medici vocare consueverunt, morbum aggravante, ex huius vitae diversorio demigrandum esset et dies commune illud naturae debitum persolvendi adesset, Mauricius successor ante nominatus ad imperatorios honores magnifice extollitur, purpuraque insignis supremam Augustorum potestatem sortitur. Tiberius namque in atrium palatii, iuxta domum, in qua multi ex herbis seu frondibus ad coenandum dormiendumve tori sive lectisternia, vestibulum illustre visendumque proscenium, huc, inquam, gestatus, accersito Ioanne, qui ea tempestate cathedram hierarchicam obtinens ecclesiae gubernacula moderabatur, virorum praeterea ecclesiasticas dignitates gerentium coacto collegio, praesentibus item praetorianis militibus et custodibus corporis et aulicis demum universis, nec non civibus primariis, ipse quidem per se ad conventum non dixit: verum eas partes Ioanni quaestori (ut Latina lingua appellatur) mandavit, homini eloquenti, Romanarumque legum et consuetudinum haud ignaro; qui decreta et san-

προστάγματα τῷ διατόνῳ τῆς εὐγλωττίας ἐμεγαληγόρει βασιλικῆς μεγαλοφροσύνης ἐπάξια. τοῦτον ἐπιχωρίῳ Ῥωμαῖοι φωνῇ ἀπο-
C καλοῦσι κουαίστορα. παρῆν γοῦν ὁ αὐτοκράτωρ ἐπὶ τῇ χειροτονίᾳ τοῦ βασιλέως, ἅμα τῇ παιδὶ Κωνσταντίνῃ, ἣν τῷ Μαυρικίῳ τύχης ἅμα καὶ βίου κοινωνὸν ἐποιήσατο, καὶ πρό γε τῆς ἀναρρήσεως τῷ ξυλλόγῳ τάδε παρέθετο.

"Τὸ πολυθρύλλητον τοῖς ἔθνεσιν ὄνομα καὶ ἐπίτιμον, τὸ ἐπὶ στομάτων πολλῶν ἐπ' εὐφημίᾳ δι' εὔκλειαν περικείμενον, μεγάλαι καὶ τελευταῖαι νῦν αἱ τῶν φροντίδων ὠδῖνες ἡμῖν περιίστανται, αἱ μὲν τὰ τῇδε διαθεῖναι καλῶς ἀναγκάζουσαι, αἱ δὲ τῇ διαζεύξει τῆς μεταστάσεως ἐκταράττουσαι καὶ τὴν ἐνθένδε
D τοῖς λόγοις τῆς βιοτῆς παραθέσθαι τῷ δημιουργῷ κατεπείγουσαι. καὶ περιδεής μοι τήμερον ἡ πάλαι παρρησία καὶ ἄδεια· οἷς γὰρ ἀφθονία τῆς ἐξουσίας, τούτοις εἰκὸς καὶ τὰ σφάλματα παρέπε-
P 9 σθαι πλείονα. ἀλλ' ὅμως αἱ περὶ τῆς βασιλείας ἡμῖν ὀξύτεραι καὶ προκύπτουσαι, οὐχ ὅτῳ ταύτην οὕτω ταχὺ κατατίθεσθαι, ἀλλ' ὅτῳ ταύτην ἔνεστι καλῶς διατίθεσθαι, ἐπεὶ μηδὲ κατενεγγυώμην ταύτην ἐγὼ ἐπί τε τρυφῇ τῆς ἐξουσίας καὶ κολακείᾳ τοῦ σώματος. ὁρῶ δὲ καὶ τὴν φύσιν μετὰ τῆς τύχης ἡμᾶς κατατρύχουσαν. βασιλεία γὰρ καὶ παῖδες καὶ γύναιον κατὰ ταυτὸν ἐπι-

11. an τῶν ἐνθένδε τοὺς λόγους?

cita ab imperatore potenti facundia sua honorifice, et ut imperiali altitudine animi dignum erat, pro concione promulgare atque exponere consueverat. ad imperatorem igitur novum sibi surrogandum praesens Augustus, una cum filia Constantina, quam Mauricio vitae fortunarumque comitem ac sociam individuam tradiderat, ante publicam renuntiationem ad astantium multitudinem hunc in modum disseruit.

Viri Romani, nomen per omnes gentes vulgatissimum honoratissimumque, et propter claritudinem atque gloriam plurimorum linguis decantatum, scitote me nunc magnis et postremis sollicitudinibus cruciari; quarum aliae me stimulant ut a quibus discedendum est, ea recte atque ordine constituta relinquam, aliae ipso transitu ex hac luce, quo a vobis divellar, animum percellunt, quandoquidem quae omnium annorum meorum decursu a me patrata sunt, eorum ratio universorum effectori omnino mihi reddenda erit. et illa quondam libertas ac securitas mea in pavorem non mediocrem vertit. qui enim amplioribus sunt potestatibus praediti, eos plura etiam vitia et peccata plerumque comitantur. caeterum curae super imperio praeponderant, urgentque vehementius, non in cuius cervices illud reclinare festinem, sed cuinam id bene feliciterque committam, quoniam nec mihi idcirco desponsum ac traditum fuit, ut in eo deliciis vacarem et blandimenta corporis consectarer. neque vero quorum fortuna dominatur, ea tantum, sed natura quoque perquam sollicitum me habet. simul imperium, liberi, uxor premunt. res

τίθενται, ἡ μὲν ἡγεμόνα ζητοῦσα σοφόν, ἡ δὲ κηδεμόνα χηρείας ἐπιεικέστατόν τε καὶ εὐσεβέστατον, αἱ δὲ τοῦ χειραγωγοῦντος διὰ τὸ τῆς ἡλικίας ἄωρον τό τε τῆς θηλείας φύσεως ἀσθενέστερον. περιφρονῶ δὲ πολλάκις ὑπὸ τῆς νόσου τὴν φύσιν, καὶ τὸν B
ἐκείνης δραπετεύω δεσμόν, καὶ παίδων ὑπερορῶ, καὶ περιῶπταί μοι γύναιον, ἤδη τεθνάναι δοκῶν καὶ τῆς προμηθείας ἐλευθερίαν λαχεῖν. ἀλλ' εὐθὺς ἡ περὶ τῶν σκήπτρων ἀπαραίτητος φροντὶς εἰσεπήδησεν· οὐ τὸ μόνον γὰρ διατηρῆσαι κράτος ἐμπιστευθὲν ἐστιν ἀγών, ἀλλὰ καὶ τὸ δεόντως ἑτέροις παραπέμψαι τὸν κλῆρον. δεῖ γὰρ τῶν προτέρων ἡγεμόνων εἶναι τοὺς δευτέρους ἀμείνους, ἵνα τοῖς προσφαλεῖσιν ἐκεῖνοι τὴν παρ' αὐτῶν διόρθωσιν V 140
εἰσαγάγωσιν, ἢ διολισθαίνειν ἅπαν συλλήβδην εἰπεῖν τὸ ὑπήκοον, ἀδρανεστέρᾳ κρηπῖδι τὴν βασιλείαν στηρίξαντι. τούτων κατεσθιόντων τῶν λογισμῶν τὴν διάνοιαν, ἡ τεχνῖτις ἡμῖν πρόνοια C
συλλαμβάνει τῶν πόνων, καὶ μίαν μεθ' ἡμῶν βουλὴν προηνέγκατο, καὶ δείκνυσι τὸν βασιλεύσοντα ἐπιβάτην τε τῆς ἐξουσίας ἐσόμενον, Μαυρίκιον τουτονί, ἄνδρα λυσιτελέστατον τῇ Ῥωμαίων ἀρχῇ, πολλοὺς καὶ μεγάλους πόνους ἐγκαταθέμενον, ὥσπερ ἀρραβῶνάς τινας προκαταβαλόμενον τῆς ἐσομένης ἀμφὶ τὸ ὑπήκοον προνοίας αὐτοῦ. τοῦτον αὐτοκράτορα τήμερον ὄψεσθε.

2. quidni τὸν χειραγωγοῦντα? 11. προσφαλοῦσιν P.

Romana rectorem sapientia valentem, coniux curatorem viduitatis suae aequissimum iuxta ac religiosissimum, filiae, qui eas ob immaturam aetatem et muliebris animi imbecillitatem quasi manuducat et regat, desiderant. quanquam ego naturae faces morbo acrius saeviente saepenumero despicio, illiusque vincula abrumpo, et simul liberos posthabeo, simul uxorem negligo, dum me iam hinc excedere et ab huiuscemodi procuratione liberari puto. at enim mox sceptri sollicitudo inexorabilis in me insilit, quando non solum creditum sibi imperium tueri atque conservare, verum id ipsum nihilominus ut hereditatem quandam, et ita ut honestum est, ad alios transmittere difficultatem habet maximam, cum principes successores praestare decessoribus suis oporteat, quo illorum virtute sapientiaque horum lapsus et delicta corrigantur: alioqui, ut summatim dicam, universa imperii moles, tanquam infirmo nitens fundamento, labatur et corruat necesse est. cum hisce curis exederemur, inspectrix omnium rerum providentia molestiam nostram allevavit, consiliumque nobiscum quoddam reperit, et qui secundum nos imperii fastigium conscensurus esset ostendit, Mauricium hunc scilicet, quem coram videtis, hominem rei Romanae opportunissimum, cuius causa nec paucos et praedicandos labores exhausit, futuraeque erga cives sollicitudinis ac provisionis suae quasi quoddam pignus iam deposuit. hunc hodierno die imperatorem aspicietis. tanta porro cum spe et fiducia hanc provinciam omnium gravissimam illi committo ac trado, idque bona cum animi valetudine, ut eidem una cum principatu filiam quoque meam uxorem com-

οὕτω δὲ πέποιθα ἐπὶ τήνδε τὴν μεγίστην ἐγχείρησιν (καὶ τὰ τῆς διανοίας οὐ σχάζει κινήματα) ὡς καὶ τὸ θυγάτριον ἅμα τῇ βασιλείᾳ τούτῳ πεπίστευκα. τηλικούτῳ φύσεως ἐνεχύρῳ θαρρύ- D νων ὑμᾶς, ταύτην ἐφόδιον τὴν ψυχαγωγίαν ἐπὶ τὴν μακρὰν ἐκείνην ἐκδημίαν ἀποίσομαι. καὶ ὑμεῖς δέ μοι μάρτυρες τῆσδε τῆς καλλίστης συντάξεως ἀξιόχρεῳ, ἐξ ὧν ἐπειράθητε ἡμῶν τε ἡνιοχούντων τὴν ἡγεμονίαν καὶ τοῦδε παριππεύοντος λίαν ἡμῖν ἐμφρονέστατα. σὺ δέ μοι, Μαυρίκιε, κάλλιστον ἡμῖν ἐπιτάφιον τὴν σὴν βασιλείαν πεποίησο. κόσμει τὸν ἐμὸν τάφον ταῖς σαῖς ἀρεταῖς, μήτε τὰς τῶν πεπιστευκότων καταισχύνων ἐλπίδας, P 10 μήτε τὰς σὰς ἀγνωμονῶν ἀρετὰς τήν τε τῆς ψυχῆς δραπετεύων εὐγένειαν. χαλίνου λόγῳ τὴν ἐξουσίαν, φιλοσοφίᾳ τὸ κράτος οἰάκιζε· βασιλεία γὰρ ὑψηλόν τι χρῆμα καὶ μετέωρον, ἐς μέγα τὸν ἐπιβάτην ἀπαιωροῦσα, τοῖς τε λογισμοῖς ἐκφρυάττουσα. δόκει μὴ πάντων ὑπερέχειν τῷ φρονιμώτατος εἶναι, εἰ καὶ τὰ τῆς τύχης ὑψηλά σοι παρὰ πάντας. θήρα παρὰ τῶν ὑπηκόων ἀντὶ μὲν φόβου τὴν εὔνοιαν, ἀντὶ δὲ κολακείας τίμα τὸν ἔλεγχον οἷα διδάσκαλον ἄριστον· ἀνουθέτητον γὰρ ἐξουσία, καὶ παιδείας οὐκ ἀνεχόμενον. ἔστω πρὸ τῶν σῶν ὀφθαλμῶν σύνεδρος ἡ δίκη, B πρυτανεύουσα τῶν βεβιωμένων ἀντίδοσιν. νόμιζε τὴν πορφύραν, τῷ φιλόσοφος εἶναι, εὐτελές τι ῥάκος ἀμπέχεσθαι, τὸν δὲ

19. οὐκ deest IP.

mittam, hoc tam eximio naturalique pignore meo ad bene de ipso et re publica sperandum velut quoddam signum sustollens. solatium istuc pro viatico mecum auferens, longam illam peregrinationem inibo. caeterum huius negotii pulcerrime constituti vos nobis testes eritis idonei ac fide digni, quandoquidem et nos, qui imperium gubernavimus, et hunc, qui se nobis adiutorem prudentissimum semper praebuit, experiundo cognovistis. tu vero, mi Maurici, imperium tuum mihi epitaphium longe elegantissimum fac efficias; sepulcrum meum virtutibus tuis condecora, nec eorum spes, qui se totos fidei auctoritatique tuae permiserunt, pudefaciens, nec temet ipsum ignorans, et a praestantia ac nobilitate animi tui degenerans. rationis freno in potestatis magnitudine superbiam cohibe, et ex philosophiae praeceptionibus principatus tui navim dirige. sublime nimirum et excelsum quiddam est imperium, sibique insidentem altius effert, adversus rationem ferociens et insolescens. cave existimes te prudentia anteire omnibus, licet opibus vincas omnes. conare a civibus et subditis tuis diligi potius quam timeri, reprehensionemque ut magistram optimam blanditiis, et assentationibus antepone: potestas enim admoneri se et condocefieri aegre patitur. iustitia perpetuo ante oculos versetur tibique assideat, quae actionibus vitae nostrae condignam mercedem dispensat. quia sapientiae studiosus es, purpura perinde ac nullius pretii panno quopiam te circumdatum, coronamque gemmis illumina-

στέφανον μηδέν τι διοίσειν τῶν ἐπὶ τοῖς αἰγιαλοῖς τῆς θαλάττης ψηφίδων. στυγνὸν τὸ τῆς ἁλουργίδος ἄνθος, καί μοι δοκεῖ τοῖς βασιλεῦσι παρεγγυᾶν μετριοπαθεῖν ἐπὶ ταῖς εὐπραγίαις, καὶ μὴ περιγάννυσθαι καὶ φρυάττεσθαι τῇ πενθίμῳ ταύτῃ τῆς μοναρχίας στολῇ· οὐ γὰρ ἐξουσίαν ἀκολασίας ἀλλὰ δουλείαν ἔνδοξον τὸ σκῆπτρον τῆς βασιλείας φιλοσοφεῖν ἐπαγγέλλεται. ἡγείσθω τῆς ὀργῆς τὸ φιλάνθρωπον, τῆς δὲ σωφροσύνης ὁ φόβος. ἐξέταξε γὰρ καὶ ταῖς μελίτταις ἡγεμόνας ἡ φύσις, ὠχύρωσε δὲ καὶ κέντρον τὸν βασιλέα τὴν μέλιτταν, ὥσπερ τι κράτος αὐτόματον ἐγ- C
κεντρίζουσά πως αὐτῷ, ἵνα καὶ πλήττειν ἔχῃ τὸν μὴ δικαίως πειθόμενον. ἀλλ' οὐκ ἔστιν ἐκεῖνο τὸ κέντρον τυραννικόν, δημωφελὲς δὲ μᾶλλον καὶ δίκαιον. οὐκοῦν ἐκείνης ἐσόμεθα μιμηταί, εἰ μήγε λόγος δύνηται χαρίζεσθαι καὶ τὰ μείζονα. ταῦτα μὲν ὁ προβολεὺς ἐγώ· ἕξεις δὲ τῆς γνώμης ὥσπερ δικαστὴν τὴν ἐξουσίαν ἀδέκαστον, ἢ τιμῶσαν τὰς ἀρετὰς ἢ τὴν κακίαν φαυλίζουσαν."

Ὅτε τοίνυν τὰ τῆς διαλέξεως ἐπερατοῦτο τῷ αὐτοκράτορι, πολὺ τοῖς θεαταῖς τὸ δάκρυον ἐπεκύμαινε, τῶν μὲν ἀνιωμένων ἐπὶ τῷ πάθει, παρ' οἷς καὶ τὰ τῆς εὐνοίας ἦν λιπαρώτερα, ἄλ- D
λων δὲ κατακηλουμένων ἐπὶ τῷ οἴκτῳ διὰ τῆς συμπαθείας· φιλεῖ γὰρ ἡ συμφορὰ καὶ τῷ θεατῇ μεταδιδόναι τοῦ πάθους. τὴν στεφάνην δὲ ὁ βασιλεὺς ἀράμενος, τήν τε πορφυρᾶν διπλοΐδα, ἀμ-

7. ἐνέταξε malim, et 8. κέντρῳ.

tam nihil a calculis et lapillis in littore marino iacentibus differre cogita. flos purpurae tristior est, mihique principes hortari videtur ut rebus prospere fluentibus in officio sint, nec lugubri ista veste monarchatus laetitia gestiant et insolescant: haud enim solutam proterviam, sed insignem splendidamque servitutem potius imperiale sceptrum profitetur. iram mansuetudo, prudentiam timor regat. nam et apibus natura regem praeposuit, eumque aculeo indito ceu naturali quadam facultate armavit, ut male parentes et immorigeros emendare possit: non tamen tyrannicum, verum in commune utilem ac iustum aculeum apis gerit. hanc saltem imitabimur, si melius consilium mens suppeditare non poterit. ista ego ad te tanquam sator ac parens ad filium. habebis autem huius cohortationis meae iudicem quodammodo potestatem illam, quae muneribus minime transversim agitur, et aut virtuti honorem et gloriam, aut improbitati dedecus et contemptum remetitur.

Postquam dicendi datus finis, omnes collacrimari largissime, cum alii super morte imperatori iam proxima dolorem caperent, quorum videlicet in ipsum benevolentia testatior erat, alii per sympathiam miseratione colliquescerent: solet enim aliena calamitas sensum sui communicare cum intuentibus. tum imperator corona purpureaque chlamyde Mau-

πεῖχε τὸν Καίσαρα. διεχεῖτο δὲ πολλὴ ταῖς εὐφημίαις παρὰ τῶν
ὑπηκόων βοή· ἔνιοι γὰρ τὸν προστησάμενον ἀπεθαύμαζον, ἀγά-
μενοι τῆς εὐβουλίας τὸν αὐτοκράτορα, ἕτεροι τὸν ἀναρρηθέντα
V 141 καὶ τηλικαύτης ἡγεμονίας ἑαυτὸν παραθέμενον ἄξιον, ἅπαντες
δὲ τὸν αἴτιον τούτων ἁπάντων θεόν, ἄμφω ταῦτα καλῶς συμβι-
P 11 βάσαντα. ἐπεὶ δὲ ὁ μέγας οὗτος καὶ ὕστατος τοῦ βασιλέως σκο-
πὸς διανυθεὶς ἐτετέλεστο, τά τε τῆς ἀναγορεύσεως ἔθη κατὰ
τοὺς βασιλικοὺς θεσμοὺς ἐπεπλήρωτο, ἐπὶ τὴν ἑαυτοῦ κλίνην
Τιβέριος ὁ αὐτοκράτωρ ἀνέζευξεν.

B 2. Λόγος δὲ καὶ θείαν ὀμφὴν πρό τινος βραχέος τῆς νό-
σου καιροῦ κατηχηθῆναι Τιβερίῳ τῷ αὐτοκράτορι. ἔδοξε γὰρ ἐν
ὕπνοις παρεστάναι αὐτῷ πάγκαλος τὴν θέαν ἀνήρ, ἐνθέου τινὸς
ὡραιότητος εἰκόνα φερόμενος, τῷ μὲν λόγῳ τὸ ἄρρητον, τῇ δὲ
γραφῇ τὸ ἀμίμητον. ἐσθὴς δὲ τῷ νεανίᾳ λευκή, τόν τε τόπον
καὶ τὸν θεατὴν καταυγάζουσα ταῖς μαρμαρυγαῖς τῆς ἐλλάμψεως.
φῆσαι δὲ πρὸς τὸν Καίσαρα, συνδημηγορούσης αὐτῷ τῆς χειρὸς
ἐν τῷ σχήματι, "τάδε σοι, Τιβέριε, τὸ τρισάγιον λέγει· οἱ τύ-
C ραννοι τῆς ἀσεβείας ἐπὶ τῆς σῆς βασιλείας οὐ φοιτήσουσι χρό-
νοι." εἶτα τὸν βασιλέα διανήψαντα τεταράχθαι τῇ φαντασίᾳ,
ὄρθριόν τε διανίστασθαι καὶ τοῖς ἀμφ' αὐτὸν διεξιέναι τὰ τῶν
ὀνειράτων θεάματα.

Τῇ δὲ ὑστεραίᾳ (πρὸς γὰρ τὸν λόγον ἐπάνειμι) τῷ κοινῷ
τῆς φύσεως νόμῳ Τιβέριος, εἰ καὶ βασιλεὺς ἐτύγχανεν ὤν, ἐπει-

ricium Caesarem induit; inde multa faustum acclamantium gratulantiumque vox secuta est. quidam etenim renuntiantem de tam bono consilio admirari; quidam renuntiatum suspicere, qui tanto imperio parem animi virtutem attulisset; omnes autem horum auctorem deum collaudare, qui ambo haec adeo salutariter conciliavisset. ubi summi momenti ultimusque imperatoris scopus et voluntas ad exitum suum perducta consuetudoque legitima in creando imperatore servata est, ad lectulum suum Tiberius Augustus rediit.

2. Fertur autem paulum oppido ante morbum coelestis quaedam vox insonuisse Tiberii auribus. per quietem namque astare illi visus est adolescens aspectu multo pulcerrimus, os humerosque deo similis, supra quam dici aut scribi potest, in veste tam candida ut splendoris sui radiis locum ipsum videntemque perfunderet. hic concionabundi instar protensa manu, talibus Caesarem est affatus. "haec tibi ter sanctum numen indicat, Tiberi: tempora impia et tyrannica te imperatore non venient." (imperium te vivo tyranni non invadent) mane somno experrectus Tiberius visoque illo perturbatus surgit, quaeque sibi quiescenti mirabilia oblata sint, praesentibus refert.

Postero die ab inaugurato iam Mauricio (ut redeam unde paulisper deflexi) Tiberius quantumvis imperator legi naturae com-

θάρχησεν, ἀπέστη τε τῶν τῇδε, καὶ οἷα σκηνὴν τῆς ψυχῆς κατελελοίπει τὸ ἀχθοφόρον τουτὶ καὶ γήϊνον χιτωνίσκιον. καὶ πολὺς ἀνὰ τὸ ἄστυ ἐπεκύμαινε θρῆνος· πολλῶν γὰρ ὀφθαλμῶν ῥεῖθρον διήνοιξε καὶ φλέβας δακρύων ἀνέτεμε, καὶ μέγα ταῖς τῶν πολλῶν ψυχαῖς ἀνεφοίτα τὸ πένθος. τὸ φαιδρὸν τῆς στολῆς διερρήγνυτο, τό τε κατηφὲς τῆς ἐσθῆτος ἀντελαμβάνετο. ἅπαντας D *ἐπὶ τὸ στυγνὸν ἐκεῖνο θέατρον συνεκάλει τὸ ἄκουσμα. εἰσέρρει τὰ πλήθη τῇ βασιλίδι αὐλῇ· οὐκ εἶχε τὰ προαύλια φύλακας τοῖς πολλοῖς προπετάσμασι μόλις τοῖς ἐν ἀξίᾳ φιλοτιμουμένοις τὴν εἴσοδον. κατηφὴς ὑμνῳδία πάννυχος ἦν, ταῖς φωταγωγοῖς λαμπάσι σκυθρωπὸν ὄψιν παρέχουσα. καὶ δῆτα μετὰ τὸν ὄρθρον τὰς ἀκτῖνας προβάλλοντος ἡλίου, καὶ τὸ ὑπέργειον διατρέχοντος ἡμισφαίριον, προύπεμπεν ἅπας τεθνηκότα τὸν βασιλέα, καὶ μετ' εὐφημίας εἶχεν ἐπομβρῆσαν τὸ δάκρυον, πολύς τε ἦν ὁ ἐπιτάφιος ἔπαινος, εἷς ἀπὸ στομάτων πολλῶν προχεόμενος, οἷά τις ποταμὸς εἰς πολλὰς ἀρχὰς μεριζόμενος ἢ δένδρον ὑψιτενές τε καὶ εὔκομον, πολλαῖς τε καὶ μεγάλων κλάδων ἐκφύσεσι διαιρούμενον.* P 12 *εἴωθε γὰρ δεινοπαθεῖν τὸ ὑπήκοον ἐπὶ ταῖς ἀώροις μεταστάσεσι τῶν ἐπιβεβηκότων δυνάμεων, εἴγε πιθανῶς καὶ δημοτικώτερον τῆς ἡγεμονίας ἀπήρξαντο. ἐπεὶ δὲ τοῦτον ὁ τῶν βασιλέων ὑπεδέξατο τάφος, ἐπὶ τὴν ἐς Μαυρίκιον τὸν αὐτοκράτορα δορυφορίαν ἅπας ἐτέτραπτο, καὶ πέρας αὐθημερὸν εἶχε τὸ δά-*

muni obsecutus, et hac onerosa terrenaque tunicula exutus, et tanquam e tabernaculo suo liber egressus, esse inter homines desinit. eius obitu per civitatem ingens extitit lamentatio, atque incisis lacrimarum venis plurimorum ex oculis flumina proruperunt, luctusque singularis populo incessit. pro nitido cultu vestis obsoleta sumebatur. ad moestum illud theatrum omnes auditio convocabat, ut in aulam imperatoriam turmatim confluerent. non sufficiebant pro custodibus complura per vestibula oppansa peripetasmata, per quae solis magistratibus honoris causa introitus concedebatur. tristis psalmorum cantus totam noctem continuabatur, et lucentes per tenebras lychni spectaculum haud iucundum offerebant. ergo a matutino, sole iam radios iaculante coelumque permeante, populus quantus erat, in funus imperatoris se effundit, eumque praedicatione et lacrimarum imbribus prosequitur. multa et una eademque laus iam sepultura afficiendo plurimorum ore profundebatur, similiter ut fluvius aliquis multis capitibus sive initiis manans, aut procera et frondosa arbor compluribus magnisque ramis ab se prodeuntibus dispertita. moris quippe subditorum est immatura principum funera acerbe pati, eorum puta, qui probari et ad gratiam popularem convenienter imperitare occoeperunt. Tiberio in sepulcra imperatorum illato, ad Mauricium Augustum custodiendum ac tuendum omnes satellitum instar sese converterunt, fletusque ex ultimo Tiberii fato sus-

χρονον· οὐχ οὕτω γὰρ τοῖς ἀνθρώποις τῶν παρῳχημένων ἐστὶν ἀνάμνησις ὡς ἡ περὶ τὰ παρόντα μετὰ σπουδῆς ἐπιμέλεια.

B V 142 3. Ἤδη δὲ τὸν τῆς ἱστορίας ὑφαίνειν ἱστὸν ἀπαρχόμενος, τούς τε βαρβαρικοὺς πολέμους ἀναγράπτους ποιούμενος, τῆς κατὰ τοὺς Ἀβάρους κινήσεως πρῶτα μνησθήσομαι διά τε τὸ τῶν πράξεων προσεχέστατον τῆς τε τάξεως τὸ προσφορώτατον. οὐκ ὀλίγα τοίνυν νεανικώτερον παρ' ἐκείνων τὸ τηνικαῦτα τετόλμηται. Οὖννοι δὲ οὗτοι, προσοικοῦντες τῷ Ἴστρῳ, ἀπιστότατον ἔθνος καὶ ἀπληστότατον τῶν νομάδην βιούντων. οὗτοι πρεσβεύονται παρὰ τὸν αὐτοκράτορα Μαυρίκιον, οὐχ ἥκιστα τοῦ μεγίστου C πολίσματος γενόμενοι κάτοχοι. Σίρμιον δὲ τοῦτο ὠνόμαστο, ἄστυ τε περίδοξον ἦν, τοῖς ἀνὰ τὴν Εὐρώπην οἰκοῦσι Ῥωμαίοις περιλαλούμενον καὶ ᾀδόμενον. τοῦτο ἥλω πρό τινος βραχυτάτου καιροῦ τοῦ τὸν αὐτοκράτορα Μαυρίκιον τὰς Ῥωμαϊκὰς μετὰ τῆς πορφύρας ἐνδύντα φροντίδας τῆς τῶν Καισάρων ἐποχεῖσθαι καθέδρας. τὸ δ' ὅπως Μενάνδρῳ τῷ περιφανεῖ σαφῶς διηγόρευται· περὶ ὧν οὔ μοι σχολὴ ἐπεξεργαστικώτερον τοῖς μακροῖς ἐκείνοις λόγοις ἐπεξελθεῖν, αὖθις δ' ἀριζήλως εἰρημένα μυθολογεύειν καὶ ποιητικοῖς ἐπιτρίβεσθαι μώμοις. ἐπεὶ δὲ ἐν χερσὶ τὸ D ἄστυ ἐγεγόνει τῶν Οὔννων, προῆλθον αἱ σπονδαί, ὅπως ἡσυχίαν ἀσπάσοιτο τὸ πολέμιον καὶ τὴν ἠρεμίαν φιλοσοφήσειεν. αἱ δὲ συνθῆκαι ἐπονείδιστοι Ῥωμαίοις· μετὰ γὰρ τηλικούτου κολοφῶνα κακοῦ, οἷά πως ἀγωνοθέται καθήμενοι, ὥσπερ ἆθλον

ceptus eo ipso die exaruit. sic enim est ingenium hominum, non tam meminisse praeterita quam studiose curare praesentia.

3. Nunc porro historiae telam texere exorsus, bella adversum barbaros administrata litteris persequar, et motum expeditionemque contra Abares primo loco, quando res illae rebus hactenus a me expositis continentissimae sunt et is ordo est commodissimus. non pauca igitur tunc ab illis per inconsideratam temeritatem et audaciam perpetrata sunt. Abares Hunni origine Istrum accolunt, gens infidissima et avarissima omnium, quotquot vitam pastoritiam agitarunt. hi urbe longe amplissima potiti ad Mauricium Augustum legatos miserunt. erat huic urbi nomen Sirmium, famaque et sermone propter nobilitatem a Romanis Europaeis celebrabatur; quam prius ceperant parvo admodum spatio, quam Mauricius curas Romanas una cum purpura indueret solioque imperatorio consideret. quo eam modo occuparint, perspicua oratione et distincte non ignobilis auctor Menander memoravit. ego otio non sic abundo, ut eius longitudini accuratius et elaboratius aliquid possim addere, praeclareque dicta iterum dicere, et poetae reprehensionem incurrere. ergo ubi Sirmium in manibus Hunnorum fuit, legatione missa ad foedus processum est, ut positis inimicitiis paci tranquillitatique consuleretur. sed foedus illud Romanis probrosissimum accidit, post tantarum siquidem cladium ab illis invectarum colophonem, ipsi velut certaminis arbitri se-

εὐδοξίας δῶρα λαμπρὰ τοῖς βαρβάροις παρείχοντο, ὀγδοήκοντα τε χιλιάδας χρυσῶν καθωμολόγουν ἀν' ἔτος ἕκαστον τοῖς βαρβάροις ἐγκαταβάλλεσθαι δι' ἐμπορίας ἀργύρου τε καὶ ποικίλης ἐσθῆτος. οὐ περαιτέρω δὲ διήρκεσαν τῶν δύο ἐνιαυτῶν αἱ P 13 σπονδαί· κατηυθαδιάσατο γὰρ Ῥωμαίων ὁ παρὰ τοῖς Οὔννοις Χαγᾶνος οὕτω λεγόμενος. φήμη δέ τις ἀμφ' αὐτὸν πρὸ τοῦ τὴν εἰρήνην διαφθαρῆναι περιεκέχυτο, ὡς ζῶα τρέφεται παρὰ Ῥωμαίοις τῷ μεγέθει καὶ τῷ σώματι ἐμφανέστατα. διὸ ἐζήτησε βασιλέα εἰς θέαν τούτων ἐλθεῖν. καὶ ψυχαγωγεῖ θᾶττον ὁ βασιλεὺς τῆς ἱστορίας τὸν ἔρωτα, καὶ δίδωσιν εἰς θεωρίαν ἐλεφάντων γενέσθαι, πέμψας ὡς αὐτὸν ἐκ τῶν παρ' αὐτῷ τρεφομένων θηρίων τὸ ἐξοχώτατον. ὁπηνίκα δ' εἶδεν τὸ Ἰνδικὸν ζῶον ὁ Χαγᾶνος ἐλέφαντα, παραυτίκα καταλύει τὸ θέατρον καὶ παλινοστεῖν προστάττει τὸ θηρίον παρὰ τὸν Καίσαρα, ἢ καταπλαγεὶς B τὸ θαυμαζόμενον ἢ ἀποφαυλίσας, οὐκ ἔχω εἰπεῖν· οὐ γὰρ ἂν ἐκρυψάμην. ἐποχλεῖ δὲ τὸν Καίσαρα καὶ κλίνην χρυσῆν τεχνουργήσαντα ὡς αὐτὸν παραπέμψαι· ἐπὶ τοσοῦτον γὰρ τοῦτον μετεώριζεν ἡ τῆς παρούσης τύχης ἀκρώρεια. βασιλεὺς δὲ τὸ δῶρον ἐξεργασάμενος βασιλικῶς μετεπέμπετο. ὁ δὲ σοβαρευόμενος πολλῷ μᾶλλον κατεβρενθύετο, οἷα προπηλακιζόμενος τῷ ἀναξίῳ τοῦ δωρήματος, ἀπεπέμπετο δὲ παρὰ τὸν αὐτοκράτορα ὡς εὐτελές τι καὶ ἄκομψον τὴν χρυσῆν ἀλαζονικώτερον κλίνην. καὶ μὴν C ἠξίου καὶ πρὸς ταῖς ὀγδοήκοντα τοῦ χρυσοῦ χιλιάσι καὶ ἑτέρας εἴ-

dentes, barbaris dona illustria quasi quaedam inclytae virtutis praemia tribuerunt, octoginta aureorum millia in argento variaque veste a mercatoribus in annos singulos sese numeraturos polliciti. nec tamen diutius biennio foedus sanctum fuit, cum se princeps Chaganus (ut Hunnis appellabatur) contra Romanos superbe et immodeste gereret. ad cuius aures cum ante pacem violatam pervenisset animantes quasdam ali apud Romanos granditate et forma corporis visendas maxime, imperatorem oravit uti eas spectandi copiam sibi faceret. is huic videndi desiderio celeriter gratificandum ratus, elephantorum quos habebat praestantissimum pro spectaculo ad eum mittit. Chaganus belluam Indicam intuitus illico ceu e theatro digreditur, eamque ad imperatorem reduci iubet. utrum quia admirabilitate ac novitate animalis percelleretur, an quia id contemneret, dicere non habeo: nec enim id silerem. negotium praeterea imperatori exhibuit de lecto aureo, quem is artificiose confectum sibi mitteret: eo usque enim ob praesentis fortunae fastigium sese efferebat. imperator donum regaliter fabrefieri curat, eique transmittit. qui fastidio et arrogantia praeceps multo magis fremere, ut qui muneris indignitate contumeliam accepisset, lectumque illum aureum ut rem vilem et inelegantem ad imperatorem per arrogantiam remittere; insuper

κοσιν ἀν' ἔτος ἕκαστον παρὰ Ῥωμαίων ἀποίσεσθαι· καὶ δῆτα δυσανασχετοῦντος τοῦ αὐτοκράτορος, περιφρονεῖ τὰς συνθήκας
V 143 *καὶ τοὺς ὅρκους ταῖς αὔραις φέρειν ἐδίδου,* (4) *ἀθρόον τε τὴν πολέμῳ φίλην ἀράμενος σάλπιγγα τὰς δυνάμεις συνήθροιζε,*
D *καὶ τὴν Σιγγηδόνα τὴν πόλιν ἐξαπιναίως ἄφρακτον οὖσαν ἐλάμβανεν, πολεμικῶν τε ὀργάνων χηρεύουσαν διὰ τὸ ἐκ τῆς εἰρήνης ῥαθυμίαν πολλὴν ὑπερεκχεῖσθαι τῆς Θρᾴκης· ἀφύλακτον γὰρ εἰρήνη, καὶ προμηθείας οὐκ ἀνεχόμενον. τῶν τε τοῦ ἄστεος τοῖς πλείστοις συμπαρομαρτεῖ ἐκτὸς αὐλιζομένοις, τῆς ἅλω τοῦτο κατεπειγούσης ποιεῖν· θέρους γὰρ ὥρα ὑπῆν, καὶ ὅσον ἀποζῆν ἐθησαυρίζοντο. ἀκονιτὶ δὲ τὴν πόλιν οὐχ εἷλεν ὁ βάρβαρος· μεγίστη γὰρ συμπλοκὴ ἀνὰ τὰς πύλας συνεπεπτώκει τοῦ ἄστεος, πολλοῖς τε τῶν Ἀβάρων διαφθαρῆναι συνέτυχε, Καδμείαν τε, τὸ τοῦ λόγου, ἀποφέρεσθαι νίκην. πολλὰς δὲ καὶ ἑτέρας ἀστυγείτονας πόλεις ληΐζεται. ταύτας δὲ ῥᾷστα καὶ πόνων ἐκτός·*
P 14 *ἀόρατον γὰρ ἦν τὸ κακὸν καὶ ταῖς ἐλπίσιν ἀπαραδόκητον. ἀνελών τε Αὐγοῦσταν καὶ τὸ Βιμινάκιον (πόλεις δ' αὗται λαμπραὶ ὑπὸ τὸ Ἰλλυρικὸν φορολογούμεναι) παραυτίκα στρατοπεδεύεται, καὶ τὴν Ἀγχίαλον περιτέμνεται, τάς τε περιοικίδας κώμας ἐδῄωσε. τὸν δὲ τῶν θερμῶν ὑδάτων οἶκον οὐκ ἀναστῆσαι φασί. λόγος δέ τις ὡς ἡμᾶς ἐξεφοίτησεν, ἐνθάδε τὰ τοῦ Χαγάνου ἀπορρύψασθαι γύναια, καὶ μισθὸν τῆς ἀπολαύσεως ἐκεῖνον αἰτεῖν μὴ καταρρίπτειν τὰ τῶν ὑδάτων οἰκοδομήματα. λέγεται δὲ τὰ ὑδάτια*

9. *ἐκτὸς*] *ἐν τοῖς* IP. 14. *πολλάς τε καὶ ἄστει γείτονας* IP. 21. *ἀποκρύψασθαι* IP.

ad octoginta illa millia alia viginti anniversarie sibi a Romanis pendi postulare, imperatoreque id durius accipiente foedus contemnere, sacramenta iurata ventis discerpenda tradere, (4) nec cunctatus amicam bello tubam corripit, agmina in expeditionem evocat, urbemque Singidonem haud munitam et militari apparatu destitutam, quod ex pace et otio Thracia tota in socordiam et desidiam versa esset (negligit enim custodiam pax, nec in futurum prospicit), quodque civium plurimi, ut in messe, foris manentes, quantum vitae tolerandae sufficeret, frugum sibi demetendo colligerent, subito, quanquam non citra laborem, capit. nam intra portas acerrime pugnatum est; Abares obtruncati magno numero, et Cadmea, ut dicitur, reportata victoria. alias item non paucas et huic vicinas depraedatus est, et quidem minime operose, improvisum siquidem ac neutiquam expectatum malum veniebat. Augusta et Viminacio ad Illyricum pertinentibus in potestatem adductis, mox Anchialum infesto exercitu profectus eius agrum et vicos circumiectos populationibus et incendiis deformavit. thermarum aedificiis pepercisse audivimus, quod eius concubinae ibi lavarentur istamque commercii cum eo sui gra-

ταῦτα τοῖς λουσαμένοις ἀγαθὸν εἶναι καὶ εἰς ὑγείαν τούτοις συμμαχεῖν. τριῶν δ' ἐπιγενομένων μηνῶν πρεσβεύονται Ῥωμαῖοι πρὸς Χαγᾶνον καὶ τὸν πόλεμον ἀπεκηρυκεύσαντο, Ἐλπίδιον ἐκ- B πέμψαντες, ἄνδρα ἐς συγκλήτου βουλὴν ἀναγόμενον, τῆς τε Σικελίας ἡγεμονεύσαντα καὶ τῶν τοῦ πραίτωρος ἐπιβάντα βημάτων· ἀρχὴ δέ τις αὕτη παρὰ Ῥωμαίοις οὐκ ἄκομψος. ξυνωρικεύουσι δ' αὐτῷ καὶ Κομεντίολον, ἄνδρα τῶν σωματοφυλάκων τοῦ βασιλέως ὑπερφερόμενον, ὃν σκρίβωνα τῇ Λατινίδι φωνῇ Ῥωμαῖοι κατονομάζουσιν. ἧκον γοῦν ἄμφω παρὰ τὸν Χαγᾶνον ἐπὶ τὴν Ἀγχίαλον, καὶ περὶ σπονδῶν ἠξίουν ὡς προσετάχθησαν. τοῦ δὲ μὴ μετριοπαθοῦντος ἐπὶ τοῖς ἀδικήμασιν, ἀλλὰ καὶ προσαπειλοῦντος αὐθαδικώτερον τὰ λεγόμενα τείχη καθαιρήσειν μα- C κρά, καὶ τοῦ μὲν Ἐλπιδίου ὑποχαλῶντος τοῖς λόγοις καὶ οὑτωσὶ θεραπεύοντος οἰδαινόμενον φρύαγμα, Κομεντίολος μεγαλοφρόνως τὴν τῆς γλώττης εὐγένειαν ἐπεδείκνυτο, τήν τε Ῥωμαϊκὴν ἐλευθερίαν δίκην σώφρονος δεσποίνης τινὸς ἄχραντον θαλαμεύων καὶ μὴ διαφθείρων μοιχικαῖς κολακείαις, τῶν ἀξιολογωτέρων τῶν Ἀβάρων ἅμα τῷ Χαγάνῳ παρόντων, τοῖσδε προσεχρήσατο ῥήμασιν.

5. "Ἐδόκουν σε Ῥωμαῖοι, Χαγᾶνε, τούς τε πατρῴους θρησκεύειν θεοὺς καὶ τοὺς ἄλλους τῶν ὅρκων αἰσχύνεσθαι, καὶ δεξιὰς καὶ συνθήκας μηδαμῶς ἀποσείεσθαι, μηδὲ τὸν τῆς εἰρή- D νης ἄξονα διὰ σοῦ καταβάλλεσθαι, οὐ μὴν ἀλλὰ καὶ δώρων βα-

13. ὑποχαλῶντος Excerpta de Legatt. ὑποχαλοῦντος IP.

tiam peterent. ferunt aquulas istas lavantibus proficere, et ad corporis sanitatem conducere. tribus mensibus elapsis Romani ad Chaganum oratores mittunt, bellum deprecantes. unus erat Elpidius, imperialis senator, Siciliae praetura functus; qui magistratus apud Romanos in honore est. huic Elpidio collegam addunt Comentiolum, de custodibus imperatoris praecipuum, Latini scribonem dicunt. Anchialum igitur ad Chaganum venientes legati, uti in mandatis habebant, de foedere conservando rogabant. cum is in inferenda iniuria nihil mitesceret, sed superbius etiam minitàretur se longum murum, qui nominatur, disiecturum, et Elpidius ei tacens concederet itaque tumentem hominis fastum sustineret, Comentiolus excelsa mente ingenuitatem linguae suae demonstrans, Romanamque libertatem velut pudicam dominam in thalamo custodiens, nec eam moechicis adulationibus constuprans, audiente Chagano et proceribus huiuscemodi verbis locutus est.

5. "Credebant Romani, Chagane, te patrios deos colere, et alios item iurisiurandi praesides revereri, dextrasque et pacta conventa nequaquam vili pendere, neque pacem per te turbatum et eversum iri, sed et donorum, quae ab imperatoribus multa tulisti, et quam expertus

σιλικῶν μεμνῆσθαι πολλῶν καὶ φιλοφροσύνης Ῥωμαϊκῆς, καὶ τῆς
περὶ τοὺς σοὺς προγόνους εὐεργεσίας, ταὐτὸν δὲ φιλοξενίας εἰ-
πεῖν, ἐπιλήσμονα μὴ γεγενῆσθαί ποτε, μήτε δ' ἑτέρων τῶν ὑπὸ
V 144 σοῦ τεταγμένων ἀδικούντων Ῥωμαίους ἀνέχεσθαι· πρέπει γὰρ
τοὺς ἡγεμόνας σωφρονεστέρους τῶν ὑπηκόων καὶ εἶναι καὶ ὀνο-
μάζεσθαι, ἵνα ὅσον τῷ κράτει ὑπερέχουσι, τοσοῦτον καὶ τῇ ἀρε-
P 15 τῇ διενέγκωσι. τοιγαροῦν διὰ τὴν ἐκ τῆς εἰρήνης εὔνοιαν ἀμνη-
μονοῦσι Ῥωμαῖοι τῶν ὑπὸ σοῦ προϋπηργμένων δεινῶν, καὶ πολ-
λῶν ἀδικημάτων γεγόνασιν ἐπιλήσμονες, καὶ φιλανθρωπίᾳ πάν-
των τῶν ἐθνῶν διαφέροντες οὐ πρὸς ὄρεξιν ἀντιλυπήσεως κεκινή-
κασιν ὅπλα· τὴν γὰρ ἐς ὕστερον ἠρεμίαν τῶν ἔμπροσθεν ἀδικη-
μάτων νεανικώτερον ἐγχειρηθέντων περὶ πολλοῦ ἐπεποίηντο, χαί-
ρειν φράσαντες ταῖς ἀντιδόσεσιν. ἐπεὶ δὲ πάντα σοι παρῶπται
τὰ πρὸς καλοκαγαθίαν ὁρῶντα, καὶ δίκης ὄμμα τυφλόν, καὶ πό-
δες προνοίας χωλεύουσιν, ἀμοιβὴν ἀξίαν τοῖς βεβιωμένοις ἀντι-
B μετρεῖν οὐ δυνάμενοι, θεὸς δέ σοι τὸ βούλημα, ὅποι καὶ θέλει
φερόμενον, οὐκ ἐπιλήσονται Ῥωμαῖοι τῆς ἑαυτῶν ἀρετῆς, ἀλλὰ
καὶ μέγιστον κομιδῇ κατὰ σοῦ συστήσονται πόλεμον, καὶ φόνον
πολὺν χειρουργήσουσι. προσηνέστερος γὰρ αὐτοῖς τῆς εἰρήνης
ὁ πόλεμος, ὅτε μὴ τὴν ἡσυχίαν ἀσπάσοιτο τὸ πολέμιον. τί γὰρ
Ῥωμαίων τῶν πώποτε γῆς εὐκλεέστερον ὑπὲρ ἐλευθερίας ἀθλούν-
των καὶ δόξης καὶ πατρίδος καὶ παίδων; εἰ γὰρ ὄρνισιν εὐτελε-
στάτοις τισὶν ὑπὲρ τοῦ μὴ ἡττηθῆναι ἑκάτερον μήτε εἶξαι θα-

es, Romanorum humanitatis ac benevolentiae meminisse, collataque in maiores tuos merita hospitalitatemve nunquam non infixam in animo habiturum, nec passurum a tuis ullum Romanis maleficium importari. aequum est enim principes iis, quibus iura et leges dant, moderatiores et esse et nominari, ut quantum iis amplitudine imperii antecedunt, tantum virtutis quoque eminentia antecellant. quapropter ob initam ex pace composita amicitiam, Romani calamitatum abs te sibi illatarum memoriam ponunt, multaque praeter ius et fas in se commissa voluntaria oblivione obruunt. et quoniam humanitatis laude inter omnes gentes principatum tenent, vindictae desiderio arma movere noluerunt, pacemque consecutam detrimentis superioribus per insolentiam vestram invectis opponentes mala malis compensanda non putarunt. quia vero cum probitate rationem nullam habere vis, et oculus iustitiae caecus est, pedes providentiae claudicant, ut factis tuis dignum reddere pretium nequeant, et cupido tua tibi deus sit, agens te quo lubet, Romani virtutem pristinam in pectus revocantes longe durissimum adversus te bellum consensu comparabunt, magnas strages edent, utpote quibus arma, hostibus quiescere detrectantibus, quam pax iucundiora sunt. qui enim populus, quae gens in orbe terrarum fuit unquam Romanis pro libertate, pro gloria, pro patria, pro liberis decertantibus illustrior? nam si volucres quae-

τέρῳ τὸν ἕτερον πόλεμος καρτερὸς καὶ μαινολίς ἐστι παράταξις, τί δῆτα ἀνθρώπους οἴει καὶ Ῥωμαίους, ἔθνος τε μαχιμώτατον καὶ βασιλείαν ὀνομαστοτάτην; ἧς οὐ ῥᾴδιον καταφρονεῖν, εἰ C μήγε μόνον αὐταῖς ταῖς ἐνάρξεσι. μὴ τοίνυν μεγαλαύχει ἐπὶ τοῖς κακῶς διατεθεῖσι καὶ ἀπίστως τὸ τήμερον· ἐπὶ γὰρ τοῖς κατωρθωμένοις τὸ μέγα φρονεῖν ἴσως ἐπαινετόν· τὸ δ' ἐπὶ κακίᾳ βρενθύεσθαι ἐν ὕβρεως μοίρᾳ, οὐκ ἐν εὐκλείᾳ προσήκει χαρακτηρίζεσθαι. μεγάλα σοι τὰ πρὸ μικροῦ τῆς ἀγνωμοσύνης ἀνδραγαθήματα· ἀλλὰ μεγίστη καὶ Ῥωμαίων ἡ δύναμις, ἥ τε τοῦ Καίσαρος ἐπιμέλεια, καὶ τῶν ὑποφόρων ἐθνῶν τὸ ἐπίκουρον, ἥ τε τῶν χρημάτων ῥοπή, τό τε τῆς θρησκείας παρὰ πάντα τὰ τῆς οἰκουμένης ἔθνη εὐσεβέστατον καὶ διὰ τοῦτο καὶ δυνατώτατον. οἷς D ἀντιστρατεύειν μόνον ἠθέλησας, τοῦ δὲ ὅπως ἂν εἴη ἠμέλησας. ποίους δὲ καὶ παρὰ τοῖς ὁμόροις ἔθνεσιν εὐδοξίας χαρακτῆρας ἀποίσῃ, Ῥωμαίους ἀγνωμονῶν; ἢ τί σοι λοιπὸν ἐνέχυρον πίστεως καταλέλειπται; οἱ σοῦ παρὰ σοῦ παροινοῦνται θεοί· ὅρκοι βιάζονται, σπονδαὶ καταλέλυνται, εὐεργέται πάσχουσι κακῶς ὑπὸ σοῦ· οὐ πείθουσι δῶρα δύναμιν αἰδέσιμον ἔχοντα. ἔασον ἡμᾶς ἠρεμεῖν. μὴ τὴν σὴν εὐκαιρίαν πρὸς κακὴν ἀδολεσχίαν μετάβαλε, καὶ τοὺς μηδὲν ἠδικηκότας, μόνον δὲ διὰ τὸ γείτονας εἶναι, λυμαίνειν πειρώμενος. αἰδέσθητι πρὸ τῆς σῆς κορυφῆς τὸ

16. nonne οἱ σοί?

dem villissimae ne vincantur neve cedant invicem, valide furenterque confligunt, quo tu animo tandem homines et Romani generis ac seminis homines fore arbitraris, gentem bellicosissimam et imperium omnium linguis celebratum, quod (nisi in ipsa origine et infantia sua) haud aliquando contemni potuit? quare ob ea quae ad hanc diem improbe contraque fidem designasti, non est quod te iactites. propter recte facta sibi placere laudi fortasse dabitur: at in vitio se magnifice circumspicere, superbiae, non honori et gloriae adscribendum est. nobilia tu quidem non multo antehac et iniqua facinora fecisti: sed maximae etiam sunt Romanorum vires, maxima imperatoris diligentia, maxima subiectarum illi gentium auxilia. huc accedit praesentis pecuniae commoditas, et sacrorum, ut nusquam, religiosissimae sanctissimaeque caerimoniae; quamobrem officere illis potentia nulla potest. hos tu oppugnare tantummodo vis, quo autem res evasura sit, non curas. qualem porro apud finitimas gentes nomini tuo maculam inures, si te in Romanos ingratum iniustumque praebeas? aut quodnam fidei tuae pignus est reliquum? dii tui abs te laeduntur; susceptum sacramentum violatur, foedus frangitur, de bene meritis male mereris; dona, quorum est veneranda efficacitas, tibi non persuadent. patere nos quiescere, neve opportunitatem tuam ad occupationem non bonam, iis qui nulla in re tibi obfuerunt, nisi quod vicini sunt, nocere attentans, transferre velis. age,

P 16 *Ῥωμαϊκὸν τουτὶ καὶ ἡμέτερον ἔδαφος· τοῦτό σοι σωτήριον γέγονε, καὶ μετανάστην ἐνηγκαλίσατο, καὶ ξένον καὶ ἔπηλυν εἰσῳκίσατο, ὅτε τῆς ἔω τοῦ τε ἀρχεγόνου φύλου ὁ σὸς ἀπόδασμος ἀπερρωγὼς διεσχίζετο. μὴ τὸν καλὸν τῆς φιλοξενίας διαλύσῃς θεσμόν, καὶ κατείπωσι φιλανθρωπίας οἱ ἄνθρωποι, καὶ διδάξεις τοὺς ἀκούοντας ὡς αἰτίαν κακῶν βδελύττεσθαι τὴν ἀσέβειαν. εἰ δὲ καὶ χρημάτων ἐρᾷς, ἤδη σοι τοῦτο παρὰ Ῥωμαίοις διήνυσται· φιλότιμον γὰρ τὸ ἔθνος, καὶ θησαυρὸς αὐτοῦ τὸ μεγαλοπρεπὲς καὶ φιλόδωρον. ἔστι δέ σοι καὶ γῆ εὐρεῖά τε καὶ πολλῷ τῷ μήκει τὴν ἐπίδοσιν ἔχουσα, ὡς μήτε στενοχωρεῖσθαί ποτε τοὺς* B *οἰκήτορας μήτε θρύψεως ἀπορεῖν τοὺς ἐπιβαίνοντας. ἐπάνηκε τοίνυν ἐπὶ τὴν σὴν γῆν, ἣν καὶ σοὶ Ῥωμαῖοι πεφιλοτίμηνται, καὶ περαιτέρω τῶν σῶν ὅρων τὴν σὴν μὴ μετοχέτευε δύναμιν. οὐδὲν γὰρ ἀδικήσουσιν ἄνεμοι, εἰ καὶ ῥαγδαίως ἐπιφοιτήσωσι, δένδρον εὐσθενὲς καὶ μετάρσιον, ᾧπερ ἡ κόμη πολλὴ στερρόν τε τὸ πρέμνον ἔμβιοί τε αἱ ῥίζαι ἀμφιλαφές τε τὸ σκίασμα, ὅπερ διατρέφουσιν ὧραι καὶ ὕδωρ, ἢ τοῖς ὀχετοῖς κατάρδον, ἢ τοῖς* V 145 *ὑετοῖς οὐρανόθεν περιλιμνάζον τε καὶ πιαῖνον. οἱ δὲ καὶ ἀκόλαστον πόδα περαιτέρω τῶν οἰκείων ἐκτείνοντες μετά τινος ἐνδίκου ποινῆς ὀψέ ποτε φιλοσοφήσουσι, τὴν αἰσχύνην ἀνιαροτέραν τῶν παθημάτων φέρειν οὐκ ἔχοντες."*

C 6. *Ἐπεὶ δ' ὁ μέγας οὗτος διεπερατοῦτο τοῖς ῥήμασιν ἔλεγχος, ἀνάζεσις αἵματος μέγαν τῷ Χαγάνῳ θυμὸν ἐπεκύμαινε,*

6. ὡς] καὶ IP. 9. γῆς IP.

prae amplitudine tua Romanum hoc et nostrum solum reverere. hoc tibi salutare fuit, exulem complexum est, peregrinumque et advenam sedibus recepit, quando ab oriente et a primigenia gente vestra portio tua ut fragmentum divulsum ac divisum est. noli praeclaram hospitalitatis legem infringere, et vagabitur latissime humanitas tua, docebitque audientes exemplo tuo impietatem malorum fontem et caput detestari. quodsi te pecunia delectat, iam ea tibi a Romanis parata est, qui honoris sunt avidi, magnificentiamque et liberalitatem pro thesauro habent. tenes tu porro terram latam et admodum longam insuper, qua neque coartentur indigenae neque ad vitam mollem et delicatam requisitis egeant. quocirca in tuam regionem tibi a Romanis donatam regredere, ultra fines tuos exercitum mitte educere: nihil enim ventorum impetus incommodabit arbori robustae, excelsae, frondosae, cuius truncus validus, vivida radix, ampla inumbratio, quam anni tempestas, et vel rivo deductae vel de coelo circumstagnantis aquae humor nutrit ac pinguefacit. qui autem trans fines suos proterve pedem transtulerint, cum iusta poena sero tandem sapient, ubi dedecus ipso damno tristius ferre non poterunt."

6. Ut primum finita est ista verborum acerbior castigatio, Chagano sanguis effervescere et magnos irarum fluctus in pectore excitare,

τό τε πρόσωπον ἅπαν ὑπὸ τῆς ὀργῆς ἐφοινίσσετο· καὶ τῶν ὀφθαλμῶν ὑποκροκαινομένων τῇ φλογὶ τῆς ἀνοίας, διόλου τε τοῦ σχήματος ὑποδηλούντων ὅτι μὴ τῶν πρέσβεων φείσεται, τῶν τε ὀφρύων ἐς μέγα ἐξανισταμένων καὶ μικροῦ δεῖν τῶν μετώπων D ἀπειλουσῶν ὑπερίπτασθαι, μέγιστος ἐπηώρητο τῷ Κομεντιόλῳ ἐκ τῆς διαλέξεως κίνδυνος· τὴν γὰρ τῶν πρέσβεων ὁ βάρβαρος διαφθείρας αἰδῶ, δεσμοῖς τὸν Κομεντίολον ἠτίμωσεν, ἐν εἱρκτῇ τε ξύλων ποδοκάκῃ τοὺς πόδας ὑπέθλιβε, τό τε σκηνοπήγιον διέρρηξε τὸ τοῦ πρέσβεως. κἀντεῦθεν ἐπιχωρίῳ νόμῳ τινὶ ζημία θάνατος ἦν ἀπειλούμενος. τῇ δὲ ὑστεραίᾳ τὰ τοῦ θυμοῦ κατηυνάζετο, λόγοις τε πιθανοῖς παρηγοροῦντο οἱ τῶν Ἀβάρων δυνατώτατοι τὸν ἡγεμόνα, ὑποπείθοντες ὅπως μὴ δογματίσοι κατὰ Κομεντιόλου τὸν θάνατον. καὶ πείθουσι μέχρι τῶν δεσμῶν ἀποχρήσειν ἀδικεῖσθαι τοὺς πρέσβεις. ἐπινεύσας γοῦν ὁ Χαγά- P 1 νος ἠτιμωμένους ὡς βασιλέα ἐξέπεμπεν, σωτηρίαν οὐ προσδόκιμόν σφισιν αὐτοῖς δωρησάμενος.

Τοῦ δ' ἐπιόντος ἔτους πάλιν ὁ Ἐλπίδιος ἐπὶ τῇ αὐτῇ πρεσβείᾳ χειροτονηθεὶς ἀποστέλλεται. καὶ ὡς τὸν Χαγᾶνον γενόμενος ἐζήτει πρεσβευτὴν ἅμα αὐτῷ ἐς βασιλέα γενέσθαι, ὅπως ἀναζωπυρήσειε τὰς σπονδὰς καὶ εἴκοσιν ἑτέρων χιλιάδες χρυσῶν ταῖς συνθήκαις εἴησαν ἐπαυξήματα. ὁ δὲ Χαγᾶνος τοὺς λόγους εἰσεποιήσατο, Ταργίτιόν τε τῷ τῶν Ἀβάρων φύλῳ ἄνδρα περίβλεπτον ὡς τὸν Καίσαρα σὺν Ἐλπιδίῳ παρέπεμπεν. ἧκον δ'

8. ὑποδηλοῦντος Exc. de Leg. 11. κατηυξάνετο IP. correctum ex Exc. 13. κατὰ addita ex Exc. 14. ἀποχρήσει IP. 19. ἐζήτει Exc. ἐξῄτει IP. 20. immo ἑτέρας.

vultus totus rubescere, oculisque prae furore scintillantibus et immodice arrectis ac propemodum supra frontem sublatis superciliis, toto denique habitu subindicare non sic abiturum legatis, et Comentiolo propter orationem pronuntiatam periculum gravissimum denuntiare. spreta enim et abiecta legatorum reverentia, barbarus illum in carcerem abduci, pedes eius cippo constringi tabernaculumque discindi iussit; quo indicio cuipiam poena mortis lege provinciali exspectanda intelligebatur. die postero, augescente ira, primores Abarum oratione idonea principem mitigant, monentes ne supplicium capitis in Comentiolum decernat, persuadentesque legatos in vincula duntaxat traditos satis ei poenarum persolvisse. annuit Chaganus, et hac ignominia multatos, ac salute quam non sperabant donatos, ad imperatorem remittit.

Anno insequenti Elpidius iterum ad eundem missus, legatum una secum super foedere instaurando et aliis viginti aureorum millibus priori summae addendis remitti precatur. Chaganus petitionem haud aspernatus, Targitium hominem inter Abares spectatissimum cum Elpidio ad imperatorem legat.

B ἄμφω ἐς βασιλέα, ῥήτρα τε καὶ ὁμολογία ἐγίνετο ἢ μὴν εἴκοσι χιλιάδας πρὸς ταῖς ὀγδοήκοντα καταθεῖναι Ῥωμαίους χρυσῶν, ἢ πόλεμον ἀντιλαμβάνειν παραμελήσαντας. τοιγάρτοι αἱ συνθῆκαι δοκοῦσί πως ἀναθάλπεσθαι, καὶ ὁ πόλεμος ἐκεχειρίαν ἐλάμβανε. μετά τινα δὲ βραχεῖαν χρόνου ῥοπὴν ἡ τῆς εἰρήνης εὐεξία νοθεύεται, καὶ πάλιν Ῥωμαίοις τὸ τῶν Ἀβάρων ἐπιτίθεται φῦλον, ἀλλ' οὐκ ἀναφανδόν, ῥᾳδιουργικώτερον δέ πως καὶ δολερώτερον. C (7) τὸ γὰρ τῶν Σκλαβηνῶν ἔθνος ἐπαφίησι, καὶ πλεῖστα τῆς Ῥωμαίων γῆς ἀποκείρεται, καὶ τῶν μακρῶν μέχρι καλουμένων τειχῶν, οἷα δὴ ἄττοντες, ἀθρόον προσβαλόντες ταῖς ὄψεσι, πολὺν ἀπεργάζονται φόνον. διὸ καὶ δεδιὼς βασιλεὺς τὰ μακρὰ διεφρούρησε τείχη, καὶ τὰς περὶ αὐτὸν τῶν στρατευμάτων πληθῦς ἀπεξῆγε τῆς πόλεως, ὥσπερ ἀξιολογώτατον ἔρυμα περὶ τὸ ἄστυ αὐτοσχέδιον μηχανώμενος. τότε δή, τότε Κομεντίολος οὐκ ἄκομψον ταξιαρχίαν πιστεύεται, κατὰ δὲ τὴν Θρᾴκην ἐπιὼν ἀπελαύνει τῶν Σκλαβηνῶν πλήθη. ἀφικνεῖται δὲ καὶ κατὰ τὸν D V 146 Ἐργινίαν, οὕτω καλούμενον ποταμόν, καὶ ἀδοκήτως ἐπὶ τοῖς Σκλαβηνοῖς καὶ καρτερῶς ἐπιτίθεται, καὶ θάνατον πολὺν τοῖς βαρβάροις ἀπεσχεδίασε. διά τοι τοῦτο καὶ στρατηγὸς ὑπὸ τοῦ αὐτοκράτορος αὖθις χειροτονηθεὶς ἀποστέλλεται, καὶ Ῥωμαϊκαῖς ἀξίαις λαμπρύνεται, τήν τε τοῦ Πρεσεντίου τὴν παρὰ Ῥωμαίοις λεγομένην ἔνοπλον ἡγεμονίας τιμὴν ἀποφέρεται. εἶτα παριόντι τῷ θέρει τὰς Ῥωμαϊκὰς συναθροίσας δυνάμεις ἐπὶ τὴν Ἀδριανοῦ

10. δὴ ἄπτοντες P, δὴ ἄττοντες I. an forte διάττοντες? 22. περιόντι praestiterit.

decidunt statuuntque ut Romani vicenis millibus summam priorem cumulent: ni faxint, bellum habeant. hac ratione foedus recreari ac refoveri aliquo modo visum est, et ab armis concessa vacatio. breve tempus intercedit, bonaque habitudo et tanquam sanitas foederis corrumpitur, Romanosque Abari, non illi quidem manifeste, sed inertius quodammodo ac dolosius adoriuntur. (7) nam Sclavini (sive Sclavi) ab ipsis submissi ac subornati impressione facta Romanae telluris partem latissimam occupant, et usque ad murum longum, ut vocatur, confertim prosilientes grassantesque funera multa faciunt. quare etiam timens imperator murum custodit; quas apud se habebat cohortes ex urbe educit, et circum Christopolim tumultuarie veluti vallum ac tutamentum in primis eximium molitur. Comentiolo tum praefectura militaris, honestum sane munus, iniungitur, qui Sclavis per Thraciam instans eos pellit. devenit autem ad fluvium Erginum vocabulo: ibi de improviso in illos facto impetu complures extemplo mactat. qua de causa ab Augusto imperator dictus rursum in hostes mittitur, Romanisque dignitatibus illustratur, et quam Romani Praesentis nominant (is honor est ducum militiae), ea condecoratur. deinde reliqua aestate congregatis Romanorum copiis Adrianopolim contendit, atque in Andra-

πόλιν φοιτᾷ, καὶ συντυγχάνει Ἀνδραγάστῳ ἐπισυρομένῳ πλήθη
Σκλαβηνῶν πολλὰ ἄγρας τε αἰχμαλώτων ἀξιολογωτάτας καὶ λείας
λαμπράς. διανυκτερεύσας τε ὄρθριος ἧκε πλησίον Ἐνσίνου τοῦ
φρουρίου, καὶ γεννικῶς τοῖς βαρβάροις συμπλέκεται. τὸ δὲ πο-
λέμιον πρύμναν τε ἐκρούσατο καὶ ἐς φυγὴν ἐξωθεῖτο καὶ τῆς P 18
Ἀστικῆς αὐτῆς ἀπηλαύνετο, λευκήν τε τοῖς αἰχμαλώτοις ἡμέραν
ἀνέσχε τὸ Ῥωμαϊκὸν ἀνδραγάθημα. ὁ δὲ στρατηγὸς ἐπαιώνι-
σεν ἐπινίκιον καὶ τρόπαιον ἐνιδρύσατο.

8. Μετοπώρου δὲ ἀρχομένου πάλιν οἱ βάρβαροι τὰς συν- B
θήκας διέχεον, τήν τε ὁμαιχμίαν εἰς τὸ φανερὸν ἀνδραποδίζον-
ται. λέξω δὲ τὴν αἰτίαν, οὐδ' ἀναίνομαι. Σκύθης ἀνὴρ Βο-
κολαβρὰ τὴν ἐπωνυμίαν περιαγόμενος (εἰ δέ τις καὶ τῆς προση-
γορίας τὸ σαφέστατον ὑπογλίχῃ μαθεῖν, παραυτίκα πρὸς τὴν
Ἑλλάδα φωνὴν μετοχετεύσω τὸ ὄνομα. μάγον, ταὐτὸν δὲ φά-
ναι ἱερέα, τὴν τῶν Σκυθῶν ἐπὶ Ἑλληνίδα μεταμορφοῦντες φω-
νὴν τῆς ἑρμηνείας τευξόμεθα), οὗτος ἔδρα τὸ τηνικαῦτα καιροῦ
φιλοκίνδυνον τόλμημα. παρευνάζεται γὰρ ἑνὶ τῶν τοῦ Χαγάνου
γυναίων, ἡδονῇ τε βραχείᾳ δελεασθεὶς εἰς μεγάλας ἄρκυς θανά-
του ἑαυτὸν ἐμπέπηχεν. ὑποτοπάσας δὲ μή που τὸ κακὸν φωρα- C
θείη καὶ περίβλεπτον ὠδίνοι τὸν ἔλεγχον, ὑποπείσας ἐκ τῶν ὑπη-
κόων Γηπαίδων ἄνδρας ἑπτὰ τὴν φυγὴν ἐπὶ τὸ ἀρχέγονον ἐπε-
ποίητο φῦλον. Οὖννοι δ' οὗτοι, προσοικοῦντες τῇ ἕῳ, Περ-
σῶν πλησιόχωροι, οὓς καὶ Τούρκους ἀποκαλεῖν τοῖς πολλοῖς
γνωριμώτερον. καὶ οὖν διαπορθμεύων τὸν Ἴστρον, ἐπὶ τὴν

11. Βολοχαλάβρα Exc. 21. ἐποίει τὸ Exc. i. e. ἐποιεῖτο.

gastum incidit, quem ingens Sclavorum caterva cum opima praeda captivorumque selectissimorum numero sequebatur. exacta illic nocte mane ad castellum Ensinum graditur, et cum barbaris praelio generose dimicat. illi paulatim cedunt, et Astice tota expelluntur, fuitque captivis dies ille ob virtutem Romanorum candidus. dux epinicion cecinit ac tropaeum erexit.

8. Auctumno ineunte barbari foedus de integro temerant, bellique societatem aperte abiiciunt et aspernantur. causam huius rei explanare non pigebit. fuit homo Scytha, Bacolabras vulgo dictus; cuius vocabuli planissimam significationem si quis requirit, sciat id Graeca lingua sacerdotem magum sonare. hic per id tempus facinus ausus est periculosissimum. cum una enim amicarum Chagani stuprum fecit, brevique voluptate inescatus in magna mortis retia se inseruit; ac metuens ne rescitum flagitium crudele sibi supplicium pareret, persuasis septem de subiectis sibi Gepidis, cum iis in fugam ad gentem avitam sese tradidit. sunt autem Hunni, habitantes in Oriente, Persarum vicini, quos multi usitatiore vocabulo Turcas nuncupant. Istrum ergo traiiciens et in ur-

*Λιβιδινῶν πόλιν φερόμενος, ἁλοὺς ὑπό τινος τῶν Ῥωμαϊκῶν
ἡγεμόνων τῶν ἐς φρουρὰν συντεταγμένων τοῦ Ἴστρου, τό τε γέ-
νος ἐδήλου καὶ τὰς πάλαι διατριβὰς καὶ τὴν ἐντεῦθεν ἀπελαύ-
νουσαν ἡδονήν. ἐπεὶ δὲ πιθανὸς ἐδόκει τῇ διηγήσει τοῦ ἀτυχή-
D ματος, παρὰ τὸν αὐτοκράτορα ὑπὸ τοῦ ἡγεμόνος παραπέμπεται.
κἀντεῦθεν ἐδόκουν αἱ Ῥωμαϊκαὶ σπονδαὶ διασχίζεσθαι, καὶ πα-
ραγυμνοῦται ὁ πόλεμος, ἔτι Ταργιτίου τοῦ βασιλικοῦ ἐπιβαίνον-
τος ἄστεος ἐν πρέσβεων μοίρᾳ, καὶ τὸν ἐγκύκλιον πλοῦτον παρὰ
Ῥωμαίων ὑποθερίζοντος, ὃν αἱ συνθῆκαι τῷ Χαγάνῳ ἀν' ἔτος
ἐβλάστανον ἕκαστον. τοῦτό τοι καὶ βασιλέα οὐκ ἀπὸ τρόπου
πρὸς ὀργὴν ὑπηρέθιζεν, οὐχ ἥκιστα φενακίζεσθαι ὑπὸ τῶν Ἀβά-
ρων διανοούμενον, τοῦ μὲν ἐξαιτοῦντος τὸν ἐγκύκλιον πλοῦτον
καὶ τὰς εἰρηναίας προσόδους, τοῦ δὲ μὴ ἀτρεμοῦντος, ἀλλὰ τὴν
Εὐρώπην δῃοῦντος καὶ ἀναστάτους ποιουμένου τὰς πόλεις. ἐξο-
στρακίζεται γοῦν ὁ Ταργίτιος ἐπὶ τὴν Χαλκίτιδα νῆσον, ἐπὶ μῆ-
νας σκληραγωγούμενος ἕξ, καὶ μέχρι τούτου ὁ τοῦ βασιλέως θυ-
μὸς ὑπεφλέγμαινεν· ἠπειλεῖτο γὰρ καὶ θάνατος κατὰ τοῦ πρέ-
σβεως δογματίζεσθαι. οἱ δ' ἀμφὶ τὸν Χαγᾶνον τῶν τε Σκυθῶν
καὶ Μυσῶν τοὺς περιοίκους ἐλυμήναντο, εἷλόν τε πόλεις πολλάς,
P 19 τήν τε Ῥατηρίαν καὶ Βονώνειαν καὶ Ἀκὺς καὶ Δορόστυλον καὶ
Σαλδαπὰ καὶ τὰ Παννασὰ καὶ Μαρκιανούπολιν καὶ Τρόπαιον.
πράγματα δέ οἱ πολλὰ παρεῖχετο ἡ ἐγχείρησις· οὐ γὰρ ἀνιδρωτὶ
καὶ ἀπεριμερίμνως τάδε παρεστήσατο τὰ πολίσματα, καίτοι με-*

1. *Λιβίδινον* Exc.

bem Libidinum delatus, atque a quodam e ducibus Romanis ad Istri custodiam constitutis interceptus, genus et vetus studium suum voluptatemque ob quam fugeret indicavit. cum de infortunio suo narrare probabilia videretur, a duce ad imperatorem transmittitur. atque hinc existimatum est foedus Romanum turbari, et bellum aperiri coeptum, cum interim Targitius in urbem imperatoriam pro legato veniens pecuniam anniversariam ex foedere Chagano pendendam exigeret; id quod imperatorem non immerito ad iram subextimulabat, qui se Abaris manifestissimo esse ludibrio cerneret, hoc (Targitio) pensionem annuam pacalesque redditus poscente; illo (Chagano) non quiescente sed Europam lacerante et urbes evertente. relegatur itaque in Chalcitidem insulam Targitius, et ad menses omnino sex durius tractatur: eo usque imperatoris ira fervebat in legatum, cui poenam capitalem erat comminatus. Chaganus porro Scytharum Moesorumque finitimos omnes circumquaque vexabat, multasque urbes, Rhateriam, Bononiam, Acys, Dorostylum, Saldapa, Pannasa, Martianopolim, Tropaeum subigebat. caeterum non leve negotium illi facessivit oppugnatio, nec absque sudore sollicitudine ac diligentia haec oppida obtinuit, quanquam frequens accessus ad suos

γάλας ἐπικουρούσης ἐπιπνοίας αὐτῷ τῆς ἀθρόας ἐπιφοιτήσεως, V 147 ἥτις ἐς τὰ μάλιστα ἀνανταγώνιστον κακὸν τῇ ῥαθυμίᾳ παρέχεται. βασιλεὺς δὲ Κομεντίολον στρατηγὸν ἀνίστησι, καὶ τῆς πάσης ἡγεμονίας κηδεμόνα τουτονὶ προεστήσατο.

9. Ἀλλ' ἐπεὶ περί γε τῶν Οὔννων τῶν πρὸς τῷ Ἴστρῳ B βιούντων τὰ προαύλιά μοι τῆς ἱστορίας γεγένηται, ἄγε δή, ἄγε καὶ τὰς Περσικὰς πράξεις τῇ τῆς διηγήσεως ἀνατινάξωμεν φόρμιγγι. παλινοστήσω γὰρ ἐπὶ τὴν Μαυρικίου τοῦ αὐτοκράτορος ἀναγόρευσιν, τὸν Μηδικὸν νῦν ἀναγραψόμενος πόλεμον. καὶ μή μοίγε τις ἀπεχθανέσθω τοῦ γε ἕνεκα παλινδρομοῦντι πρὸς τὰ πρεσβύτερα. οὐ γὰρ ἐπὶ τὰς αὐτὰς ἐπάνιμεν πράξεις, εἰ καὶ περὶ τοὺς αὐτοὺς χρόνους ἀνταναγώμεθα. τὸ γὰρ συνεχὲς τῶν προαφηγηθέντων οὐκ ἠνέσχετο χαλινοῦ, ἵνα μὴ τέως τῇ παρενθήκῃ τῶν ἑτεροίων ἀφηγημάτων σύγχυσιν τοῖς ἐντυγχάνουσιν ἐμποιήσηται. C

Ἔτι πρῶτον ἔτος ἠνύετο τῆς ἡγεμονίας Μαυρικίου τοῦ αὐτοκράτορος μετὰ τὸν Περσικὸν ἐκεῖνον καὶ ἀοίδιμον πόλεμον, οὗπερ ὁ Ταμχοσρῶ κατ' ἐκεῖνο καιροῦ τῶν Μηδικῶν στρατευμάτων ἡγήσατο, καὶ βασιλεὺς τὸν Ἰωάννην, ᾧπερ ἐπώνυμον τὸ τῆς ὑπερῴας χελύνης κατάκομον, ὃν δὴ καὶ Μυστάκωνα προσηγόρευον Ῥωμαῖοι, ἐκ τῶν τῆς Ἀρμενίας στρατοπέδων ἐπὶ τὰς τῆς ἀνατολῆς δυνάμεις Ῥωμαϊκὰς μετεβίβαζεν. ἄρτι τοίνυν ὁ στρατηγὸς τὰς ἑῴας φροντίδας περιβαλόμενος στρατοπεδεύεται ἔνθα ὁ Νύμφιος ποταμὸς τῷ Τίγριδι ἀνακοινοῦται τοῖς ὕδασιν.

2. παρέχεται Exc. κατέχεται IP.

(quae res socordiae calamitas est insuperabilis) multum ei velut aspiraret et opem atque subsidium afferret. imperator Comentiolum excitat, eumque ex asse ducem exercitus legit.

9. Sed iam quia principium et quasi quoddam vestibulum historiae nostrae in Hunnis ad Istrum sedes habentibus consumpsimus, age, quae contra Persas acta sint, litteris deinceps prodere aggrediamur. ad Mauricii autem initia reversi bellum in Perside gestum describemus. ac nolim mihi a quoquam in vitio poni, si ad superiora et antiquiora me referam. non enim ad eadem narranda regrediar, etiamsi ad eadem tempora redeam: coniunctio enim cum his quae iam exposuimus, dilationem non concedit, nec aliis interpositis de confusione lector conqueratur.

Post praelium illud Persicum memorabile primus adhuc annus Mauricii Augusti volvebatur, quo in praelio Tamchosro, qui tum Persicas copias ductabat, suis praefuit. imperator Ioannem, cui ex longitudine mystacis Romani cognomentum Mystaconi indiderant, cohortibus Armeniis praefectum, inde avocatum militiae Romanae Orientali magistrum dederat. iam igitur huic muneri praepositus, eo contendit ubi Nymphius cum Tigride

D ἐν τούτῳ δῆτα τῷ χώρῳ ἐξαρτύεται πόλεμος, τοῦ μὲν Ἰωάννου τῆς Ῥωμαϊκῆς προεστῶτος δυνάμεως, τῆς δὲ Περσικῆς Χαρδαριγάν. Παρθικὸν τοῦτο ἀξίωμα, φίλον δὲ Πέρσαις ἐκ τῶν ἀξιωμάτων προσαγορεύεσθαι, ὥσπερ ἀπαξιούντων τὰς ἐκ τῆς γεννήσεως ὀνομασίας ἐπιφέρεσθαι· θαυμάζουσι γὰρ τύχης ἐπίδοσιν ἢ νόμον γεννήτορος τὸν περὶ τῆς σφῶν αὐτῶν προσηγορίας ἄρτι τῆς μητρῴας αὐτοῖς νηδύος προκύψασι συνανίσχοντα. ὁ μὲν οὖν Ἰωάννης τὴν πᾶσαν πληθὺν τῆς δυνάμεως τριτταῖς κατετάξατο μοίραις, καὶ αὐτὸς μὲν ἀνεδέξατο τοῦ μαχίμου τὸ μεσαίτατον, Κοὺρς δὲ τὸ δεξιὸν ὁ ὑποστράτηγος, Ἀριοὺλφ δὲ τὸ λαιόν. καὶ ὧδέ πως τὰ τριττὰ διεκεκόσμητο στίφη. ὡσαύτως
P 20 δὲ καὶ τὸ Περσικὸν συνετέτακτο. ἐπεὶ δ' αἱ σάλπιγγες ἐνυάλιον ἤχησαν, καὶ τὸ μεταίχμιον ἐβραχύνετο, ὁ πόλεμος εἶχε τὸν πάροδον. προσβάλλουσι τοιγαροῦν Ῥωμαῖοι τοῖς δυσὶ κέρασιν, Ἰωάννης μὲν τῷ μέσῳ, Ἀριοὺλφ δὲ τῷ εὐωνύμῳ. καὶ δῆτα κρατοῦσι τῶν ἀντιμετώπων δυνάμεων. Κοὺρς δ' οὐκ ἐνέμιξε χεῖρας· ἐβάσκαινε γὰρ τὸν Ἰωάννην εὐπραγίας πέρι, ἅτε δὴ μεγίστην ἀγωνιούμενον δόξαν. καὶ οὖν εἰς τοὐπίσω Πέρσαι ἐτρέποντο·
B ἐδεδίεσαν γὰρ μή που τὸ ἀντίπαλον ἐμβριθεστέραν τὴν ὁρμὴν ἐπιθείη. Ῥωμαῖοι δὲ τὸν Κοὺρς ἑωρακότες ἀπόμαχον τήν τε περὶ αὐτὸν δύναμιν, τὰ νῶτα τοῖς βαρβάροις ἐγνώριζον καὶ πρὸς τὰ ἀνάντη μετεφοίτων χωρία. οἱ δὲ Πέρσαι τῇ παλιώξει χρησάμενοι, ἐπεὶ τὴν Ῥωμαϊκὴν ἵππον κεκμηκυῖαν ἑώρων ἔκ τε τῆς συντονίας τοῦ δρόμου ἔκ τε τῆς χαλεπότητος τῆς πρὸς τὸ δυσά-

confunditur; quo in loco certamini accinguntur, Romanos quidem Ioanne, Persas Chardarigano ducentibus. nomen dignitatis hoc est apud Parthos, quos a dignitatibus indigitari delectat, dedignantes videlicet nomina ab ortu sibi imposita: pluris enim accessiones fortunae quam paternam legem in ipsis appellandis simul ex utero materno prodeuntem faciunt. Ioannes ergo totum exercitum suum tripartito distribuit, medium agmen sibi deposcit, Cursio hypostratego sive legato dextrum, Ariulpho sinistrum committit. atque hunc in modum, in tres partes nimirum, eius copiae digestae sunt. ad eundem modum Persae dispositi. postquam exortus tubarum clangor Martem accendit, nullumque procedentibus utrinque spatium in medio relictum, pugnam invadunt; ac Ioannes quidem agmine medio, Ariulphus laevo in hostem se incitant, oppositisque a fronte aciebus praevalent. Cursius, quod Ioannis felicitati invideret (pro summa nimirum gloria adipiscenda certaturo), manus non conserebat. Persae itaque, metuentes ne adversarii validius incumberent, retrocedebant, cum Romani Cursium conflictu abstinere conspicati, barbaris terga dant et ad loca acclivia se penetrant. Persae fugientibus inhaerentes, cum Romanum equitatum ex continenti cursu et difficultate

ναντες τῶν ὀχυρωμάτων καταφυγῆς, ἀῤῥενικῶς ἐπιτίθενται καὶ πλεῖστον τοῦ Ῥωμαϊκοῦ κεραΐζουσι, καὶ μόλις ἐπὶ τὸν χάρακα ἐπανήκειν Ῥωμαίους οἱ βάρβαροι συνεχώρησαν. ἐν τούτοις ὁ πόλεμος ἐπεπέραστο, καὶ μετοπώρου παρενέκυπτεν ὥρα.

10. Ὁ δὲ αὐτοκράτωρ τὸν πατέρα τὸν Παῦλον ἐπὶ τὴν C
αὐλὴν βασίλειον λαμπρῶς καὶ περιφανῶς εἰσεδέξατο, ἔναγχος ἐπὶ V 148
τὸ Κωνσταντίνου ἄστυ γενόμενον, καὶ νυμφίος τῇ ὑστεραίᾳ ὁ βασιλεὺς πομπεύεται. τὸν γὰρ Ἰωάννην τὸν τῶν ἱεραρχικῶν ἐξηγούμενον θρόνων ἐς τὸ ἀνάκτορον εἰσκαλεσάμενος, ἐν τῷ μεγάλῳ θαλάμῳ τῷ πρὸς τῇ μεγίστῃ τῶν βασιλέων αὐλῇ (Αὐγουσταῖος δ' ἄρα οὗτος κατονομάζεται) ἠξίου τῆς ἐκ τοῦ κρείττονος τυχεῖν συναινέσεως διὰ τῆς πρὸς τὸ θεῖον τοῦ ἱερέως ἐντεύξεως, ὅπως αἴσια τῷ βασιλεῖ τὰ τοῦ γάμου συμβαίη ἐπίχειρα. ὁ δ' ἱερεὺς τὸ βασιλικὸν ἐθεράπευσε βούλημα τῇ περὶ τὸ θεῖον ἱκετείᾳ, καὶ τῶν χειρῶν τῶν βασιλέων ἑλόμενος συνῆπτεν ἀλλήλαις, εὐκτοῖς D
τε προσφθέγμασι τὸν τοῦ αὐτοκράτορος κατηυφήμησε γάμον. καὶ δῆτα καὶ τὰς κορυφὰς τῶν βασιλέων τοῖς στεφάνοις καθίδρυσε, τῶν τε θεανδρικῶν μυστηρίων μετέδωκεν, ὡς σύνηθες τοῖς θρησκεύουσι τὴν παναγῆ ταύτην καὶ ἀκίβδηλον πίστιν. εἶτα μετ' ἐκεῖνο εἰσέφρησαν ἐπὶ τὴν βασίλειον παστάδα οἱ ταῖς κορυφαῖς τῶν ἀξιωμάτων περιλαμπόμενοι, οὓς καὶ γονεῖς ἀποκαλεῖν βασιλεὺς οὐκ ἀπηξίωσεν, ἀντὶ σπορᾶς ὥσπερ καταβαλλομένους τὴν εὔνοιαν. οὗτοι προπομποὶ τοῦ βασιλέως γενόμενοι ἐν τοῖς προπυλαίοις τῶν βασιλείων ἐλιπάρουν ταῖς εὐφημίαις τὸν νυμφίον, τὸν Καίσαρα, ἐπὶ θρόνου καθίσαντα ἐπιφαίνεσθαι τοῖς

ad ardua munitaque locorum evadendi defatigatum cernerent, premebant viriliter, maximam eorum partem ita dissipantes, ut ad castra se recipere vix possent. Hic pugnae exitus fuit, et autumnus iam adventabat.

10. Imperator patrem suum Paulum, qui nuperrime Cpolim venerat, honorifice ac splendide in palatium accepit, seque postridie sponsum in pompa exhibuit. accitum enim Ioannem patriarcham in magno thalamo, iuxta aulam eiusdem palatii amplissimam, cui Augustali nomen est, rogat, uti precibus faustas fortunatasque sibi nuptias a benevolente numine precetur. ille imperatoris voluntatem officiose complexus vota concipit, et utriusque apprehensa dextra eos connubio iungit, coniugibusque optabili affatu bona omnia a deo exoptat, capitibus amborum coronas imponit, et mysteriis eos dei hominisque, ut nobis sinceram sanctissimamque fidem colentibus fieri consuetum est, impertit. posthaec clarissimis honoribus eminentes, quos imperator parentum appellatione dignabatur (qui scilicet benevolentiam illi amoremque patrium praestarent) eos in geniale cubiculum deduxerunt. hi eundem et sponsum et Caesarem rogabant bonis precibus vehementer, ut ad propylaea palatii

στρατεύμασι καὶ γαμήλια δῶρα τοῖς ὑπηκόοις χαρίζεσθαι. ἡ δὲ παστὰς ἡ βασίλειος μεγαλουργῶς ἐκεκόσμητο. ἐν τῷ περιβόλῳ
P 21 *τῶν πρώτων μεγάλων τῶν βασιλέων σηκῶν χρυσῷ καὶ λίθοις ἀγερώχοις κατάκοσμος. ναὶ μὴν καὶ ἁλουργοῖς ἱματίοις βαφῆς δευσοποιοῦ Τυρίας μεγατιμίου περιπόρφυρος ἦν. ἡ δὲ Τιβερίου παῖς ἡ παρθένος ἡ νύμφη προηγεῖτο τοῦ βασιλέως ἐπὶ τὸν γαμήλιον θρόνον, ὡς ἐν παραβύστῳ ὅσον οὔπω ὀψομένη τοῖς δήμοις, τῶν λεπτῶν ὑφασμάτων ἀθρόον διασταλέντων ὡς ἐκ συνθήματος. παραυτίκα δ' ὁ βασιλεὺς ἐπὶ τὸν παστὸν παραγίνεται, ὑπὸ πολλῶν λευχειμόνων ἀνδρῶν περιφανῶς προπεμπόμενος. καὶ οὖν ἄνεισιν ἐν τοῖς ὑψηλοῖς προπετάσμασι πομπεῦσαί τε ἅμα τοῖς*
B *θεαταῖς τὴν βασίλειαν καὶ περιπτύξασθαι. παρῆν δ' ὁ τοῦ βασιλέως νυμφευτής· εὐνοῦχος δ' ἄρα ἦν οὗτος τοῦ αὐτοκράτορος, Μαργαρίτης ὄνομα αὐτῷ, ἀνὴρ περίβλεπτος ἐν τῇ ἑστίᾳ τοῦ βασιλέως. ἡ δὲ βασίλεια ἐξανέστη τοῦ θρόνου, τὸν γαμέτην τὸν βασιλέα γεραίρουσα, ἀνέκραγόν τε οἱ δῆμοι ὑμέναιον. ὁ δὲ νυμφαγωγὸς κύλικι τοὺς νυμφίους ὁρώντων τῶν δήμων ἐφιλοφρονήσατο. οὐ θέμις γὰρ ἦν ἐπιθέσθαι στεφάνους· οὐ γὰρ ἰδιῶται ἐτύγχανον ὄντες οἱ νυμφευόμενοι· ἤδη γὰρ τοῦτο τῷ βασιλικῷ ἀξιώματι προκατείληπτο. ταῦτα μὲν δῆτα τῇ προτεραίᾳ. ἡ δὲ πόλις ἐπανηγύριζεν ἐν ἡμέραις ἑπτά, ἀργυρέοις τε ἐστεφάνωντο σκεύεσι· κοῖλαί τε γὰρ πίνακες καὶ λεκανίδες καὶ*

3. σηκῶν] εἰκὼν interpres.

e throno sese militibus gratulaturis in conspectum daret, et congiarium nuptiale in illos conferret. iam vero thalamus imperatorius magnifice exornatus visebatur, in circuitu si quidem primorum et magnorum illorum imperatorum simulacra auro et lapillis conspicua apparebant, parietesque velamina e purpura Tyria, tincturae optimae ac pretiosissimae vestiebant. Tiberii autem filia, virgo et sponsa, imperatorem in solium nuptiale, subtilibus textis varie picturatis de industria exornatum, ut in abdito, mox a populo conspicienda praecedebat. illico imperator a compluribus candidatis honorifice deductus ingreditur, et in locum editum peristromatis illustrem, tum ut Augustam spectantibus ceu in pompa ostentaret, tum ut eam complexu foveret, ascendit. et aderat, cuius munus sponsam deducere, eunuchus quidam imperatoris Margarites nomine, aulicorum non postremus. honoris ergo imperatrix venienti marito imperatori assurrexit. tum spectatores hymenaeum exclamare. hic nymphagogus ille palam sponsis pateram meri plenam vultu iucundo porrigit: nam serta iisdem imponere non licebat, quod privati non essent, et istuc ipsum iam imperatoria maiestas anteverterat. haec igitur die altero, ut diximus, acta sunt. at civitas universa diebus septem continuis ferias agitare et honoris causa vasis uti argenteis, discis, inquam,

κυλίχναι καὶ τρυβλία μαγίδες τε καὶ κανᾶ, πλοῦτος Ῥωμαϊκὸς C διεκέχυτο. τρυφή τε χρυσίου κόσμου, τὰ οἴκοι μυστήρια, θέατρον ἦν τοῦ βουλομένου παντὸς ἑστιᾶσαι τὰς ὄψεις. αὐλοί τε καὶ σύριγγες καὶ κιθάραι περιελάλουν ἀνειμένον ὁμοῦ καὶ ἐπαγωγόν. πολλοί τε τῶν θαυματοποιῶν πανημέριοι τὰς σφῶν αὐτῶν εὐτραπελίας τοῖς φιλοθεάμοσιν ἐθριάμβευον. οἵ τε ἐπὶ σκηνῆς λοιδορούμενοι οἷς ἂν ἐθέλοιεν, μετὰ μεγίστης ἁμίλλης τὰς γελωτοποιοὺς δραματουργίας οἷα περὶ σπουδαίου τινὸς τοῦ πράγματος ἐπεδείκνυντο. ἱππικοί τε ἐτελοῦντο ἀγῶνες. καὶ ὁ βασιλεὺς ἑστία τοὺς ἐν τέλει ἐν τῇ τῶν βασιλείων οἰκίᾳ. καὶ οὕτως ὁ περίδοξος ἐκεῖνος κατεπέπαυτο γάμος.

11. Ἐπεὶ δὲ τὸν ἱστορίαν ἀναγραφόμενον τὰς ἐπισήμους D V 149 τῶν πράξεων παντί που προὖπτον ἐς μέσον προτίθεσθαι, ἄγε δὴ φέρε καὶ τὰς δυσχερεστάτας τύχας τοῖς φαιδροτέροις ἐμμίξωμεν. ἦρος ἀρχομένου ἐν τῷ λεγομένῳ φόρῳ (περίλαμπρος δ' οὗτος A. C. 583. χῶρος τῆς πόλεως) φλόγες μαινόλεις πυρὸς ἐνεπίμπρων τὴν ὥραν P 22 τοῦ ἄστεος, καὶ θεραπεύειν τοῦ παμφάγου πυρὸς οὐχ οἷόν τε ἦν τὸν θυμόν. ὀψὲ ὑπομαλάττουσι τὸ πῦρ οἱ τῆς πόλεως, ῥείθροις χρυσοῖς ὥσπερ ὑπονικήσαντες αὐτοῦ τὸ ἀμείλικτον· μεγάλη γὰρ ἐτύγχανεν οὖσα ἡ ῥύμη τοῦ πνεύματος, ὡς μικροῦ δεῖν τῆς αἰθάλης μεταλήψεσθαι ἅπαν τὸ πόλισμα.

Κατὰ τοῦτον δὴ τὸν ἐνιαυτὸν Παυλῖνός τις, ἀνὴρ τῶν οὐκ ἀσήμων τῆς πόλεως, πλείστης παιδείας μετειληφώς, ἐπὶ τὸ τῶν

12. τὴν IP.

patinis, patellis, cantharis, trullis, quadris et canistris, quae tum Romanorum divitiae proferebantur. deliciaeque ornatus aurei, domestici thesauri, theatrum quoddam erant plane quibusvis oculos pascere volentibus. tibiis et fistulis et citharis ad remissionem et oblectationem animi omnia circumstrepebant, multique praestigiarum artifices ludicris suis totos dies spectandi cupidos detinebant. alii in scena, hominum quorum libebat vitia carpentes, perstudiose ridicula dramata velut seria quaedam et gravia exercebant. insuper ludi equestres committebantur, et imperator magistratus in regiam ad epulas invitabat. atque isto modo splendidae illae nuptiae finem acceperunt.

11. Quoniam vero insignia quaeque in medium afferre historiae scriptori propositum esse norunt omnes, agedum etiam tristissimum casum laetioribus intexamus. vere se aperiente in foro quod appellatur (est autem hic locus Cpoli nobilis) flamma furens urbis elegantiam corripuit, nec ignis omnia consumentis rapida vis cohiberi potuit. cives sero tandem flammam velut aureo flumine mitigant, et rigorem eius implacabilitatemque quodammodo expugnant: saeviebat quippe ventus, ut favillae tota propemodum urbe volitarent.

Eodem anno Paulinus quidam, civis haud obscurus et doctrina liberali instructissimus, qui animam suam in barathrum praestigiarum incan-

γοήτων βάραθρον τὴν ψυχὴν κατωθήσας κατάφωρος γίνεται. ὁ δὲ τῆς ἐλέγξεως τρόπος τῶν παραδοξολογουμένων λόγων καθέστηκεν ἴδιος. λέξω δὲ τοῦτον πάνυ καθεστηκότα θαύματος ἄξιον. B ἀργύρεος λεκανίς τις ὑπῆρχε τῷ γόητι, δι' ἧς τὰς τῶν αἱμάτων χύσεις συνήθροιζεν, ὁπόταν ταῖς ἀποστατικαῖς προσωμίλει δυνάμεσι. ταύτην τὴν λεκανίδα διαπωλεῖ ἄργυρον ἐμπορευομένοις ἀνδράσιν. οἱ μὲν οὖν ἔμποροι τὰς τῆς λεκανίδος τιμὰς ἀποδόμενοι τῷ Παυλίνῳ μετεκχωρεῖν ἐνεχείρουν τὸ σκεῦος, καὶ πρὸ τῶν θυρῶν τοῦ ἑαυτῶν οἰκίσκου ταύτην προετίθεσαν, ἐξουσίαν διδόντες ὠνήσασθαι τῷ βουλομένῳ παντί. ἐδέησε τοίνυν τὸν ἐπισκοποῦντα τὴν πόλιν Ἡράκλειαν, ἣν Πείρινθον οἱ πάλαι ποτὲ κατωνόμαζον, κατ' ἐκεῖνο καιροῦ ἐς Βυζάντιον διατρίβειν, καὶ C θεασάμενος πρὸς ἐκποίησιν ἠρτισμένην τὴν λεκανίδα τοῦ γόητος, ταύτην ὠνεῖται περιχαρῶς, καὶ ἀπεκδημήσας τοῦ ἄστεος πρὸς τὸν ἑαυτοῦ θρόνον ἐπάνεισιν. ἐπεὶ δὲ τὰ θεότευκτα μύρα Γλυκερίας τῆς μάρτυρος χαλκῆ τις λεκανὶς ὑπεδέχετο, αἰδοῖ τοῦ σεβάσματος ὁ ἱερεὺς ὑπαλλάττει τὰ σκεύη, καὶ τὴν μὲν χαλκῆν ἀφαιρεῖται τῆς ἱερωτάτης ἐκείνης λατρείας, τὴν δὲ ἀργυρᾶν δεξαμένην προεστήσατο τῶν θεορρύτων μύρων. ἐντεῦθεν ὁ ποταμὸς ἀποπαύεται τῶν θαυμάτων, καὶ ἡ τῆς χάριτος πηγὴ κατακρύπτεται. οὐ στηλιτεύει τὰς δυνάμεις ἡ μάρτυς, συστέλλει τὸ χάρισμα, ἀφαιρεῖται τὸ δώρημα, καὶ νομοθετεῖ διὰ τὸ μύ-

5. προσωμίλουν IP. 13. ἠρτησμένην IP. 19. θεοῤῥήτων IP.

tationumque demerserat, deprehenditur. modus quo sceleris huius compertus est, plurimum admirationis habet; quem exponemus. erat venefico huic pelvicula ex argento: ea hostiarum, quas daemonibus sacrificabat, sanguinem excipere solebat, quoties eorum colloquio uti liberet. hanc pretio vendit argentariis: emptam illi prae foribus domunculae suae venalem proponunt. eo ipso tempore antistiti Heracleae (quae olim dicta est Perinthus) Byzantii commorari necesse erat. is venditionis causa forte suspensam malefici pelvim conspicatus eam percupide mercatur, et ad sedem suam revertitur. quia vero divinitus stillans unguentum sive oleum de ossibus sanctae Glyceriae martyris aenea pelvis excipiebat, episcopus rei tam venerandae reverentia contactus vascula commutat, et a cultu sacratissimo aeneum removens argenteum coelesti stillicidio supponit. ex eo operum mirandorum rivus desinit, fons gratiae evanescit; non prodit publicitus vim suam martyr, beneficium retrahit, donum aufert, sibique legem indicit propter detestandum excipulum unguento in posterum non scaturire. sane quod purum est, non debet impurum contingere, ut aliquid externae eruditionis narrationi commode interseram. hoc cum diebus compluribus evenisset calamitatemque rumor per civitatem dissipasset, episcopus sese in luctum dat, et quod fiebat lamenta-

σος μὴ πηγάζειν τὸ μύρον· τῷ ὄντι γὰρ τὸ καθαρὸν τοῦ μὴ κα- D θαροῦ οὐ θέμις ἐφάψασθαι, ἵνα καί τι τῆς θύραθεν παιδείας προσφόρως ἐνείρω τοῖς διηγήμασι. τούτου δῆτα ἐπὶ συχνὰς γεγομένου ἡμέρας, καὶ τῆς συμφορᾶς ἐπιφανοῦς γενομένης τῇ πόλει, πρὸς πένθος ὁ ἱερεὺς ἐτέτραπτο. ὀδύρεται τὸ πραττόμενον, θρηνεῖ τῶν θαυμάτων τὴν ἐγκοπήν, ἀνακαλεῖται τὸ χάρισμα, τὴν ζημίαν οὐ φέρει, τὴν αἰτίαν ἐπιζητεῖ, τὴν αἰσχύνην οὐ καρτερεῖ. καὶ ἦν αὐτῷ ὁ βίος ἀβίωτος, χηρευούσης τῆς ἐκκλησίας τοῦ θαύματος. διά τοι τοῦτο νηστεῖαι καὶ προσευχαὶ καταβάλλονται, στρατεύονται δάκρυα, συμμαχοῦσιν οἱ στεναγμοί, πάννυχοι δεήσεις ὁπλίζονται, καὶ πάντα συνέρχονται ὁπόσα δύνανται λύπην θεοῦ μεταβαλεῖν πρὸς τὸν ἔλεον. τοῦ τοίνυν θεοῦ καὶ τὸ μύσος ἀποστραφέντος καλῶς καὶ τὴν ἄγνοιαν δικαίως οἰκτείραντος, γίνεται κατ' ὄναρ τῷ ἐπισκοποῦντι τὴν πόλιν κατάδηλα τὰ περὶ τὴν λεκάνην βδελύγματα. ὁ μὲν οὖν ἱερεὺς ὑπεξ- P 23 άγει παραχρῆμα τοῦ ἱεροῦ τὴν ὠνηθεῖσαν λεκάνην, καὶ ἐν μέσῳ τὴν χαλκῆν ἐνεγκάμενος προτίθησι τῷ σεβάσματι ὡς ἁγνὴν καὶ πρεσβύτιδα λάτριν, οἷα παρθένον τινὰ καὶ ἄχραντον βδελυρᾶς γοητείας. καὶ δῆτα παραυτίκα ἐπιφαίνονται αὖθις τὰ θαύματα καὶ κατομβρίζεται μύρον, βλύζει τὸ χάρισμα, πηγάζει τὸ δώρημα, τὸ δάκρυον στέλλεται, τὸ σκυθρωπὸν διαλύεται, τὸ V 150 βδέλυγμα στηλιτεύεται, καὶ πάλιν τὴν ἑαυτῆς περιβάλλεται δόξαν· ἕτοιμος γὰρ οἰκτειρῶσαι θεὸς εὐσεβῶς πρεσβευόμενος. ὁ μὲν οὖν ἱερεὺς ἐπὶ τὸ βασίλειον γενόμενος πόλισμα, τίς τε ὁ πεπρακὼς τὴν λεκανίδα ὑπὸ τῶν ἐμπορευσαμένων μεμαθηκώς, ἐπὶ B

tur: effectorum supra naturam interruptionem deplorat, donum reposcit, detrimentum non sustinet, causam indagat, dedecus indignatur, ecclesiaque re tam admirabili viduata vitam sibi vitalem non putat. igitur ieiunia et comprecationes instituuntur, profunduntur lacrimae, ducuntur gemitus; totae noctes in deo suppliciter rogitando ponuntur, coniunguntur que omnia quae iram eius convertere in misericordiam possunt. cum itaque deus et execrandum illud scelus iure aversaretur et ignorantiam iuste misereretur, episcopum de abominandis sacris in pelvi illa factitatis per quietem monet. ille nil moratus pelvim argenteam templo subducit, illatamque in medium aeneam, perinde ut castam et antiquam famulam et virginem aliquam incorruptam pro execranda praestigiatrice, venerabili monumento rursum subiicit. statim sese miracula denuo effundunt, oleum depluit, beneficium scaturit, donum profluit, lacrimae inhibentur, luctus praeciditur, tristitia fugatur, piaculumque detestabile perinde ut in columna incisum cognoscitur ab omnibus, et pelvis aenea postliminio gloriam suam recuperat: paratus est enim deus tribuere misericordiam pie supplicantibus. episcopus in urbem imperialem reversus,

τὸν ἱεράρχην ἀφικόμενος Ἰωάννην πάντα τὰ συγκυρήσαντα ἀνατίθεται. ὁ μὲν οὖν Ἰωάννης δεινοπαθήσας ἐπὶ τοῖς διηγήμασι, καὶ φέρειν οὐκ ἔχων τὴν ἀκοήν, ἀθρόον φοιτᾷ πρὸς τὰ βασίλεια, τῷ τε αὐτοκράτορι τῶν ἱστορηθέντων αὐτῷ μετεδίδου τοὺς λόγους. ὁ μὲν οὖν Μαυρίκιος νωθρότερόν πως πρὸς τὸν φόνον τῶν ἠτυχηκότων ἑώρα· ἠξίου γὰρ μεταμέλῳ μᾶλλον ἢ ζημίᾳ τοὺς παραπεπτωκότας ἰάσασθαι. ὁ δὲ ἱεράρχης ἐκραταίου τὴν ἔνστασιν, ἀποστολικώτερον ἐπειγόμενος πυρὶ τοὺς ἀφεστηκότας τῆς πίστεως παραδίδοσθαι, ἐπὶ στόματος τὰ τοῦ Παύλου προ-
C *φερόμενος ῥήματα, φάσκων ἐπὶ λέξεως οὕτως "ἀδύνατον τοὺς ἅπαξ φωτισθέντας, γευσαμένους τε τῆς δωρεᾶς τῆς ἐπουρανίου, καὶ μετόχους γενηθέντας πνεύματος ἁγίου, καὶ καλὸν γευσαμένους θεοῦ ῥῆμα δυνάμεις τε μέλλοντος αἰῶνος, καὶ παραπεσόντας, πάλιν ἀνακαινίζειν εἰς μετάνοιαν, ἀνασταυροῦντας ἑαυτοῖς τὸν υἱὸν τοῦ θεοῦ καὶ παραδειγματίζοντας. γῆ γὰρ ἡ πιοῦσα τὸν ἐπ' αὐτῆς ἐρχόμενον πολλάκις ὑετόν, καὶ τίκτουσα βοτάνην εὔθετον ἐκείνοις δι' οὓς καὶ γεωργεῖται, μεταλαμβάνει εὐλογίας παρὰ τοῦ θεοῦ· ἐκφέρουσα δ' ἀκάνθας καὶ τριβόλους ἀδόκιμος καὶ κατάρας ἐγγύς, ἧς τὸ τέλος εἰς καῦσιν." γίνεται τοίνυν τὸ*
D *βασιλικὸν ἀδρανέστερον βούλημα, καὶ κρατεῖ ὁ Ἰωάννης τοῖς λόγοις. καὶ τῇ ὑστεραίᾳ δικαστήριον συγκροτεῖται, καὶ οἱ γόητες ἀνετάζονται, καὶ καταδίκῃ περιπλακέντες ἀφύκτῳ πρὸς κόλασιν ἐξεδίδοντο. ὁ μὲν οὖν Παυλῖνος ἀνασκολοπίζεται ξύλῳ στερρῷ, τὴν πρὸς τὸ ἄναντες κεχηνότι ἀκρώρειαν, ἐνίρσει τε τούτῳ ἅμα*

venditoreque pelvis illius ab argentariis exquisito et invento, ad Ioannem patriarcham adit, rem totam a capite arcessens ei commemorat. patriarcha exclamare indignum facinus, auresque avertere, e vestigio in palatium abire et sibi cognita imperatori nuntiare. Mauricius ad sontes capite puniendos aliquando languidior erat, cum eos resipiscentia quam supplicio sanari aequius arbitraretur. sed patriarcha admovere stimulos, et libertate apostolica postulare ad rogum qui a fide defecissent, proferreque illam Pauli sententiam ad verbum "impossibile est enim eos qui semel sunt illuminati, qui gustaverunt etiam donum coeleste, et participes facti sunt spiritus sancti, gustaverunt nihilominus bonum dei verbum virtutesque saeculi venturi, et prolapsi sunt, rursus renovari ad poenitentiam, rursum crucifigentes sibimet ipsis filium dei et ostentui habentes. terra enim saepe venientem super se bibens imbrem, et generans herbam opportunam illis a quibus colitur, accipit benedictionem a deo. proferens autem spinas ac tribulos reproba est et maledicto proxima, cuius consummatio in combustionem." hac oratione Ioannes voluntatem imperatoris inflexit. die proxime sequenti iudices coguntur, praestigiatores legibus interrogati sententia irrevocabili ad poenas deduntur. Paulinus in palum seu stipitem robustum tollitur, cuius summa

τῷ φάρυγγι τοὺς ἐν τῷ τραχήλῳ σφονδύλους ἀπαγχονιζόμενος ἀπεπνίγετο, οὕτω τε τὸν ἀσεβῆ κατεστρέψατο βίον, προτεθεαμένος τὴν ἀποτομὴν τοῦ παιδός· ἣν γὰρ μεταδοὺς τῷ υἱῷ τῆς βδελυρᾶς καὶ ἀνοσίας τῶν γοήτων καὶ μαγγανείας.

12. Ὁ δὲ τῆς Μηδικῆς σατράπης δυνάμεως τὸ Ἀφούμων P 24 περικαθήμενος φρούριον ἐπειρᾶτο ἑλεῖν. ὁ δὲ τοῦ Ῥωμαϊκοῦ ταξίαρχος τοῦτο πυθόμενος ἧκε πλησίον τοῦ Νυμφίου, καὶ τὸ Ἀκβᾶς ἐνεχείρει αἱρήσειν. δύσληπτον δὲ τουτὶ τὸ ὀχύρωμα, καὶ πρὸς πολιορκίαν ἀκαταγώνιστον. ἐπικάθηται δὲ τὸ φρούριον ἐπ' ὄρους αὐχένα, ἀμφοῖν δὲ ταῖς λαγόσιν ἐστὶν ἀμφίκρημνον. τό τε φρούριον τοῦτο μεγάλαις κοιλαίνεται φάραγξιν, ὡς μίαν εἶναι B λοιπὸν συμβαίνειν τὴν ἐπὶ μέτωπον εἴσοδον, τειχιζομένην στεγανῶν λίθων συνθήκαις. ἐπεὶ δὲ τοῖς ἐν τῷ φρουρίῳ ὁ στρατηγὸς ἐπετίθετο, ἐπὶ τὴν στεφάνην τοῦ ἕρκους φρυκτωρίας ἐξῆψαν οἱ πολιορκούμενοι, ὁπόσος παραδηλοῦντες ὁ κίνδυνος τοῖς ἀμφὶ τὸν Καρδαριγᾶν γλιχομένοις παραστήσασθαι τὸ Ἀφούμων· τοιαύτας γὰρ τοῖς τοῦ Ἀκβᾶς συνθήκας ὁ τῶν Περσῶν κατεβάλετο στρατηγός. τὸ δὲ Περσικὸν ἀναλαμπούσης ἡμέρας ὑπὸ πρώτην ἕω συντεταγμένον τοῖς Ῥωμαίοις ἐφίστατο, τῶν τε ἵπ- C πων ἀποβάντες τῆς μάχης ἀπήρχοντο. καὶ τῷ συνεχεῖ τῆς βολῆς οἱ βάρβαροι Ῥωμαίων ἐκράτησαν. συνέχεαν γὰρ τὰς ὄψεις τῶν ἀντιπάλων ταῖς ἐκπομπαῖς τῶν βελῶν· τοξοφόρον γὰρ τὸ ἔθνος, καὶ δύναμις αὐτῷ τὸ κατάπτερον τοῦτο ἀκόντιον. τῶν

13. τοὺς IP. 22. τῶν deest IP.

pars diffissa hiabat. in eum hiatum collo inserto strangulatus expirat. sic ille vitam impiam finivit, cum prius filio caput rescindi aspexisset, quem sibi in nefariis et impiis imposturis carminibusque magicis discipulum atque socium asciverat.

12. Caeterum Persarum ductor Aphumos castellum circumsidens id expugnare incipiebat. re comperta Romanus dux Ioannes ad flumen Nymphium procedit, castellumque Acbas contra recipere molitur; quod quidem quia natura munitum, captu fuit difficile et obsidione inexpugnabile. situm est in iugo montis, ab utroque latere praecipitium habet, et altis vallibus cingitur, ut unicus a fronte ingressus sit reliquus, et is solido de lapide extructus. ubi Romanus locum hunc adortus est, obsessi in pinnis murorum faces accendunt, significantes iis qui cum Cardarigano Aphumos premebant, quanto in discrimine versarentur: de huiusmodi namque signo cum Acbasianis Persarum duci convenerat. Persae die albescente instructis ordinibus Romanis superveniunt, et ex equis se deiicientes pugnam auspicantur, sagittarumque imbre coeli aspectum adimentes superiores evadunt. est nimirum gens ea arcui dedita, et in iaculis pennatis robur eius virtusque consistit. Romanis autem in

δὲ Ῥωμαίων συγκεκλεισμένων ἔν τινι χώρῳ τοῦ ὄρους, καὶ παρα-
V 151 θλιβομένων ὥσπερ ὑποπιεζούσης αὐτοὺς τῆς ἐπιθέσεως, πολλοὶ
τῶν μαχίμων ἀφήλαντο ἀπὸ τοῦ κρημνοῦ τοῦ ἀποβλέποντος πρὸς
τὸν Νύμφιον· οὐ γὰρ ἀνεφίκτῳ βάθει ἀπῃώρητο ἡ κατάδυσις.
ἔνιοι δ' ἥλωσαν ὑπὸ τῶν βαρβάρων. οἱ δὲ διὰ τῆς ὑπωρείας καὶ
ὄρους τὴν κάθοδον ποιησάμενοι, ἀποδράντες τὸν κίνδυνον, οὐ
D κατ' ἐλπίδας ἐσώζοντο, καὶ διαπεραιωθέντες τὸν Νύμφιον πο-
ταμὸν εἰς τὸ Ῥωμαϊκὸν στρατοπεδεύουσι σύνταγμα.

Τοῦ δὲ διεληλυθότος ἐνιαυτοῦ, ἦρος ἀκμάζοντος καὶ κα-
τακομῶντος τὴν γῆν, ἐν τῇ ἐγκυκλίῳ τῶν ἐγκαινίων ἡμέρᾳ τῆς
πόλεως (πρῶτον δὲ τοῦτο ἔτος τῆς βασιλείας τοῦ αὐτοκράτορος)
πάθος γῆς ἀνεφοίτησε καὶ μέγιστος σεισμὸς ἐνεδήμησεν, οἷα τῆς
γῆς παρασκιρτώσης ἐκ πυθμένων αὐτῶν. τὸν δὲ λόγον οὐ δίειμι·
τῷ γὰρ Σταγειρίτῃ οὐκ ὀλίγα ἄττα περὶ τούτου πεφιλοσόφηται,
καὶ εἴ τε λέγων πιθανὸς φανεῖται, ἐπαινείσθω τῆς εὐφυΐας, εἰ
δὲ μή, τῷ γε πατρὶ ἀποπεμπέτω περιθάλπειν τὸ δόγμα. τοι-
γαροῦν ἡμέρας κλινούσης ἐδινεῖτο τὸ κέντρον. καὶ ὁ φόβος ἐξαί-
P 25 σιος ἦν, ὡς καὶ τοὺς ἱππομανοῦντας ὑπὸ τοῦ δέους ἀθρόον με-
ταβάλλεσθαι πρὸς τὸ σῶφρον, δίκην παίδων ἐν παιδιᾷ κύβων
ἀφικομένου ἐξαπιναίως τοῦ παιδοτρίβου, τό τε παραπέτασμα τὸ
πρὸ τοῦ γυμνασίου τῶν ἱππικῶν ἀγωνισμάτων, ὃ δὴ σύνθημα
τῆς ἱλαρίας ἐτύγχανεν ὄν, περιαιρεῖται διὰ τὸν ἀδόκητον κίνδυ-
νον. ἅπαντάς τε συνέβαινε πρὸς τοὺς ἱεροὺς σηκοὺς ἐντεμενίζε-
σθαι, ὀρρωδοῦντας τὸν θάνατον.

montis parte conclusis et coartatis, utpote urgentibus adversariis, multi milites, qua mons Nymphium flumen respicit, quod minor ibi esset altitudo, praecipites desiliebant. alii a barbaris capiebantur. ast qui ad crepidinem montis se praecipitaverant, vitato periculo salvi, quod non sperarant, traiecto fluvio ad Romanum agmen sese recipiebant.

Anno hoc elapso, verna tempestate iam procedente et humum gramine, arbores frondibus induente, encoeniorum seu dedicatae urbis anniversario die, primo adhuc anno postquam Mauricius inivit, passa tellus quod solet, concussu atrocissimo, veluti si ab imis sedibus exiliret, Cpoli quassata est. causam adducere nihil attinet, cum de ea Stagirites pluribus philosophatus sit; quae si cui probabuntur, auctoris ingenium commendet: sin autem, ea dogmata suo sibi parenti placere sinat. igitur sole occumbente ipsum centrum seu media terrae concutiuntur, et immensus timor animos pervadit, ut etiam qui equarum in morem libidinum furiis agitarentur, icti metu repente ad pudicitiam sese darent. non secus quam a pueris in ludo tesserarum, paedotriba necopinato interveniente, ante equestria certamina parapetasma seu velum, hilaritatis eorum signum, propter inexpectatum periculum aufertur. et impendentis formidine exitii templa universi concursabant.

Δεύτερον ἔτος τοῦτο τῆς Μαυρικίου ἡγεμονίας, καὶ ὁ αὐτοκράτωρ χειμῶνος ὥρᾳ ὕπατος ἀναγορεύεται. καὶ περιβὰς τὸν βασίλειον δίφρον ἐπιφανέστατος ἦν. ἦγον τὸν βασιλέα οὐχ ἵπποι, οὐχ ἡμίονες, οὐκ ἐλέφαντες· ἄνθρωποι δ' ἄρα, τὸ τι- B μιώτατον χρῆμα καὶ ὄνομα. ἐπεὶ δὲ ἐπέβη τοῦ δίφρου, κοινωνὸν τῶν ἑαυτοῦ θησαυρῶν τὸ ὑπήκοον ἐποιήσατο. οἱ δὲ τοῦ ἄστεος τῆς βασιλικῆς εὐδαιμονίας μετειληφότες κατεκελάδουν ὕμνοις τὸν Καίσαρα, χρυσῆς ἀρετῆς οἷα καταλαμπούσης καὶ περιγανούσης αὐτούς.

Τῷ δ' ἐνισταμένῳ τούτῳ ἐνιαυτῷ, ὁ μὲν Ἰωάννης τὰς A. C. 584. ἡνίας τῆς στρατηγίας ἀφῄρητο, οἷα τοῦ Περσικοῦ ἀνανταγωνίστου καθεστῶτος, καίτοι κρείττονα κατὰ τὸν πόλεμον κληρωσαμένου ῥοπήν· (13) Φιλιππικὸς δὲ ἀντανίσταται καὶ στρατη- C γὸς ἀναγορεύεται ὑπὸ τοῦ αὐτοκράτορος, ἀνὴρ ἐπιδέξιος καὶ βασιλικῆς συγγενείας ἐγγύτατος· γαμέτης γὰρ ἐτύγχανεν ὢν Γορδίας ἀδελφῆς τοῦ αὐτοκράτορος. ὁ μὲν οὖν στρατηγὸς μετὰ τὴν χειροτονίαν ἐπὶ Μονόκαρτον γενόμενος, τοῦ Ἀΐσουμᾶ ὄρους πλησίον οὕτω λεγομένου, χάρακα διεγράψατο καὶ ἄνδρας ἐπὶ στρατείαν ἐνήθροιζε. μετοπώρου τε ἀρχομένου παρὰ τὸν Τίγρην αὐλίζεται. καὶ πλείστοις χρησάμενος χάραξιν ἧκεν εἰς χῶρον Καρχαρωμὰν ὀνομαζόμενον, κἀκεῖ πως ἐνδιατρίψας ἐπύθετο Καρδαριγὰν τοῦ ὄρους τοῦ Ἰζαλὰ ἐπιβήσεσθαι μέλλειν διὰ τῶν D ἐχυρωμάτων τῶν Μαϊακαριρί. διά τοι τοῦτο ἀπῆρε τῶν ἐντεῦθεν ὁ στρατηγός, καὶ πεδίῳ προσωμίλησε γειτνιῶντι τῇ Νισίβει, καὶ στρατοπεδεύσας ἐν τοῖς ὑψηλοῖς ἀθρόον κατῆρε τῆς Περσί-

Agebatur annus Mauricii secundus, cum hieme consul creatus, conscenso curru imperatorio, summe conspicuus erat; quem non equi, non muli, sed homines, res et nomen honoratissimum, trahebant. curru conscenso civibus amplissimum congiarium dedit, qua de causa illum laudibus extulerant, ut si dies festus aureus illuxisset eosque laetitia perfudisset.

Hoc anno ingrediente Ioannes ducis loco movetur, ut qui Persis, quanquam in maiore belligerandi commoditate, nesciret resistere. (13) in eius locum Philippicus Orientalium dux militum sublegitur, vir dexter imperatorique, cuius sororem Gordiam habebat in matrimonio, necessitudine proximus. qui post adeptam dignitatem Monocartum iuxta montem Aisumam profectus, castris locum describit et delectum agit. auctumno primo apud Tigrim stativa habet, multisque castris inde in locum Carcharomanum appellatum pervenit, ubi aliquamdiu subsistenti affertur Cardariganum Izalam montem propter Maiacariri arcem seu castellum velle conscendere. quare inde movens campos Nisibi vicinos tenet, locoque praecelso tendens crebrius in agrum Persicum descendit,

δος, καὶ πλείστης λείας ἐκράτησεν. οὐ μετὰ πολὺ δὲ γηπόνος ἀνὴρ τὴν Ῥωμαϊκὴν ἔφοδον τῷ Καρδαριγὰν ἐπεδήλωσεν· ἃ δ' εἶπεν, ἐκεῖνά ἐστιν, αὐτὸν μὲν ἀλᾶσθαι τοῖς ὄρεσιν κεναῖς ἐλπίσι φερόμενον, τὸ δὲ Ῥωμαϊκὸν τὴν Μηδικὴν διατέμνεσθαι χώραν. εἰς τοὐπίσω τοίνυν τοῦ Καρδαριγὰν γενομένου καί πως ἐνέδραν ἐγκαθίσαι τῷ Ῥωμαϊκῷ πειρωμένου, ὁ στρατηγὸς τὰς δυνάμεις συνέλεξε, καὶ πρὸς τὸ ὄρος τὸ Ἰζαλὰ στρατοπεδεύεται,
P 26 ἅτε δὴ τῶν τόπων ἀσυλίαν παρεχομένων τοῖς ἐπιβαίνουσι τὴν τε-
V 152 λείαν. ἐπεφέρετο προμηθεστάτῃ φρουρᾷ. μετὰ τοῦτο ἦλθεν ἐπὶ τὸν Νύμφιον ποταμόν, οὐκ ἄδοξα τὰ προαύλια ἡγεμονίας ἀπενεγκάμενος. πάλιν δ' αὖ Φιλιππικὸς προσβάλλειν τῇ Μηδικῇ χώρᾳ ἐθάρρησε, καὶ τὰ ὑπὸ Βεαρβαὲς διατέμνεται. τὸ δὲ Περσικὸν ἐπεὶ τούτων ἀκήκοεν, ἐπιτείνει ἵππον τουτωΐ, καὶ διόλωλε τῆς ἵππου πλείστη ἀπόμοιρα. τοὺς δὲ Ῥωμαίους λόγος τῆς ἀφίξεως τῶν βαρβάρων τὴν συντονίαν θαυμάσαντας τῆς Μηδικῆς χώρας ὑπεξελθεῖν, δίχα τοῦ παντὸς διαιρεθέντος συντάγματος. καὶ οἱ μὲν ἀμφὶ τὸν στρατηγὸν ἧκον ἐπὶ τὸ Σισαρβάνων,
B εἶτα ἐπὶ τὸ τοῦ Ῥαβδίος· ὁ δ' ἕτερος ἀποδασμὸς ἀποπλανηθεὶς τὴν ἐπὶ Θεοδοσίου πόλιν ὁδὸν ἄλλως ἐπονεῖτο. ἡ δὲ γῆ ἐκείνου, ἀκοῇ ἴσμεν, ἄνυδρός τε καὶ κάταυχμος, ἄχρι τοῦ Ἀβόρα ποταμοῦ λεγομένου. συμπίπτει γοῦν τοῖς Ῥωμαίοις ἀπαρηγόρητος κίνδυνος· χηρεύουσι γὰρ ὑδάτων ἐς τὸ καρτερόν, οὗ τί ἂν γένοιτο στρατιᾷ χαλεπώτερον; καὶ μέντοι ὠμοτάτην κατὰ τῶν αἰχμαλώτων ἀποσχεδιάζουσι ψῆφον, καὶ πάντας ἀνεῖλον ἄρρενας

ac praedam plurimam facit. non diu post colonus quidam infestum Romanorum adventum Cardarigano indicans, adiecit ipsum quidem per montes vagari vana spe confisum, Romanos interea Persidem hostiliter depopulari. Cardarigano retrocedente Romanisque insidias moliente, Philippicus collectis copiis ad Izalam montem castrametatur; et quod illa loca accedentes securissimos redderent, velut asylum quoddam perfectum, tutissimae custodiae sese credit. post haec ad Nymphium flumen cum non indecoris muneris sui prooemiis et quasi praeludiis accedit, rursumque in Persidem irruptionem facere et agrum Bearbaësium devastare audet. quod ubi senserunt Persae, cum equitatu in illum contendunt, cuius pars maxima periit. Romanos festinatum barbarorum adventum admiratos Perside excessisse narrant, toto exercitu bifariam diviso. qui cum duce erant, Sisarbanum, inde in Rhabdios regionem veniunt. pars altera cum itinere aberrasset, versus Theodosiopolim ambulando frustra se fatigabat. ferunt tellurem illam usque ad Aboram flumen aestuosam esse et aquis defici; unde Romanis creatum periculum inconsolabile. quid enim exercitui aquarum extrema penuria contingere possit exitiosius? nihilominus crudelissimam statim in captivos sententiam ferunt, et omnes mares feminasque contrucidant: pueros teneram

τε καὶ θηλείας. τοὺς δὲ παῖδας διέσωζον, τὸ ἄωρον τῆς ἡλικίας οἰκτείροντες. ὅμως μετ' οὐ πολὺ κἀκείνους ἡ τῶν ὑδάτων διεχρήσατο σπάνις. Ῥωμαῖοι δὲ μεγάλοις περιπεπτωκότες κακοῖς τῆς Θεοδοσίου πόλεως ἐπιβαίνουσιν.

14. Ὁ δὲ Φιλιππικὸς μεγαλοφρόνως εἰς τὸν ἐπιόντα ἐνι- C
αυτὸν τῇ Ἀρζανηνῇ χώρᾳ τὸ δόρυ ἐμπέπηχε, καὶ λαμπρὰν καὶ A. C. 585.
ἀξιολογωτάτην λείαν ἐζώγρησε. φήμη δέ τις διέρρει ὡς ὁ στρατηγὸς φιλομαθέστατος ὤν, καὶ πολεμικὰς ἐπιστήμας ἐκ τῶν πάλαι σοφῶν ἀρυσάμενος, ἐκ τῆς Σκιπίωνος τοῦ ἡγεμονικωτάτου ἀγχινοίας τὴν ἐντρέχειαν ταύτην τῆς σοφῆς στρατηγίας περιεβάλετο. ὡς γὰρ οἱ τὰς ἱστορίας καθάπερ ἀγάλματα θεῖά τινα τῷ τεμένει τῆς μνήμης γραφῇ παριδρύσαντες διελέχθησαν, Ἀν- D
νίβα τοῦ Καρχηδονίων στρατηγοῦ τῶν ἀνὰ τὴν Εὐρώπην Ῥωμαίων διατέμνοντος τὴν γῆν, Σκιπίων ὁ πρεσβύτερος τὸν οἴκοι πόλεμον τῇ ἀναβολῇ ἀναθεὶς τῇ Καρχηδονίων χώρᾳ προσπλέκεται, καὶ ἐς μέγα κακοῦ ἐλήλακε τὸ πολέμιον. τὸν δ' Ἀννίβαν τὰς Καρχηδονίων τύχας ἀκηκοότα ἐς τὴν ἑαυτοῦ ἐπαναζεῦξαι, τὰς μεταβολὰς τῶν πραγμάτων ἐκ τῶν εἰς αὐτὸν συμβεβηκότων δεινῶν παιδευόμενον. καὶ οὗτος ἐδόκει ὁ πρὸς Φιλιππικὸν εἶναι
λόγος παράλληλος. οὐκ ἀπὸ δὲ σκοποῦ γέγονεν αὐτῷ ἡ βουλή. P 27
ἔτυχε δὲ τὸν στρατηγὸν κάμνειν τὸ σῶμα μεγίστου νοσήματος αὐτῷ ἐνσκήψαντος. διὸ ἐπὶ τὴν Μαρτυρόπολιν ἀφικνεῖται, ἐπιτρέψας τὸ στράτευμα Στεφάνῳ τῷ ταγματάρχῃ· ὑπασπιστὴς δ' οὗτος ἐγεγόνει Τιβερίου τοῦ αὐτοκράτορος. τόν τε Ἀψὶχ τὸν

2. κἀκείνοις IP. 22. αὐτοῦ IP.

aetatem miserati reservant. veruntamen non multo post illos quoque sitis magnitudo confecit. Romani insignibus exerciti calamitatibus Theodosiopolim deveniunt.

14. Philippicus excelso animo anno deinceps sequenti Arzanenae regioni arma intulit, opulentamque et ad memoriam insignem praedam abstulit. fama tenuit ducem hunc discendi cupidissimum artes bellicas ex veterum scriptorum monumentis hausisse, et ex sollertia Publii Scipionis, belli ducis omnium praestantissimi, hanc sibi sapienter regendi exercitus industriam comparasse. nam ut tradiderunt qui historias scribendo in mentibus nostris tanquam divina quaedam simulacra in sacris aedibus collocarunt, Scipio, is qui primus Africanus est appellatus, bello cum Poenis in Italia intermisso Carthaginensium fines invasit, nec qualibuscunque cladibus hostes mactavit. Annibalem ubi de afflictis patriae fortunis audisset, domum revertisse atque ita rerum mutabilitatem e suis casibus didicisse. haec de Philippico omnium iactata sermonibus iis respondere videbantur, quae de Scipione annalium monumentis commendata leguntur. sed enim non processit consilium: morbo quippe correptus difficillimo, Stephano tribuno, Tiberii Augusti quondam satelliti,

Οὔννον τῶν ὅλων ὑποστράτηγον ἐχειροτόνησε τάξεων. οὕτω μὲν οὖν ὁ στρατηγὸς ὑπὸ τῆς νόσου ἀπόμαχος ἦν, ὁ δὲ Καρδαριγὰν τὴν ὅλην ἀναλαβόμενος δύναμιν τῇ ἔναγχος Τιβερίου πόλει προσαγορευθείσῃ προσέβαλλεν, ἥτις Μονόκαρτον πάλαι ὠνόμαστο. ταύτης ὁ στρατηγὸς τῷ παρῳχηκότι ἐνιαυτῷ γεγηρακότα
B τὰ τείχη ἀνέρρωσε καὶ προμηθείᾳ τοῦ μέλλοντος ὠχυρεύσατο. ἐπιστὰς δὲ τῷ πολίσματι ὁ Περσῶν στρατηγὸς οὐχ οἷός τε ἦν παραστήσασθαι τοῦτο. τοιγάρτοι εἰσήρρησεν ἐπὶ τὰ προάστεια τῆς Μαρτυροπόλεως, καὶ τὸν Ἰωάννου τοῦ προφήτου κατενεπίμπρα νεών, ὡς ἀπὸ σημείων δυοκαίδεκα ὄντα τῆς πόλεως κατὰ τὸν ἑσπέριον κρόταφον. ἔνθα δὴ καὶ φροντιστήριον ἐτύγχανεν ὂν ἀνδρῶν φιλοσόφων τὸν βίον. μοναχοὶ δὲ ἄρα οὗτοι κατονομάζονται, οἷς ἔργον προεκδημῆσαι τοῦ σώματος καὶ ζῶντας τεθνάναι καὶ σώφρονι μανίᾳ τινὶ μεταφοιτᾶν πρὸς τὰ κρείττονα.
V 153 ἀνέσεισε δὲ καὶ τοῦτο ἐκ βάθρων ὁ βάρβαρος. τῇ δ' ἐπιούσῃ
C ἄρας ἐντεῦθεν ἐπὶ τὸν Ζόρβαδον χωρίον ἐφοίτησε, καὶ τοῖς ἀμφ' αὐτὸν διετάξατο μηδαμῶς τοῦ χάρακος ἀπολείπεσθαι. ὀγδόῃ δ' ἡμέρᾳ ἐς τὰ οἴκοι κατῆρεν. ἐδόκει δέ που καὶ αὐτὸν λῃστρικώτερον τῶν Ῥωμαϊκῶν ἐπιβήσεσθαι καὶ τὴν αὐτὴν Ῥωμαίοις ἀπενέγκασθαι δόξαν. ὁ δὲ στρατηγὸς τῆς νόσου ἀπήλλακτο καὶ χάρακα διελύσατο (χειμῶνος γὰρ ὥρα ἤδη που παρεφαίνετο) καὶ τὸν βασιλέα ἀσπασόμενος ἐς Βυζάντιον ἧκεν.

A. C. 586. Ἦρος δὲ παρανίσχοντος καὶ ἀλέας ἐπιφοιτώσης τῇ γῇ, Φι-
D λιππικὸς τῆς βασιλίδος ἐξεδήμησε πόλεως. (15) ἐπεὶ δὲ τῆς

copias committit, Apsichum Hunnum totius exercitus hypostrategum seu minorem ducem legatumve instituit, et Martyropolim concedit. sic Philippicus adversa valetudine compulsus ab armis se removit. Cardariganus cum copiis, quantae erant, Tiberiopolim olim Monocartum appellatam aggreditur; cuius moenia vetustate ruinosa Philippicus anno praeterito instauraverat, futurique providus eam communiverat. Persa quod urbem subigere nequiret, in vicina Martyropolis irruens, Ioannis prophetae ac praecursoris aedem ab oppido versus occasum duodecimo lapide distantem incendit, et quod ibi erat phrontisterium virorum in vita sancte agunda philosophantium (qui monachi dicuntur, quorum opus et labor est ante tempus secedere a corpore, et adhuc viventes emori, et sobria quadam insania ad meliora eniti), hoc, inquam, phrontisterium barbarus ab imo evertit. sequenti lumine inde proficiscens Zorbandum oppidulum attigit, suisque edixit ne ullo modo a castris abessent. octavo die domum advenit, apparebatque maioribus latrociniis Romanos invasurum eorumque gloriae parem relaturum. Philippicus e morbo recreatus militibus hieme iam appetente missionem dedit, imperatoremque salutaturus Byzantium venit, ac vere postea incipiente et tepore suo arvorum sinus laxante denuo ex urbe imperante discessit. (15) ubi Amidam in-

Ἀμιδῆς ἐπέβη, πρεσβεύουσι Πέρσαι ἐνδόξως πως καταθέσθαι τὸν πόλεμον· προσέταττον γὰρ Ῥωμαίοις χρήμασι τὰς σπονδὰς σφετερίζεσθαι, Μεβόδην τὸν σατράπην ὡς τὸν στρατηγὸν ἀποστείλαντες. καὶ οὖν ἧκε Μεβόδης ὁ Πέρσης παρὰ τοὺς Ῥωμαίους. καὶ ὁ στρατηγὸς ἐκκλησίαν ἐκάθισεν, ὡς ἑαυτὸν συγκαλεσάμενος τοὺς ταγματάρχας καὶ λοχαγοὺς καὶ ὑπασπιστὰς καὶ τῆς μαχίμου δυνάμεως τὸ ἐμφανέστερον. ὁπηνίκα δὲ ὁ σύλλογος ἐπεπλήρωτο, ὁ Πέρσης τῶνδε τῶν λόγων ἀπήρξατο.

"Ἄνδρες πολέμιοι, μὴ ταραττέτω δὲ τοὺς ἀκούοντας τοῦ πρεσβευτοῦ τὸ προοίμιον· εἰ γὰρ τὰς γνώμας ἀμείψητε, μεταλλάξω κἀγὼ τὴν προσφώνησιν. ὁπλίσατε τὴν εἰρήνην, ἀποχειροτονοῦντες τὸν πόλεμον. P 28
δόρυ καὶ ξίφος ὡς γεγηρακότα χαιρέτωσαν. καὶ στρατεύσατε σύριγγα, πρᾶον ὁμοῦ καὶ ποιμενικὸν περιλαλοῦσαν τερέτισμα. ὁ Περσῶν βασιλεὺς τῆς εἰρήνης ἐστὶν ἐραστής, καὶ σεμνύνεται ἀπεκδυόμενος πρῶτος τὸν πόλεμον· βασιλικὸν γὰρ ἡ τῆς εἰρήνης ἀρέσκεια, ὡς καὶ τυράννων ἴδιον τὸ φιλόνεικον. ἄνδρες τῶν αὐτῶν παθημάτων ἡμῖν κοινωνοί, μεινάτω τῶν πάντων ὁ πόλεμος μόνος ἀκόρεστος. αἵματι τὴν γῆν ἐπιάναμεν, πολλάκις τὸν θάνατον ἱστορήσαμεν· ζωγράφος γὰρ τοῦ θανάτου ὁ πόλεμος, ἐγὼ δέ φημι, καὶ ἀρχέτυπος, καὶ τῶν ἀνθρωπίνων κακῶν ἀρχηγέτης καὶ διδάσκαλος αὐτοδίδακτος. χρημάτων ἐρᾷ τις; ἀλλὰ πλούτῳ καὶ πενίᾳ γεγόναμεν παίγνιον, B
ποτὲ κρατοῦντες ποτὲ δὲ κρατούμενοι, καὶ συμμεταβαλλόμενοι

8. τῶνδε τῶν Exc. τῶν αὐτῶν IP. 11. τὴν Exc. νῦν IP.
19. ἐμιάναμεν Exc. 20. ἀρχέτυπον Exc.

travit, Persae pro bello consopiendo et foedere pecunia a se redimendo ornatissimam ad Romanos legationem mittunt. mittunt autem Mebodum satrapam. dux Romanus coactis ordinum praefectis, centurionibus, satellitibus, et quicquid erat in exercitu illustrius, consessum celebrat. pleno iam conventu Persa super iis rebus ita exorsus est.

"Viri hostes (ne vos, quaeso, conturbet hoc orationis meae initium: nam si vos sententiam, ego appellationem facile mutabo) pacem colite, bellum tollite. gladius et hasta velut senio confecta valeant. fistula in posterum, leve et pastoritium sonante ludicrum, militate. Persarum rex pacis est amans, et se priorem bello nuntium remittere gloriae sibi ducit: regia enim res est pacis studium, contra res tyrannica certamen et discordia. viri iisdem quibus nos affectionibus obnoxii, tollatur bellum, quod solum natura sua est insatiabile. sanguine campos pinguefecimus, mortem saepe vidimus: pictura enim mortis bellum est. ego vero etiam archetypon dixerim, humanarumque miseriarum auctorem et magistrum sine magistro. pecuniam quis amat? atqui divitiis et paupertati bello ludibrium evadimus, alias victores, alias victi; et una cum eius mutabi-

ταῖς τοῦ πολέμου τροπαῖς ἀΐδιον ὥσπερ τὴν μεταβολὴν ἐκαρπού-
μεθα. ἐκόμα τις τῶν ἀριστέων χρυσῷ; μετὰ τῆς ἡδονῆς τὴν
ἀπιστίαν ἐκέκτητο· τί γὰρ ἀπιστότερον ἐν πολέμῳ χρημάτων
ἀμέσως μετατιθεμένων ἐς ἄλλον καὶ πάλιν ἐξ ἐκείνου εἰς ἕτερον,
ὡς ἐγρηγορότα βλέπειν ἐνύπνιον τὸν κτησάμενον, ἢ τῇ ὑστεραίᾳ
τῆς ἔναγχος μεμνῆσθαι κραιπάλης; ὑμεῖς, ὦ Ῥωμαῖοι, πάλαι
τὴν παρρησίαν τῷ πολέμῳ δεδώκατε· ὑμεῖς καὶ τῆς εἰρήνης γί-
C νεσθε μαθηταί. ἐπικηρυκευομένων Περσῶν τὸν φιλόδακρυν
ἀποσείσασθε πόλεμον· οἷς γὰρ τῆς ἁμαρτίας ἡ ἔναρξις, τούτοις
καὶ τῆς ἐπανορθώσεως ὁ μετάμελός ἐστιν ἁρμόδιος. μὴ γινέσθω
θράσος ὑμῖν ταῦτα τὰ φιλάνθρωπα ῥήματα. οὐ γὰρ περιδεὴς
γεγονὼς ὁ Περσῶν βασιλεὺς χθές που καὶ τρίτην, ὅτε τῆς Μηδι-
κῆς τὸ Ῥωμαϊκὸν κατετόλμησε γῆς, τὴν συμπλοκὴν ἀπαναίνεται.
χρυσῷ γὰρ πολλῷ καὶ δώροις λαμπροῖς πρίασθαι Ῥωμαίοις τὰς
σπονδὰς ἐγκελεύεται. οὐ γὰρ νηποινὶ καταθέσθαι τοὺς ἡμαρτη-
κότας θέμις τὸν πόλεμον· ἱκανὴ γὰρ ἡ ἔκτισις καὶ Περσικὸν κα-
τευνάσαι θυμὸν καὶ θράσος περιστεῖλαι Ῥωμαίων, πολεμικῆς
ὀρεγόμενον σάλπιγγος."

D Ἔτι τοίνυν παρατείνοντος τὸν λόγον τοῦ πρέσβεως Ῥωμαῖοι
κατεχειροτόνουν συρίττοντες, καὶ ταραχὴν ταῖς βοαῖς ἐνεποίουν
V 154 ὥσπερ δεινοπαθοῦντες ἐπὶ τοῖς ῥήμασι τοῦ βαρβάρου τοῦ Πέρ-
σου· ἐδόκουν γὰρ καὶ Ῥωμαῖοι μεγαλαυχεῖν ἐπὶ τοῖς ἔναγχος γε-

4. ἐς Exc. ἐπ' 1P. 9. ἀποσείσασθαι Exc. 10. γενέσθω Exc.

litate mutati perpetuam quodammodo mutationem perpetimur. potentiorum quispiam auri copia sibi plaudit? habet cum voluptate simul diffidentiae materiam. quid enim belli tempore magis infidum pecunia? citra discrimen ad alium, iterumque ab illo ad alium transfertur, ut possessor eius vigilans somniet aut tanquam hesternae crapulae recordetur. vos Romani pridem bello licentiam occasionemque dedistis: iidem nunc discipuli pacis estote, Persis eam docentibus ac promulgantibus. bellum lacrimarum seminarium aversamini: a quibus enim peccandi factum est initium, hos poenitere quoque convenit. ne verba isthaec humanitate condita confidentiam vobis pariant: nec enim Persarum rex heri et nudius tertius, cum Romani Persidem confidentius incursarent, perquam meticulosus effectus praelia detrectat. tantum abest a timore, ut auro multo donisque insignibus ad foedus ab se emendum vos hortetur: non enim debent gratis bello solvi qui peccaverunt. potest autem ista auri persolutio placare etiam iracundiam Persicam, insolentiamque Romanorum cantus Martii cupidam comprimere."

Cum legatus ultra proveheretur, Romani consensu abnuunt, sibilis perstrepunt, et quasi barbari vocibus gravi iniuria laesi, confuse clamorem tollunt: statuebant enim sibi quoque sua iactare licere, quae ab

γεννημένοις, ὡς εἰσέδυσαν εἰς τὴν Περσῶν πολιτείαν, ὡς λείας ἐκράτησαν, ὡς τὸν Καρδαριγὰν ἐφενάκισαν. ὁ δὲ στρατηγὸς τὴν ἐκκλησίαν διέλυσε, καὶ ὁ Πέρσης οὐκ ἐπέθηκε τέλος τοῖς ῥήμασιν. ὀλίγαι τοίνυν ἡμέραι διῳχήκασι, καὶ ὁ τῆς Νισίβιδος τῆς ἱερατικῆς προλάμπων τιμῆς ὡς τὸν στρατηγὸν ἀφικνεῖται, τὰ αὐτὰ τῷ Μεβόδῃ ῥήματα εἰς μέσον τιθέμενος. τὸ τηνικαῦτα τοιγαροῦν ὁ στρατηγὸς τοὺς Περσῶν λόγους δι' ἐπιστολέως ἐς βασιλέα παρέπεμψε. βασιλεὺς δὲ τὰς τοῦ στρατηγοῦ ἱστορήσας P 29
κεραίας βασιλικοῖς παραυτίκα ἀνεῖλε προστάγμασι, τὸν Φιλιππικὸν ἐγκελευσάμενος τὰς αἰσχίστας ταύτας σπονδὰς ἀποπέμπεσθαι ὡς ἀπᾳδούσας Ῥωμαϊκῆς μεγαλειότητος. καὶ μέντοι ὁ στρατηγὸς τὰς αὐτοκρατορικὰς δέλτους περιπτυξάμενος ἐπὶ τὸν Μαμβραθὼν στρατοπεδεύεται. οὕτω μὲν οὖν ἐσφρίγα ὁ πόλεμος. ὁ δὲ στρατίαρχος συναγείρας τὸ ὁπλιτικὸν ἐπυνθάνετο εἰ τὰς ψυχὰς ἀρρενικῷ τινὶ ἔρωτι ἐπιφέρονται πρὸς παράταξιν. ἐπεὶ δὲ κατένευον αἱ δυνάμεις συνθήκαις τε ὅρκων τὰς ἐλπίδας ἐκύρουν, μεταστὰς ἐντεῦθεν ὁ στρατηγὸς ἐπὶ τὸ Βίβας παραγίνεται, ἔνθα ὁ ποταμὸς παραῤῥεῖ τοῦ Ἀρζάμων.

initio patravissent, quod in Persarum fines irrupissent, quod eos depraedati essent, quod Cardariganum ludos fecissent. Philippicus igitur conventum dimisit, Persa interim non tacente. pauci interfluxerunt dies, cum Nisibis episcopus ad ducem Romanum accedens eadem quae Mebodus disserit. tum Philippicus verba Persae litteris consignata ad imperatorem perferenda curat. quibus lectis imperator confestim respondet, iubetque uti huiusmodi foedus turpissimum, Romana maiestate alienum respuat. accepta hac epistola Philippicus Mambrathonem ducit. sic igitur bellum denuo tumescere. cum advocata militum concione quaereret, ecquid desiderio quodam masculo divinitus perciti ad pugnam anhelarent, illis annuentibus et iureiurando spem eius confirmantibus movens inde, Bibas, ubi Arzamon fluvius praeterlabitur, iter contulit.

ΘΕΟΦΥΛΑΚΤΟΥ
ΙΣΤΟΡΙΩΝ
ΛΟΓΟΣ Β'.

THEOPHYLACTI
HISTORIARUM
LIBER II.

PONTANI ARGUMENTUM.

(1) Izalae montis descriptio; et cur dux Romanus eo se transtulerit. (2) Cardarigani fastus. magos consulit: victoria promittitur: in Romanos itur. Romani hostes explorant. (3) acierum utrinque dispositio. Philippicus sacram salvatoris effigiem circumferens animorum incredibile robur militibus addit, cohortationem adiungit. pro victoria deo cum lacrimis supplicatur. rogatur dux uti secedat. de incertis belli locus communis. locus pugnae, et illi vicina patria virorum illustrium. (4) Romani victores spolia legunt invito duce. eius strategema. Persarum fuga. caedes utrinque plurima. vox divina ad Romanos. Persae fugientes in colle obsidentur. (5) Stephanus de Persis fugitivis non deletis se purgat. conflictus apud castra. Cardarigani infaustum strategema. a Darenis excluditur cum conviciis. in castris Romanorum falsus rumor. (6) miles Romanus quadruplici vulnere saucius in castra portatur, fortique animo emoritur. donativum datur militibus. vulnerati in urbes proximas et castella ad curationem dimittuntur. Romanus Persidem incursat. (7) Arzanenam Romani vastant. incolae sub terram se abdunt; a captivis produntur; resono pulsu explorantur et educuntur. Chlomarum castellum Romani obsident. duces Arzaneni duo ad eos transeunt; locum castello excitando ostendunt. (8) Cardariganus cum manu bellandi imperita in Romanos sese agit. Heraclius cum comitatu suo absque armis speculatum egressus periculum evadit. Philippicus militem dispersum ad resistendum hostibus recolligit. Zabertas Persa suis ad locum munitum praeit. de media valle seu fossa inter Romanos et Persas, et horum clandestino discessu. Chlomari obsidione

Romani abstinent. (9) *Philippicus inconsiderate fugit. timor, tumultus, angor in castris. militum fuga nocturna, et misera. Aphumos petunt: ibi ducem fugitivum dicteriis lacessunt. Persae eos lento passu insequuntur; in extremos iaculantur. mula lecticaria ducis feritur. Theodorus neglectae custodiae accusatur. dux redit, castella apud Izalam reficit, Heraclio exercitum tradit, moestus a bello vacat.* (10) *Tigris fluvius describitur. gesta Heraclii ducis in Perside ad meridiem. missio militum in hiberna. morbus Philippici, et exercitus ad Persas denuo vexandos divisio. res contra Abaros feliciter et cum gloria administrata. Chaganus fugae beneficio servatus.* (11) *Comentiolus fidei violatae timiditatisque reprehenditur. montis Aemi luculenta descriptio. hostium transitus investigatur. Castus fortuna prospera elatus Comentiolum deserit, in calamitatem incidit.* (12) *agmen Casti timore perculsum dissipatur. capti de Romanis atrocissime pulsantur. Castus et cum eo multi in potestatem veniunt. Abares in Thraciam vastabundi sese infundunt. Ansimuthus peditatus Thracii praefectus capitur. consultatio Comentioli cum primoribus, et ad constanter dimicandum cohortatio.* (13) *chiliarchi oratio de hostibus non invadendis, a paucitate militum, ab accepta recens calamitate. huic suasori senex miles adversatur constantissime, et lacrimans audientiam rogat.* (14) *oratio senis, qua sententia chiliarchi ut timida et ignava refellitur et Abares armis appetendos consulitur; ipsius hostis, Romanorumque veterum exempla assumuntur, et sententiosa cohortatio adiungitur.* (15) *persuadet senex: arma capiuntur, in hostem gradiuntur. ex falso terrore clamor totum exercitum disturbat. fugit etiam Chaganus. Abarum complures obtruncantur. Chaganus Apperiam castellum adoritur.* (16) *Busa miles fortissimus venationi intentus capitur, et a suis nec precibus nec lacrimis lytrum impetrat. docet Abaros fabricare machinam expugnatoriam; cuius adactu prostratis moenibus oppido potiuntur. Beroen irrito conatu Chaganus oppugnat, incolis strenue resistentibus; qui tandem non grandi pecunia obsidionem redimunt.* (17) *Chaganus a Diocletianopoli, Philippopoli et Adrianopoli repellitur. imperatori a plebeiis quibusdam propter Castum et Ansimuthum a barbaris captos maledicitur. Ioannes Mystaco Adrianopolim missus hostes per hypostrategum vincit. palabundi fugiunt. moderatio ducis in victoria.* (18) *Heraclius castrum Persicum oppugnat acerrime. incolarum in sese defendendis industria. ipsum et Masarorum praeterea occupantur. Theodorus ab agricolis ad Beiudaes oppidulum invitatur. infestissime oppugnatum Saperii militis singulari eximiaque virtute capitur.*

---

1. Τῇ δ' ὑστεραίᾳ τὸν χάρακα μετέβαλλεν εἰς τὰ παρύψηλα P 32 C
τοῦ πεδίου, κατὰ τοὺς πρόποδας τοῦ ὄρους ἐν ἀριστερᾷ τοῦ V 156
Ἰζαλᾶ πεποιηκώς. τὸ δὲ ὄρος ὁ Ἰζαλᾶς πολυτοκώτατον· οἰνοφόρον γάρ, καὶ ἄλλα γένη μυρία καρπῶν ἐπιφέρεται. πολυανθρωπότατόν τε τὸ ὄρος, καὶ οἰκήτορες αὐτῷ ἄνδρες ἀγαθοί.

1. Postridie ad editiora campi et radices Izalae montis, ad laevam castra constituit. est autem mons hic fertilissimus, siquidem praeter vinum fructuum genera effert innumera. eius accolae frequentissimi et boni viri, hostium non procul inde habitantium incursionibus et vexatio-

ἐπίμαχόν τε τὸ ὄρος ἐς τὰ μάλιστα καὶ ἀμφίβολον· οὐ πόρρω γὰρ ἀπῴκισται τὸ πολέμιον. τούτους τι μεθιστάναι τῆς φιλονείκου χώρας οὐκ ἂν πείσαις οὔτε ἀπειλῶν οὔτε θωπεύων, καίτοι πολλάκις τῶν ὁμόρων Περσῶν ὑποτεμνομένων τὴν αὐτῶν γῆν καὶ
D ληϊζομένων. τοῦτο δὴ τὸ ὄρος ὁ Ἰζαλᾶς ἕτερον παραμείβεται ὄρος, προσαγορευόμενον Ἀϊσουμᾶς. τὸ δ' Ἀϊσουμᾶς ὥσπερ ἀκρώρειά τίς ἐστι, καὶ ἐς μέγιστον ὕψος ἐκτείνεται, καὶ ἐκ τοῦ μετεώρου δύο καθέρπουσι πρόποδες. ἐκ δὲ τούτων ὁ Ἰζαλᾶς τὴν πρόοδον ἐπιφέρεται, καὶ αὐτὸς ἀπαρχόμενος κάτωθεν εἰς ὕψος, εἶτα κατὰ μικρὸν ἀνακύπτων, ταῖς ἐπιδόσεσιν ἐκτανύσας τὸν αὐχένα, μέχρι τοῦ Τίγριδος γίνεται ποταμοῦ. καὶ ἂν τῷ Ἑῴῳ ἢ Καυκάσῳ συνήπτετο, εἰ μὴ δημιουργικαὶ φροντίδες τινὲς τὴν διάκρισιν ἐποιήσαντο. ἐνταῦθα τὸ μάχιμον ὁ στρατηγὸς ἐνωρμίσατο, διανοούμενος ὡς ἐκ τοῦ Περσικοῦ ποταμοῦ τοῦ Βουρῶν μέχρι τοῦ Ἀρζαμῶν ὕδωρ οὐκ ἔνεστι, καὶ δυοῖν θάτερον
P 33 ἀνάγκη τὸ πολέμιον ἑλέσθαι· ἢ γὰρ ἀτρεμήσει, τὴν οἴκοι φρουρὰν ἀσπασάμενος, ἢ ἔμπαλιν Λατίνοις ἐπικεῖσθαι πειρώμενον μαλακισθήσεται τῷ πόνῳ καὶ τῷ δίψει, ἥ τε ἵππος διολεῖται ὡς τάχιστα, τῆς Ῥωμαίων μὴ συγχωρούσης δυνάμεως ἐκ τοῦ ποταμοῦ τοῦ Ἀρζαμῶν ὕδωρ τοὺς βαρβάρους ἀρύσασθαι. τρίτῃ δ' ἡμέρα, καὶ τὸ Περσικὸν ἐπέπυστο σύνταγμα ὡς οἱ Ῥωμαῖοι ἀνὰ
B τὸ Ἀρζαμῶν διατρίβουσιν. (2) Ὁ δὲ Καρδαριγὰν εἰς τοσοῦτον ἐληλάκει φρυάγματος ὡς γέλωτα τῶν ἀγγελλόντων καταχέειν πλατὺν ὡς περὶ φληνάφου τοῦ πράγματος. ὡς δὲ τὰ τοῦ λόγου τὸ

nibus etiam atque etiam obnoxii. quibus, quanquam Persae vicini eorum, ut dicebamus, saepenumero depopulationem vastitatemque important, tamen ut sedes hasce illis invidiosas mutent alioque commigrent, nunquam vel minando vel blandiendo persuaseris. porro mons hic alium montem Aisumas appellatum praecedit. Aisumas iste velut cacumen seu iugum quoddam est, et in coelum minatur. ex eo duo pedes procurrunt, e quibus Izalas prodit, et ipse ab imo in altum assurgens, paulatimque maioribus incrementis sursum tendens dorsum ad Tigrim usque porrigit, atque ad Eoum sive Caucasum pertineret, nisi artificum excellentium cura laborque discrimen invenisset. hoc igitur in loco dux castra posuit, ita secum ratiocinatus, a Persico flumine Burone usque ad Arzamonem nullas esse aquarum scaturigines, et ad alterum horum hostes necessario venturos: aut enim otium acturos, sat habentes tueri domestica; aut si rursus instare premereque Latinos sive Romanos conentur, siti et laboribus enervatum iri, equitatumque periturum celerrime, Romanis barbaros Arzamonis fluvii aquatione prohibentibus. tertio die Persae Romanos ad Arzamonem considere compererunt. (2) Cardarigas autem eo insolentiae processit, ut ad huius rei nuntios tanquam nugas rideret effusissime. sed ubi aures militum iisdem nuntiis manifestius cir-

Περσικὸν περιεβόμβου τρανέστερον, παρεδρεμύττετο τὸ πολέμιον. ὁ δὲ σατράπης τοὺς θεραπευτὰς τῶν μαγγανευμάτων διηρώτα, καὶ παρὰ τῶν μάγων ἠξίου ἴχνη πυθέσθαι προρρήσεως, τάς τε πνεύματι Πύθωνος ἐνθουσιώσας καὶ φαντασίαν κυήσεως παρεχομένας τῇ τοῦ δαιμονίου περιφορᾷ ἠξίου τὸ ἐσόμενον προαγορεῦσαι. οἱ δὲ τῶν δαιμονίων κάτοχοι ἔφασκον τὴν νίκην Μήδοις παρέπεσθαι, καὶ κατὰ τὴν ἔκτυξιν Πέρσας ἀποίσεσθαι ἅμα C *τὴν Περσίδα, τὴν τύχην ἀμείψαντας. τὸ μὲν οὖν Περσικὸν διερρώννυτο ταῖς προρρήσεσιν ὥσπερ γαυρούμενον. ἀπάραντες τοίνυν ἐκ τοῦ Βουρῶν ποταμοῦ πρὸς τοὺς Ῥωμαίους ἐφέροντο. εἶτα πλήθη καμήλων ἐπέσαξαν ἀσκοὺς ἐπιφορτίσαντες ὕδατος, ἵνα μὴ τῆς τῶν ὑδάτων ἀπορήσαντας φύσεως Ῥωμαῖοι ῥαδίως αὐτοὺς κατεργάσωνται. τοσοῦτον δ' εὐπραγίας ἐλπίσιν ἐφήπτοντο, ὡς καὶ πέδας, τοῦτο μὲν ἐκ ξύλων τοῦτο δ' ἐκ σιδήρου διειργασμένας, καὶ μάλα γε πολλὰς προσεφέροντο. ὁ δὲ στρατηγὸς τῷ Ῥωμαϊκῷ παρενεγγύα τῶν γεωργικῶν ἱδρώτων ἀπέχεσθαι, φειδοῖ τῆς ἀγροικίας ταῦτα ὑποτιθέμενος. τῇ οὖν ἐπιούσῃ* D *ἄνδρας λογάδας ἐπὶ κατασκοπῇ τοῦ πολεμίου ἐξήρτισεν, Σεργίῳ* V 157 *τε τῷ λοχαγῷ ἀνατέθεικεν, ᾧ ἡ τοῦ Μάρδιος φρουρὰ ἐγκεχείριστο, τόν τε Ὤγυρον καὶ Ζώγομον· φύλαρχοι δ' οὗτοι τῆς συμμάχου τῶν Ῥωμαίων δυνάμεως, οὓς Σαρακηνοὺς εἴθιστο Λατίνοις ἀποκαλεῖν. οἱ μὲν οὖν ἀπὸ τοῦ στρατηγοῦ ἀποσταλέντες τινὰς τῆς βαρβαρικῆς πληθύος ὑποθηράσαντες στρεβλώσαντές τε διέγνωσαν ὡς ὁ Καρδαριγὰν στρατοπεδεύεται ἔνθα καὶ πρότερον. ἑβδόμη δ' αὕτη ἡμέρα ἐτύγχανε τοῦ κυκλικοῦ τῆς ἑβδομάδος βα-*

cumsonuerunt et eos indolescere apparuit, ariolos percunctatus ab illis futurorum vestigia progressumque discere cupit. Pythonissas item et circumferendo in utero daemone praegnantium similes vaticinari postulat. illi afflatu Stygio Persis ex conflictu victoriam de Romanis fortunamque ex adversa secundam pollicentur. quibus praedictionibus Persae erigebant animos et se beatos numerabant. ergo a Burone discedentes in Romanos vadunt, magnamque camelorum multitudinem utribus aqua repletis onerant, ne ea destitutos Romani facile interimerent. adeo autem felicis spe successus gestiebant, ut etiam compedes partim ligneas partim ferreas, et quidem multas admodum, captivis inducendas secum portarent. dux Romanus agrestium tenuitati consultum cupiens cohortabatur suos uti eorum sudoribus diripiendis temperarent. die igitur proxime sequenti certos quosdam per Sergium ducem manipularem, cui Maridis custodia concredita erat, ad hostem speculandum, nempe Ogyrum et Zogomum, auxiliariae manus Saracenorum, ut Latinis vocantur, tribunos, deligit. hi a duce missi ex agmine barbarorum quosdam intercipiunt, e quibus in quaestionem datis Cardariganum castra priore loco habere cognoscunt. erat is dierum hebdomadis in orbem redeuntium septimus, qui a Mose

δίσματος· Σάββατον δὲ τοῦτο τῷ ἱεροφάντῃ Μωσεῖ κατωνόμασται. ἐπεὶ δὲ τῷ Ῥωμαϊκῷ ταῦτα ἀνηγγέλθη συντάγματι, εἰς τὸν στρατηγὸν ὑπόνοιά τις εἰσέρχεται ὡς τῇ ἐπιούσῃ ἀποπειρα-
P 94 *θήσεται τὸ πολέμιον ἐπιτίθεσθαι, οἷα τοῦ Ῥωμαϊκοῦ τὴν ἡμέραν γεραίροντος πόνων ἀναπαύλῃ, αἰδοῖ τοῦ σεβάσματος. τῇ δ' εἰσαύριον ἧκον οἱ κατοπτεύοντες, καὶ τῷ στρατηγῷ διαγγέλ-*
B *λουσι τὰ Περσικὰ πλησιάζειν στρατεύματα.* (3) *ὁ μὲν οὖν Φιλιππικὸς τὸ Ῥωμαϊκὸν διεκόσμησε, καὶ τριτταῖς κεραίαις τὸν μάχιμον διετάξατο. καὶ τὴν μὲν κεραίαν τὴν εὐώνυμον τῷ Ἰλιφρεδᾷ ἐπέτρεπεν· ἄρχων δ' οὗτος ἦν τῆς Ἐμέσης. ναὶ μὴν καὶ Ἀψὶχ ὁ Οὖννος τὴν αὐτὴν περιεβάλετο δύναμιν. τὴν δὲ τοῦ δεξιοῦ Βιτάλιος ὁ ταξιάρχης. ὁ δὲ στρατηγὸς τὸ μεσαίτατον ἀνελάμβανε κέρας, ταὐτὸν δ' εἰπεῖν Ἡράκλειος ὁ Ἡρακλείου πατὴρ τοῦ αὐτοκράτορος. διετάχθη δὲ καὶ τὸ Περσικὸν οὑτωσί. ἐπὶ μὲν τοῦ δεξιοῦ λόφου Μεβόδης ὁ Πέρσης, ἐπὶ δὲ τῇ ἀριστερᾷ λόφῃ Ἀφραάτης, ἀδελφιδοῦς εἶναι λεγόμενος Καρδαριγὰν τοῦ*
C *σατράπου. τὴν δὲ μέσην ἀπόμοιραν αὐτὸς ὁ Καρδαριγὰν ἐκεκλήρωτο. ἐπεὶ δὲ τὸ πολέμιον παρεφαίνετο καὶ ἦν κόνις πολλή, Φιλιππικὸς τὸ θεανδρικὸν ἐπεφέρετο εἴκασμα, ὃ λόγος ἔκαθεν καὶ εἰς τὰ νῦν διηχεῖ θείαν ἐπιστήμην μορφῶσαι, οὐχ ὑφάντου χεῖρας τεκτήνασθαι ἢ ζωγράφου μηλιάδα ποικῖλαι. διά τοι τοῦτο καὶ ἀχειροποίητος παρὰ Ῥωμαίοις καθυμνεῖται, καὶ τῶν ἱεροθέων πρεσβειῶν ἠξίωται· ἀρχέτυπον γὰρ ἐκεῖνο θρησκεύουσι Ῥωμαῖοί τι ἄρρητον. ταὐτὸ ὁ στρατηγὸς τῶν σεβασμίων περιπέ-*

15. immo *λόχου*. cf. P. p. 44 D.

sacrorum doctore sabbatum nominatur. quod ubi Romani resciverunt, suspicio ducem incessit hostes die crastina ipsis invadendis fortunam experturos, Romanis propter diei dominici venerationem et numinis eo colendi reverentiam ferias acturis. altero die speculatores redeunt, deque Persarum adventu ducem certiorem faciunt. (3) Philippicus igitur suos in aciem tripartitam digerit: sinistram Iliphredae Emesae praefecto committit. eadem in parte Apsichus Hunnus curat. dextrae Vitalis centurio praeficitur: mediam dux ipse, Heraclius Heraclii imperatoris parens, sibi deposcit. simili forma Persicae catervae componuntur. et dextras quidem Mebodus accipit, laevas Aphraates Cardarigani satrapae ex sorore nepos; medias Cardariganus ipse sortitur. ubi hostes appropinquare pulverea nubes indicio fuit, Philippicus dei hominisque (Iesu Christi) effigiem circumfert. iam olim fama emanavit et usque hodie durat, eam effigiem non texentis manu comparatam aut pictoris arte coloribusque variatam, sed divinitus efformatam esse. quocirca apud Romanos ut *ἀχειροποίητος*, id est non hominis manu confecta celebratur, et sacris divinisque honoribus colitur. habent enim archetypum Romani, et ut sacrosanctum quiddam venerantur. hanc effigiem sacra veste nu-

πλων γυμνώσας, τὰς τάξεις ὑπέτρεχε, κρείττονος καὶ ἀνανταγωνίστου θράσους ἐντεῦθεν μεταδιδοὺς τῷ στρατεύματι. εἶτα παρελθὼν τῆς πληθύος εἰς μέσον, τῇ ἐπιρροίᾳ τῶν δακρύων ὑπὸ D τῆς χύσεως τῆς ἀγωνίας βλύζων ἀέναον, τοῖς παρακλητικοῖς ῥήμασιν ἐκέχρητο παρὰ τὸ στράτευμα. καὶ ἦν ἱκανὴ τῶν λόγων ἡ φύσις τῶν μὲν σπουδαίων τὰς ὁρμὰς ἐπιτεῖναι, τῶν δὲ ῥαθύμων καὶ νωθρῶν διεγεῖραι τὸ πρόθυμον. καὶ δὴ τὸ παρορμητικὸν μέλος αἱ σάλπιγγες ἤχησαν, ἐπεὶ δὲ περιελάλησαν, παρέθηγον τὰς δυνάμεις εἰς πόλεμον. ὁ δὲ στρατηγὸς τὸ κυριακὸν ἐκεῖνο ἐπὶ τὸ Μάρδης μετεπέμψατο ἴνδαλμα Συμεώνῃ τῷ τὸν ἱερατικὸν Ἀμιδῆς θρόνον ἐπέχοντι· ἔτυχε γὰρ τὸν ἄνδρα ἐν τῷ ὀχυρώματι κατ' ἐκεῖνο ἐνδιατρίβειν καιροῦ. οἱ δ' ἐν τῷ φρουρίῳ ἐλιπάρουν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ τὸ θεῖον καὶ εὐμενίζοντο, καὶ μετὰ πληθύος δακρύων τὰς ἱκεσίας εἰργάζοντο, ὅπως τὴν νικῶ- P 35 σαν Ῥωμαῖοι ἀνὰ τὴν ἀγωνίαν ἀποίσωνται. οἱ δὲ λοχαγοὶ οἵ τε πρωτοστάται τῶν δυνάμεων, μενοῦνγε καὶ οἱ χιλίαρχοι ἀθροισθέντες ἠντιβόλουν τὸν στρατηγὸν ἐπὶ τὸ οὔραιον τῆς δυνάμεως μεταβήσεσθαι· ἐδεδίεσαν γὰρ μή ποτε αὐτοῖς ἐπικινδυνότερος ὁ πόλεμος γένοιτο κοινωνὸν τῶν πόνων τὸν στρατηγὸν κληρωσάμενος. "ὁ γὰρ πόλεμος" ἔφασκον "οὐκ ἐπίδηλα τὰ κινήματα κέκτηται, ἅτε φιλοποίκιλος ὢν καὶ πολύμορφος. φύσις γὰρ αὐτῷ V 158 ταῖς μεταβολαῖς ἐμβατεύειν, μίαν πίστιν τὸ ἄπιστον ἔχοντι. τὸ δ' ἐκ τύχης ἐντεῦθεν ἀπαίσιον τῆς ἐκ τῆς ἐπιτεύξεως εὐπραγίας

15. οἵ τε] οἱ δὲ IP.

datam gestans exercitum obibat, indeque audendi generosam et inexpugnabilem militibus alacritatem iniiciebat. deinde in medium copiarum progressus, ubertim et continenter fluentibus per ora lacrimis propter stragis acervos mox futuros, eos ad fortiter pugnandum cohortatus est; potueruntque illius verba et impigris ac strenuis impetum intendere, et ignavis ac torpentibus strenuitatem inserere. protinus tubarum cantus acuit animos et ad praelium conserendum exsuscitat. porro dux illam domini imaginem Mardes ad Simeonem Amidae antistitem, forte per idem tempus in eo castello commorantem, mittit. in quo qui erant alii praeterea, die illo impense numini obsecrando propitiandoque dabant operam, supplicabantque multis cum lacrimis uti Romanus victor abiret. centuriones autem et praefecti militares, immo et chiliarchi coeuntes ducem obtestabantur ut in extremum agminis se reciperet, quod timerent ne, si ipsum dimicationis socium haberent, maiore cum discrimine dimicarent. "belli enim vices", aiebant, "incertae sunt; et cum natura sit mutabile, multiforme ac multifarium, solum in inconstantia sua constans est; quodque inde fortuito infaustum et calamitosum accidit, partam aliquando

B ἐς τὸ ἀπειροπλάσιον ὑπερβέβηκε." καὶ πείθουσι τὸν στρατηγὸν βραχύ τι μεταμεῖψαι τὴν στάσιν. τὸ δὲ πεδίον, ἔνθα ἐχειρουργεῖτο ὁ πόλεμος, Σολάχων ὠνόμαστο, ἀπὸ χωρίου τινὸς γειτνιάζοντος τὴν ὁμωνυμίαν ἀράμενον. ἐντεῦθεν καὶ Θεόδωρος, ὃν Ζητονούμιον ἀπεκάλουν Βυζάντιοι, ὁ καὶ τὴν παρὰ Ῥωμαίων μαγιστερίαν διανύσας ἀρχήν, ἔκαθεν τὸ γένος ἐφέρετο. ναὶ δῆτα καὶ Σολομὼν ἐκεῖνος, ὁ τοῦ βασιλέως εὐνοῦχος, ὁ τὸν Καρχηδόνιον πόλεμον ἐν Λιβύῃ παραταξάμενος, ὅτε τὸν αὐτοκρατορικὸν δίφρον Ἰουστινιανὸς διεκόσμησε. καὶ ταῦτα Προκοπίῳ τῷ συγγραφεῖ ἐν τῷ πυκτίῳ τῆς ἱστορίας ἐγγέγραπται.

C 4. Ἐπεὶ δ' αἱ τοῦ Περσικοῦ φάλαγγες τοῖς Ῥωμαϊκοῖς λόφοις προσέμιξαν, Βιτάλιος ὁ ταξίαρχος τὴν ἀντίθετον θᾶττον διέλυσε δύναμιν, προκύψας τῶν ἄλλων θρασύτερον τάξεων. ἀτὰρ μέγιστον φόνον εἰργάσατο, τήν τε Περσικὴν ἀποσκευὴν ἐχειρώσατο, ἣν σύνηθες Ῥωμαίοις τῇ ἐπιχωρίῳ φωνῇ τοῦλδον ἀποκαλεῖν. οὕτω μέντοι τὸ νενικηκὸς περὶ τὴν λείαν ἠσχόλητο. ὁ δὲ στρατηγὸς διηπορεῖτό τε καὶ ἐχαλέπαινε ταῦτα δὴ τὰ τῆς ἀκοσμίας θεώμενος. καὶ οὖν ἔμφρονα βουλὴν ἐσχεδίασε, καὶ
D τὸ κράνος (ἐπίσημον δ' ἄρα τοῦτο ἦν καὶ κατάδηλον) τῆς ἑαυτοῦ κορυφῆς ἀπεκδὺς Θεωδώρῳ τῷ Ἰλιβινῷ περιτέθεικε· δορυφόρος δ' οὗτος τοῦ στρατηγοῦ. εἶτα προστάττει τῷ ξίφει παῖσαι τοὺς ἐμπορευομένους τὰ λάφυρα. ὃ δὴ καὶ γεγονὸς ἐς τὰ μάλιστα ὤνησε τὴν παράταξιν. οἱ δὲ ὑπονοήσαντες τὸν στρατηγὸν περινοστεῖν καὶ λωποδυτοῦντας αὐτοὺς ἐπανορθοῦσθαι τοῦ

12. λόχοις?

felicitatem multis modis superat et obscurat." his ducem permovent uti paulisper stationem mutet. campus certaminis Solachon a quodam oppidulo propinquo dictus est. ea inde ab atavis patria fuit Theodori, quem Byzantii Zetonumium appellabant, qui et magisteriam (dignitatis apud Romanos nomen est) gessit. inde genus duxit etiam Salomon eunuchus et auriga Iustiniani Augusti, qui et Carthaginense bellum in Libya procuravit, de quibus Procopius in historia mentionem fecit.

4. Postquam phalanges Persicae cum Romanis pedem contulerunt, Vitalis centurio manum adversariam celeriter dissipavit, quod audacius in hostes incumberet. sed et stragem maximam edidit, illorumque spolia (tuldum Romani vocare consueverunt) legit. victoribus praeda diripienda sic occupatis, dux ea confusione conspecta succensere, et quid ageret anxius cum animo suo trahere, cum prudens consilium reperit ex tempore. nam capiti suo detractam galeam, illustrem illam et conspicuam, Theodoro Ilibino satelliti suo imponit, mandatque spolia ferentibus gladio, qua latus est, ictus incutere, quod ad aciem restituendam plurimum profuit. suspicatus enim miles ducem ipsum circumire et spo-

σφάλματος, παρὰ τὴν μάχην τὴν φροντίδα μετέθεντο, καὶ τῶν πολεμικῶν μετελάμβανον πόνων. τὸ δ' ἀντίπαλον διασπασθὲν ἐς τὴν μέσην τῶν Περσῶν διεσώζετο χώραν, οὗ ἦν ὁ Καρδαριγὰν τὴν ἐπιστασίαν ποιούμενος. βαθυτέρου γοῦν τοῦ μέσου κέρατος τῶν Περσῶν γεγονότος διὰ τὴν ἐπιπρόσθησιν τοῦ ἀποδράντος εὐωνύμου κέρατος, χαλεπῶς ἂν εἶχε διενεγκεῖν ἡ Ῥω- P 36 μαίων ἀντίπαλος δύναμις, εἰ μὴ τῶν ἵππων ἀποβάντες αὐτῶν κατασυστάδην τὰς συμπλοκὰς ἐποιήσαντο. αἱ μὲν οὖν μεσαίταται φάλαγγες ἐξῄρχουν μαχόμεναι, καὶ ὁ πόλεμος αὐταῖς ἐμηκύνετο, ὡς συμβαίνειν ἐπὶ τῶν λειψάνων ἑστάναι τὸ παραταττόμενον, τῆς ἐπιφανείας τῆς γῆς περικαλυπτομένης διὰ τὴν ἐπιπολάζουσαν τῶν τεθνεώτων συνέχειαν. ὡς δὲ τὸ κακὸν ἀτελεύτητον ἦν, θεία τις διάνοια κατεδιαίτησε τοῦ ἀλλοφύλου, ἑτεραλκέα ποιουμένη τὴν μάχην. καὶ φωνὴ περιίπταται Ῥωμαίοις μεγάλῳ τῷ ἀπηχήματι ἐγκελευομένη τὴν ἵππον κεντεῖν τὴν πολέμιον. πεί- B θονται τοιγαροῦν Ῥωμαῖοι τούτῳ δὴ τῷ προστάγματι, καὶ κρατοῦσι τῆς ἀντιμετώπου δυνάμεως. τὴν δὲ φωνὴν ἀπὸ Στεφάνου τοῦ λογαγοῦ προελθεῖν τὸ Ῥωμαϊκὸν ὑπενόησε· καὶ μετὰ τὸν πόλεμον ἐπυνθάνοντο Ῥωμαῖοι εἰ προβολεὺς αὐτὸς ἐκεῖνος ὁ Στέφανος ἐτύγχανεν ὢν τοῦ στρατηγήματος. ὁ δ' ἀπηνήνατο, καὶ ἐπὶ μέγαν ὅρκον ὀμεῖται, μηδέ ποτε τοιαύτης ἐπιβολῆς τὸ σόφισμα προενέγκασθαι· οὐ γὰρ ἐντεῦθεν ἤθελε θηρᾶσθαι τὴν εὔκλειαν καὶ θεῖά τινα μελετήματα εἰς οἰκείαν παραμορφῶσαι ἀγχίνοιαν. ὁ δὲ τρίτος λόφος ὁ Ῥωμαίων, ταὐτὸν δ' εἰπεῖν ὁ εὐώ-

iis detrahendis intentos tali ratione corrigere, ad pugnam persequendam curam transferebat et ad operam militarem sese dabat. porro hostes dissipati in interiora Persidis incolumes profugere, ubi Cardarigas praefectum agebat. medio iam Persarum agmine densiore propter accessionem a cornu dextro, quod sinistri fugam compensabat, difficile erat Romanis superiores partes ferre, nisi ab equis descendentes stataria pugna confligerent. phalanges itaque mediae concurrebant acriter, et praelium eo usque producebant dum ad paucos devenirent, propter caesorum corporum continuatam multitudinem cooperta terrae superficie. cum finis nullus se ostenderet, divina quaedam sententia pro arbitrio se interponens alienis certamen adversum reddidit. clarissimo quippe cum sonitu vox Romanos circumvolans hostium equos lanceis fodere iubet. qui mandato obtemperantes, copias a fronte oppositas debellant; suspicatique a Stephano manipulario vocem istam extitisse, secundum conflictum eum interrogant, ipsene huius strategematis auctor fuerit. negat, additoque sacramento nunquam se huiuscemodi impressionis commentum protulisse confirmat: non enim hinc aucupari gloriam, divinitusque meditata sollertiae suae, quasi forma eorum commutata, tribuere sustinebat. tertia vero sive sinistra Romanorum acies adversum sibi hostium cornu permi-

C νυμος, τὴν ἐναντίαν κεραίαν συνέχει, καὶ τὸ σωζόμενον ἐμβριθῶς ἐδιώκετο ἄχρι τοῦ Δάρας, δυοκαίδεκα σημεῖα τοῦ χώρου ἀπῳκισμένου τῆς παρατάξεως. τοίνυν οὕτω λαμπρῶν τῶν Ῥω-
V 159 μαϊκῶν γινομένων τροπαίων, ἐγνωσιμάχει τὸ βάρβαρον καὶ πρὸς φυγὴν μετετίθετο. τὸ δ' ἀποδρὰν τῆς μέσης μοίρας τῆς Περσικῆς ἅμα τῷ σφῶν αὐτῶν στρατηγῷ ἔν τινι βουνῷ ἀποκλίνει τὸν κίνδυνον. ἐπεὶ δὲ τὸ Ῥωμαϊκὸν ἠκηκόει ἐν τῷ βουνῷ τινὰς τῶν πολεμίων τεθηπέναι τε καὶ τὸ κεκρατηκὸς ὑποστέλλεσθαι, διαστεφανοῖ εὐθὺς τὸ ἐχύρωμα, καὶ αὐτομολέμιον ἐγκελεύεται. οἱ
D δ' ἐς θανάτου καὶ ἐς ἀπονοίας ὀφρὺν ἀπεσοβαρεύοντο. οὐκοῦν οἱ Ῥωμαῖοι περιφρονοῦσιν αὐτούς· οὐ γὰρ ἐγνώκεισαν τὸν Καρδαριγὰν ἐν τῷ βουνῷ ἀνερπύσαντα ἰσχυρῶς τε παρευλαβεῖσθαι τὸν κίνδυνον. ὁ μὲν οὖν Καρδαριγὰν ἀπόσιτος ὢν ὑπό τε τοῦ λιμοῦ πιεζόμενος ἐνεκαρτέρει ἐν τῷ βουνῷ τρίτην καὶ τετάρτην ἡμέραν· ἐν τηλικούτῳ γὰρ δέει διέθετο τὸν τοῦ Περσικοῦ στρατιάρχον ὁ ἀδόκιμος κίνδυνος. φοβεραὶ γὰρ αἱ μεταβολαὶ παρὰ τὰς ἐλπίδας συρρεύσασαι· μετὰ γὰρ τῶν πραγμάτων καὶ τὰς
P 37 γνώμας ἀμείβουσιν. (5) ὡς δὲ παρὰ τὸν στρατηγὸν ἐπανέζευξαν, ὑπεύθυνος μεγίστου ἐγκλήματος ὁ Στέφανος ἦν, ὅτι μὴ παρεστήσατο τὸ λειπόμενον. ὁ δ' ἡγεμονικωτάτῃ ἀπολογίᾳ τὰς μέμψεις τοῦ στρατηγοῦ διεκρούσατο, φήσας "οἶδα καὶ μέτρα νίκης τιμᾶν καὶ τὴν ἀκρώρειαν δεδιέναι τῆς τύχης· μισοπόνηρον γὰρ ἔχει τὴν πλάστιγγα, καὶ φέρειν οὐκ οἶδεν εὐπραγίαν βρενθυομένην πέρα τοῦ δέοντος." οὕτω μὲν οὖν οἱ Πέρσαι σχολαίαν

scebat; et quod restabat militum, ei usque Daram, qui locus ab acie duodecim passuum millibus aberat, gnaviter instabat. tam magnifica Romanorum tropaea barbari cernentes imbecillitatem suam virtutemque hostium agnoscunt, et ad fugam etiam ipsi se intendunt, ad collemque in interiore Perside periculi declinandi cum duce suo confugiunt. Romani audientes hostium quosdam collem attonitos victoremque metuentes insidere, statim locum cingunt, hostes uti se dedant hortantur. illi cum contemptu mortis et vesana confidentia supercilium insolenter ac superbe tollunt. Romani eos despiciunt: nec enim Cardariganum seria periculi fuga collem ascendisse cognoverant; in quo cum inopia commeatus et dira fames tertium iam et quartum diem perseverabat: tantum in timorem Persarum ducem discrimen improvisum coniecerat. mutationes enim inopinatae terrent animum, quando cum rebus ipsas quoque cogitationes et consilia invertunt. (5) Stephanus ad ducem rediens in crimen maximum ab eo vocatur, quod reliquias illas non delevisset; quam incusationem defensione duce militari dignissima depellit: scire se modum in victoria revereri, in fastigio fortunae formidinem praestare. eius lancem odisse improbos, felicitatemque plus aequo superbientem ferre non posse. ita Persae lente quieteque descendendi copiam nacti de colle

εὑρηκότες τὴν κάθοδον τῶν παρυψήλων καθείρπυσαν. ἐπεὶ δὲ τοῦ λόφου κατέδυσαν, συμπαρομαρτοῦσι Ῥωμαίοις ἐπανιοῦσι B καὶ συναθροιζομένοις ἀνὰ τὸν χάρακα. οὐκοῦν ἀναιροῦνται πολλοί, ἥλωσαν δὲ πλείους ἢ χίλιοι, οἳ καὶ ἐς Βυζάντιον παραπέμπονται.

Ὁ δὲ Καρδαριγὰν πρὸ τῆς ἐπὶ τὸν πόλεμον ἐπιβολῆς τοὺς δερματίνους ἐκείνων ἀμφορεῖς διαρρήξασθαι τῷ Περσικῷ ἐγκελεύεται, φιλοκινδυνότερον ἐς θράσος ἐντεῦθεν τὸ Μηδικὸν ἐργαζόμενος, τοῦτο δὴ τοῖς σφοῖσι παραδηλῶν, ὡς εἰ μὴ μεγάλων κινδύνων ἐφάψοιντο, ἀπόλωλε τούτοις ἡ ὕδρευσις, τοῦ Ῥωμαϊκοῦ τὸν ποταμὸν τοῦ Ἀρζαμὼν περικαθημένου καὶ διαφρουροῦντος τὸ ῥεῖθρον φιλοπονώτερον. οὔκουν δ' αὐτῷ ἐς ἀγαθὸν περιέστη C τὸ θράσος. ἀμαθὲς γὰρ τῷ κύβῳ τῆς τύχης πιστεύσαντα ταῖς ἀκρωρείαις τῶν κινδύνων καταθαρρεῖν, καὶ τὰς ἀγαθὰς ἐκβάσεις ἐκ τῶν προϋπαρξάντων σφαλμάτων ἀπερανίζεσθαι. ἀφιλοσόφου γὰρ ὑπούσης ἀρχῆς, οἰκείαν τοῖς προϋφεστῶσι καὶ τὰ συμπεράσματα ἕξει τὴν πρόοδον. τοῦτό τοι καὶ πολλοὺς τοῦ Μηδικοῦ μετὰ τὴν ἧτταν διέφθειρε· φρέασι γὰρ περιπεσόντες τινὲς τοῦ Περσικοῦ λαφύττουσιν ἀπληστότερον, καὶ ἐς μέγα κακοῦ ἀποκλίνουσι, τῆς κοιλίας αὐτοῖς τῇ ἀθρόᾳ τοῦ ὕδατος ἐμβολῇ D διενεγκεῖν οὐκ ἐχούσης τοῦ ἐπιφορτισθέντος ὕδατος τὴν ἀντίληψιν.

Ὁ δὲ Καρδαριγὰν εἰς τὰ περὶ τὸ Δάρας ἀφικόμενος τὴν ἐς τὸ ἄστυ παρεκινδύνευεν εἴσοδον. οἱ γὰρ αὐτοί, ἤτοι οἱ περιφρουροῦντες Πέρσαι τὸ πόλισμα ἀναπετάσαι ἀπέλεγον τοῖς Μή-

2. ἐπανίασι IP. 9. σφισὶ IP.

degrediuntur. degressi redeunt et Romanos ad castra sequuntur: multi interficiuntur, supra mille capti Byzantium mittuntur.

Cardarigas suos subeundo periculo animosiores facere cupiens, ante congressum utres illorum dirumpi iubet, innuens nimirum, nisi praesenti se discrimini obiectarent, ubi aquarentur, non habituros, cum Romani fluvium Arzamonem obsiderent cautiusque custodirent. sed ei audacia haec male vertit: est enim magnae imperitiae fortunae confisum aleae adversus extrema pericula spiritus sumere, et secundos eventus erratis praecedentibus emendicare. nam quia insipienter incipitur, ultima principiorum similia efficiuntur. atque ista ratio multos de Persis etiam victos perdidit. etenim cum in quosdam fontes incidissent et insatiabiliter latices hausissent, malum non mediocre invenerunt, quod ventres tantam aquae ingurgitatae vim et onus ferre non poterant.

Cardariganus in agrum Darae deveniens audacius introitum in urbem tentare: ipsimet enim Persae videlicet, urbis praesidiarii, popularibus suis portas reserare abnuebant: nam lege Persica fugientes et igna-

δοις τὰς πύλας· μὴ γὰρ οὖν εἰσοικίσασθαι τοὺς ῥιψάσπιδας
Περσικὸν νόμον ἀνέχεσθαι. ἐπεὶ δὲ τὸν Καρδαριγὰν ἐβλασφή-
μουν καὶ ταῖς ὕβρεσι τῇ συμφορᾷ συνεπετίθεντο, πείθουσιν ἐς
τὰ οἴκοι χωρεῖν, αἰσχίστοις αὐτὸν παραπέμψαντες λόγοις.
Ἡμέρας δὲ κλινούσης ἐξαπιναίως ἐπιδημία θορύβων τῷ
Ῥωμαϊκῷ στρατοπέδῳ ἐγγίνεται, καὶ φήμη διέρρευσε δύναμιν τὸ
Περσικὸν περιβάλλεσθαι ἐπίθετον, καὶ ὅσον οὔπω ἐπιβήσεσθαι
μέλλειν τοῦ χάρακος. οὐκοῦν ὁ Ἡράκλειος ὁ Ἡρακλείου πατὴρ
V 160 τοῦ αὐτοκράτορος καὶ ἕτερος τῶν ἡγεμόνων ἱππάζοντό τε, καὶ
P 38 σιδήρῳ φραξάμενοι ὁρμῇ ἀκατασχέτως περιεπόλουν, τὸ βαρβα-
ρικὸν ἀνιχνεύοντες. καὶ ἀνὰ τὸν βουνὸν ἀφικνοῦνται, ἐν ᾧ οἱ
περὶ τὸν Καρδαριγὰν ἔναγχος ἀποδράντες ἐνηυλίζοντο. καὶ οὖν
ἄττουσι πρὸς τὰ ὑψηλά, καὶ περισκοποῦσιν ἔκ τινος μεγίστης
περιωπῆς, καὶ τὸ πολέμιον ἦν ἀφανές. ἐπεὶ τοίνυν εἰς τὸ τρα-
νὲς τὴν εὕρεσιν ἐποιήσαντο καὶ φενάκη τις ἐν τῇ ἐπισκοπῇ οὐκ ἂν
B ἦν, ἀνὰ τὸ Ῥωμαϊκὸν ἐπανάγονται. (6) ἐν δέ τινι μοίρᾳ τῆς
ἀτραποῦ δυσθανατῶντα στρατιώτην Ῥωμαῖον περιεβλέψαντο,
τέτρασι βολαῖς τὸ σῶμα κοσμούμενον. εἰς μὲν γὰρ τὴν ὑπερώαν
χελύνην Μηδικὸς ὀϊστὸς ἐς βάθος εἰσδὺς ἀνὰ τὸ κράνος ἐρρίζωτο,
ἕτερος δ' αὖ ἐπὶ θάτερον χεῖλος ἔνερθεν εἰσφρήσας ἀντιθέτως
πως ἀνετείνετο, ὡς κατά τινας διαμέτρους κεραίας κεχῶσθαι
τὴν γλῶτταν ταῖς ἀντιτύποις συμβολαῖς τῶν ἀκίδων, κἀντεῦθεν
μὴ δύνασθαι τὸν ἀριστέα μύσαι τὰ χείλη. περιεφέρετο δὲ καὶ
δόρατος εἰσπομπὴν ἐπὶ τοῦ εὐωνύμου βραχίονος, ἐπί τε τῇ λα-
πάρῃ ἑτέραν βολὴν Μηδικοῦ ἀκοντίου. αὕτη τοι καὶ τῆς ἀρετῆς

vos non recipi. postquam illi convicia dixerunt eiusque calamitatem verborum contumeliis cumularunt, cum probrosis eum sermonibus dimittentes domum abire perpulerunt.

Vespere appetente tumultus repente in castris excitatur, manatque rumor Persis venisse auxilium, et iamiam castra invasuros. itaque Heraclius Heraclii pater et alius e ducibus, expediti in equis ferroque armati, incredibili ardore barbaros exploratum circumeunt, et ad collem usque perveniunt, in quo Cardarigas paulo ante cum fugientibus consederat. celeriter in summum evadunt, e maxima quadam specula prospectum circumquaque petunt, hostes nusquam cernunt. cum rem ad liquidum candide indagassent, ad castra sua revertuntur. (6) iam vero alicubi in via militem Romanum cum morte luctantem offendunt, quadruplici plaga corpus saucium, immo ornatum potius. superius quippe labrum sagitta Persica per galeam penetrarat, fixaque haerebat. alia per inferius labrum inferne missa pene recta linea priori sursum respondebat, ut contrariis cuspidibus lingua ceu diametri punctis intercepta extaret et hinc vir fortissimus os claudere nequiret. hastam item in laevo brachio et iaculum in latere defixum habebat. atque hoc vulnus eius virtuti epi-

αὐτῷ τὸ ἐπιτάφιον ἦν. οἱ μὲν οὖν ἀμφὶ τὸν Ἡράκλειον τῷ γεν- C
ναίῳ περιῤῥεόμενον τὸν ἀριστέα θεώμενοι αἵματι, ἀγάμενοι τῆς
εὐψυχίας, ἐποχοῦσι τῷ ἵππῳ καὶ ὡς τὸν χάρακα διεκόμισαν.
εἶτά οἱ ἐφέλκονται τὰ μὲν ἄλλα βέλη τὰ ἐμπεπηγότα τῷ σώματι
καὶ παρεξάγουσι, τὸ δ' ἀνὰ τὴν πλευρὰν ἐξελέσθαι οὐκ εἶχον·
διεψιθύριζον γὰρ ὡς ἑαυτοὺς οἱ ταῦτα δὴ τὰ Χείρωνος καὶ Μα-
χάονος τεχνώμενοι μελετήματα, ὡς συνεκδημήσει αὐτῷ καὶ ἡ
ψυχὴ τῇ τοῦ βέλους ἐξόδῳ. ὁ δὲ Μακεδὼν ἐκεῖνος ἢ Λεωνίδας
τὸ φρόνημα ἢ Καλλίμαχος ἢ Κυνέγειρος, ἀρκέσει δὲ τὸ Ῥωμαῖον D
ἀποκαλεῖν, ὡς τῶν λόγων τῶν ἰατρῶν ὑπῃσθάνετο, ἤρετο εἰ τὸ
Ῥωμαϊκὸν εἴη νενικηκός. ὡς δ' οἱ περιεστῶτες αὐτὸν κατέφα-
σκον καὶ ἄρασθαι Λατίνους τρόπαιον ἔλεξαν, ἐβασάνιζεν ὅρκοις
τὰ ῥήματα. ἐπεὶ δὲ Ῥωμαίους ὄντως ἐπέπυστο τὴν κούφην κατὰ
τὸν πόλεμον ἀπενέγκασθαι πλάστιγγα, Πέρσας δὲ τὴν ἐναντίαν
ῥοπήν, τῷ βάρει τῆς ἥττης καθελκομένους πρὸς πτώματα, ἀνα-
σκιρτήσας τῷ ἄσθματι, μέγα τι παραμύθιον καὶ τῆς ἀλγηδόνος
θελκτήριον ὑπῆν αὐτῷ τὸ λεγόμενον, καὶ τὸ τεθνάναι λοιπὸν
ἐκαραδόκει, καὶ τῷ νεύματι τοὺς δρῶντας ὥσπερ ὑπέσαινεν ὑπεξ-
άγειν ἀφειδῶς ἀπὸ τῆς πλευρᾶς τὸν Μηδικὸν ἐκεῖνον καὶ διαβόη- P 99
τον δόνακα· οὐ γὰρ εὑρήσειν τοιοῦτό τι ἄλλο ἐφόδιον ἀγαθὸν
ἀποφέρεσθαι τὸν ὑπὸ σελήνην τοῦτον κόσμον ὑπεξερχόμενον. τὸν
δὲ ἀριστέα φασὶ τοῦ καταλόγου γεγονέναι τῶν Κουαρτοπάρθων,
οὕτω τὴν προσηγορίαν ἐπιφερομένων τῶν ἐν Βεροίᾳ τῇ πόλει Συ-

taphium fuit. igitur Heraclius et comites sanguine generoso undique manantem praeclarum illum bellatorem aspicientes, eius animi excellentiam admirati, in equum imponunt et ad castra pervehunt. deinde alii caetera quidem tela e corpore trahendo educunt: sed quod in latus contortum erat, educere formidabant, invicemque susurrabant qui Chironis et Machaonis inventa exercebant, cum sagitta simul animam exituram. at Macedo ille (immo Leonidas magnanimitate aut Callimachus aut Cynaegirus: sed satis illi ad gloriam erit, si Romanum nominemus) ut verba illorum subanimadvertit, percunctatus est an penes Romanos victoria staret. quod ubi circumstantes affirmarunt et Latinos erexisse tropaeum dixerunt, rei confirmandae iuramentum petivit. ergo ut Romanos lancem levem re vera, Persas autem lancem devergentem (ex eo quod victi sint, quasi quodam pondere detractos ad cadavera) in praelio reportasse intellexit, ipsa respiratione ingentem animi exultationem declaravit, et quod dicebatur, dolorem eius lenivit; ac de caetero horam sibi novissimam exspectans, nutu praesentibus blandiebatur quodammodo, ne illam Persicam et inclitam arundinem e latere sibi extrahere parcerent: non enim aliud aeque bonum viaticum sub sole se reperturum, quod excessurus ex hac vita secum auferre posset. hunc strenuum virum ex albo Quartoparthanorum fuisse narrant; quo nomine appellati

ρίας τὰς διατριβὰς ποιουμένων. ἐπεὶ δὲ τὸ βέλος τὸ ἐπιθανάτιον τῆς πλευρᾶς ὑπεξήγετο, συνεξορμᾷ ἡ μεγάλη ἐκείνη καὶ γεννικωτάτη τοῦ ἀριστέως ψυχή, εἴπω ἀνὰ τὸ Ἠλύσιον ποιητικῶς ἐπειγομένη ἀφικέσθαι χωρίον; ἀλλ' αἰσχύνομαι μύθῳ προπηλακίζειν τὸ τῶν θριάμβων ἀξίωμα.

B Ὁ δὲ στρατηγὸς τῇ ἐπιούσῃ ἐξέτασιν τοῦ ὁπλιτικοῦ ἐπεποίητο, καὶ δώροις τοὺς τραυματίας ἐφιλοφρονήσατο, καὶ χρύσεος κόσμος ἀργύρεός τε ἄρα τῆς ψυχῆς ἀντίδοσις ἦν. καὶ τῷ μέτρῳ τῶν κινδύνων τὴν ἀμοιβὴν ἐταλάντευεν· τοῖς μὲν γὰρ ἀξία ἆθλον εὐτολμίας ἐγίνετο, ἄλλῳ Πέρσης ἵππος καλὸς μὲν ἐς θέαν ἀγαθὸς δὲ πρὸς πόλεμον, ἄλλῳ κράνος ἀργύρεον καὶ φαρέτρα, ἑτέρῳ ἀσπὶς καὶ θώραξ καὶ δόρατα. καὶ τοσούτων ἐκληρονόμουν Ῥωμαῖοι κτημάτων ὁπόσων σωμάτων ὁ πόλεμος. μεσούσης δ'
V 161 ἡμέρας διέλυσεν ὁ στρατηγὸς τὴν ἔκταξιν, εἴς τε τὰς πόλεις καὶ τὰ παρακείμενα φρούρια τὸ τετρωμένον ἐξέπεμπεν, ὅπως ἀκέ-
C σοιτο καὶ ἠπίοις τισὶ μαγγανεύμασιν, ἔργοις Ἀσκληπιοῦ, τὰς τῶν τραυμάτων ἀκμὰς κατευνάσοιτο. αὐτὸς δὲ τὸ λοιπὸν ἀναλαβὼν τῆς δυνάμεως ἐσβάλλει ἐς τὰ τῶν Μήδων. καὶ ὅσα τῶν Περσικῶν προμηθείας ἐχήρευεν, ἔπασχε κακῶς. καὶ ἀνανταγώνιστος ἦν ἡ Ῥωμαίων ὁρμὴ καὶ δυσάντητος τοῖς ἐντυγχάνουσιν.

7. Ὁ μὲν οὖν Ῥωμαίων στρατηγὸς ἐπὶ τῇ Ἀρζανηνῇ χώρᾳ
D οἷά τις λαῖλαψ ἐπιθαλάττιος ἢ ῥαγδαῖος σκηπτὸς ἐνεφοίτησε, καὶ τὴν Περσῶν πολιτείαν ἀργαλεώτερον διεχρήσατο. οἱ δὲ τῆς Ἀρζανηνῆς οἰκήτορες ὑπὸ τὰ τῆς γῆς διακενώματα κατεδύοντο·

eunt qui apud Beroeam Syriae morabantur. ubi telum mortiferum e latere extractum est, anima illa magna et generosissima viri fortissimi simul erupit, ad campos Elysios, ut poetae loquuntur, properans devenire. sed eius triumphi claritatem pudor est fabulis elevare.

Dux postridie de militibus quaesivit, et vulneratos donativis humaniter est prosecutus, animique non imbellis aureus et argenteus ornatus quoddam pretium erat, et periculorum modo praemia respondebant. huic collata dignitas animositatis merces erat; illi equus Persicus aspectu elegans et bello idoneus, alii galea argentea et pharetra, alteri scutum cum thorace et hastis. ad summam nemo ex Romanis indonatus abibat. ad meridiem dux solutis ordinibus saucios in oppida et castella circumiecta misit, ubi lenibus quibusdam medicamentis arte medica eorum vulnera confota sanarentur: ipse cum reliquo copiarum in Persidem irrumpens, quaecunque nullo erant munita praesidio, infesta habebat; et perrumpebat omnia Romanorum impetus, nec eorum vim obvii sustiner poterant.

7. Ergo dux Romanus in regionem Arzanenam haud secus quam turbo marinus aut violento impetu vibratum in terras fulmen sese inferre, et Persidem atrocius incursare. indigenae terrae cava subire: nam ut

ἔχειν γὰρ ἐκείνους ἐς βάθος δίκην τινῶν ἀντρωδῶν οἰκοδομημάτων κατασκευὰς λόγος ἐς ἡμᾶς ἐνεδήμησε. τοιγαροῦν ἀνὰ ταύτας δὴ τὰς ὑπογείους καταγωγὰς ἡ σωτηρία τέως σφίσιν αὐτοῖς ἀπεθησαυρίζετο. μὲν οὖν γε καὶ ἄρτους καὶ μάζας ἐν τοῖς κοιλώμασιν ἐταμιεύοντο, φυλακῆς ἐν καλῷ εἶναι ταῦτα διανοούμενοι. μετ' οὐ πολὺ δὲ κατάφωροι Ῥωμαίοις ἐγίνοντο, πρός τι βραχὺ τὴν αἴσθησιν παρακλέψαντες, τῶν ἑαλωκότων τὰ ὑπὸ γῆν ἐξειπόντων μυστήρια καὶ ἐπιδειξαμένων εἰς τὸ ἐναργὲς τὸ ἀπόρρητον. καὶ οὖν ἤχοις ἀπεπειρῶντο Ῥωμαῖοι τῶν ὑπὸ γῆν ἐμφω- P 40
λευόντων, καὶ ἦν αὐτοῖς ἡ διὰ τῶν ἀπηχημάτων ἀπόπειρα ἄγγελος ἀψευδής, τὰ τῶν λαγόνων τῆς γῆς διηγούμενος ὄργια. καὶ μέντοι ἀνήγοντο οἱ τῆς Ἀρζανηνῆς ὥσπερ ἐκ τῶν πυθμένων αὐτῶν τῆς συμμύστιδος γῆς ἐπὶ δούλιον ἦμαρ, ἵνα τὴν ἐκείνων τραγῳδίαν τραγικώτερον ἀφηγήσωμαι.

Ἀλλ' ὅτε Ῥωμαῖοι ἀπεπόνουν ἐρεβοδιφῶντες τὰ ὑποχθόνια, καὶ τὴν ἐχθίστην τύχην οὐκ ἀπέδρα τὸ βάρβαρον, στρατοπεδεύουσι λοιπὸν ἀμφὶ τὸ φρούριον τὸ Χλομαρῶν. τῇ δ' ἐπιούσῃ ἄνδρες αὐτοματίζουσι δύο ἀδελφοὶ τὸ γένος, ἀδελφοὶ τὴν προαίρεσιν. καὶ τῷ μὲν ἑνὶ ὄνομα Μαρουθᾶς, τῷ δ' ἑτέρῳ Ἰώβιος· B
ἄμφω δὲ ἤστην ἡγεμόνε τῆς Ἀρζανηνῆς. ἐπεὶ δ' ηὐτομόλησαν καὶ τῆς τοῦ στρατηγοῦ μεθ' ἱλαρίας θέας ἠξίωντο, τὰ τῆς εὐνοίας λοιπὸν ἦν αὐτοῖς περισπούδαστα. τοίνυν ἐπεὶ ἐν τοῖς πολλοῖς τῆς πράξεως ὁ λόγος ἐστὶ πρεσβύτερος, εὐγνώμοσι πρῶτον τισιν ὁμιλήμασι τὸν στρατηγὸν ὥσπερ ὑπέσαινον, καὶ ταῦτα δὴ

fama accepimus, domicilia in formam antrorum subter humum extructa habent. proinde tunc in huiuscemodi subterraneis diversoriis illorum salus thesauri instar erat recondita. quinimmo panes quoque et placentas in cubilibus illis reponebant, arbitrantes ea custodia commode asservari. non diu post, ubi se paulum Romanis quasi suffurati fuerant, captivis quae clam sub terra fierent enuntiantibus et secreta in apertum proferentibus deprehenduntur. latentes porro soni repercussu investigabant: ea experientia, ut minime fallax nuntia, quae in visceribus terrae arcana patrarentur, indicabat. verumenimvero Arzaneni inde velut ex imo terrae symmystidis suae ad servilem diem, ut illorum tragoediam magis tragice declarem, educebantur.

Romani ubi subterraneas pervestigare tenebras desierunt, fortunaeque barbarorum in summam miseriam transierunt, deinceps ad Chlomarum castellum oppugnandum discesserunt. die altero duo, fratres genere, fratres animo et voluntate, quorum uni Maruthae alteri Iobio parentes nomen dixerant, et ambo Arzanenae duces militares, sponte ad Romanos transitionem faciunt. hilari ducis aspectu dignati, omnem de caetero curam adhibuerunt ut ei benevolentiam suam nava-

ἐκεῖνα τὰ τῆς εὐνοίας ῥήματα ἦν "εἰ βούλοιο, στρατηγέ, Ῥω-
μαίοις τὴν Ἀρζανηνὴν ἐπικτήσασθαι, χώρους τινὰς ἡμεῖς ἐπιδεί-
C ξομεν οὐχ ἥκιστα ἀσύλους. ἐκεῖ διὰ τὸ ἕρκος τοῦ ἐχυρώματος
δείμασθαι φρούρια ὁ τῆς εὐβουλίας ἐγκελεύεται τρόπος." τοιαῦ-
τα ἦν τὰ πρῶτα τῆς τῶν βαρβάρων πρὸς τὸν στρατηγὸν διαλέ-
ξεως. οὐκ ἄπο δὲ καὶ τῆς τοῦ ἡγεμόνος διανοίας τὰ ῥήματα·
ἐγλίχετο γὰρ ὁ τὸ Ῥωμαϊκὸν ἰθύνων στρατόπεδον τοιούτων δή
τινων ἐπιτεύξασθαι χώρων· τέως δὲ διὰ τὴν ἀπορίαν τῇ τῆς γνώ-
σεως ἀναβολῇ τὴν ἐπιβολὴν ἐβιάζετο. ὁπηνίκα γοῦν ὁ στρατη-
γὸς τῶν τοιούτων ἀκροαμάτων μετειλήφειν, ὥσπερ ἑρμαίῳ τινὶ
περιτυχὼν μετά τινος προθυμίας συντόνου τὸν ὑποστράτηγον
ἀποπέμπει Ἡράκλειον, συναποστείλας αὐτῷ καὶ τοὺς ἑρμηνέας
D V 162 τοῦ ἐχυρώματος. (8) Ὁ δὲ Καρδαριγὰν τοῖς Ῥωμαίοις ἐπι-
στρατεύσας, πλήθη οὐ μαχίμων ἀλλ' ἰδιώτας ἄνδρας ἐνυαλίου
ἠχήματος, ναὶ δῆτα καὶ ὑποζυγίων καὶ καμήλων πληθὺν συλλε-
ξάμενος, ἐς τὸ πρόσω ἐχώρει. καὶ κόμπος τις ἦν ἀληθείας χη-
ρεύων, τῶν μὴ οὕτως ἐχόντων πραγμάτων συσκίασμα, ὥσπερ
ἐπὶ σκηνῆς φενάκῃ τινὶ συντεθὲν τερατούργημα. συντυγχάνει
τοιγαροῦν τοῖς ἀμφὶ τὸν Ἡράκλειον, ἐπὶ κατασκοπῇ τῶν χώρων
P 41 ποιουμένοις τὴν πρόοδον. εἴκοσι δ' ἄνδρες Ἡρακλείῳ συνείποντο.
οὐκ ἐσιδηροφόρουν δὲ τῇ ἀμαθείᾳ τοῦ μέλλοντος. οὐ κράνος τὴν
κεφαλὴν διεφύλαττεν, οὐ θώραξ τὸ περιστέρνιον, σιδήρῳ ἀντί-
μαχος σίδηρος, ἕρκος σωμάτων συμβαδιζόντων περιφρουρουμέ-
νων καὶ συνεπομένων. ἐξεθήλυνε γὰρ αὐτοὺς τὸ εὐδόκιμον· οὐ

rent. quia vero multis in rebus verba factis antegrediuntur, primum affatu ei subblandiuntur, aiuntque, si Arzanenam sub se redigere velit, loca quaedam propter vallum quam tutissima monstraturos. ibi suadere se uti castellum exaedificet. his primum dictis ducem compellarunt; quae quidem ab eius mente et sententia haud abhorrebant. locum enim aliquem istiuscemodi nancisci concupiscebat: interim dum eo carebat, quia nondum cognoscebat, impressionem urgebat. hoc itaque audito velut quopiam insperato lucro impense gavisus, hypostrategon Heraclium, et cum eo muniti illius loci promissores illuc mittit. (8) Cardariganus in Romanos expeditione suscepta, hominum qui arma nunquam tractassent nec Martium buccinae sonitum auribus suis aliquando excepissent, praeterea iumentorum camelorumque conquisita multitudine, procedebat. sed erant rerum umbrae tantummodo, nihilque aliud quam vanitatis plena ostentatio, veluti cum in scenam ad ludendos spectatores aliquid prodigiosius inducitur. occurrit igitur Heraclio, eiusque viginti comitibus, qui omnes loca speculatum inermes, futurorum ignari, prodierant. non galea caput muniebat, non thorax praecordia, ferrum ferro resistens, septum una gradientium, et corpora tanquam custodia atque praesidium cingens atque comitans. adepta enim celebritas eos emolliverat, victoria

γὰρ νίκη ἐπίσταται ἐπὶ τῆς αὐτῆς στερρότητος διαφυλάττειν τὸν ἀριστεύσαντα. ὁ μὲν οὖν Ἡράκλειος ἐπόπτης γενόμενος τοῦ θεάματος τὸ τολμᾶν ὑπεκρίνετο καὶ τὴν πρόσω φορὰν κατεσχηματίζετο φέρεσθαι· ὅτε δὲ παρεγυμνοῦτο τὸ σόφισμα, τῶν πολεμίων παρεγγιζόντων καὶ μελλόντων σφίσιν αὐτοῖς ἀναμίγνυσθαι, B πρόσεισι σὺν τοῖς ἀμφ' ἑαυτὸν ἐν μετεώρῳ λόφῳ τινί. τοῦ δὲ δυσμενοῦς ὡς αὐτοὺς τὴν ὁρμὴν ἐπιβάλλοντος, πάλιν ἐπ' ἄλλον λόφον μετέβαινον, κἀπ' ἐκείνου αὖθις εἰς ἕτερον, καὶ ταῖς ὑπαλλαγαῖς τῶν μεταφοιτήσεων τὰς τῶν πολεμίων ἐπιβουλὰς διεκρούσαντο. καὶ νύκτωρ ὡς τὸν Φιλιππικὸν πέπομφεν ἄγγελον τὴν βαρβαρικὴν ἐξαγορεύσαντα ἔφοδον. ὁπηνίκα δ' ὁ στρατηγὸς τουτονὶ τὸν ἀπόστολον ἐς τὴν ἑαυτοῦ σκηνὴν ἐσαράμενος τὸ βαρβαρικὸν ἠκηκόει ἐν τῇ ὑστεραίᾳ ἐπιτίθεσθαι μέλλειν, συναγείρει τὸ στράτευμα δεῦρο κἀκεῖσε περισχιζόμενον καὶ τὴν Ἀρζανηνὴν λυμαινόμενον, προστάξας περιλαλῆσαι τὸ ἀνακλητικὸν μέλος τὴν C σάλπιγγα. ἡ μὲν οὖν κατεκελάδει, οἱ δὲ μετὰ συντόνου σπουδῆς προσωμίλουν τῷ χάρακι. Ζαβέρτας δέ τις ἀνὴρ οὕτω τὴν προσηγορίαν περιαγόμενος (τῆς τοῦ Χλομαρῶν δ' ἄρα οὗτος διαφρουρᾶς τὰς φροντίδας ἠμπείχετο) τοῦ φρουρίου λάθρᾳ ὑπεξελθὼν ἀψοφητὶ οἱ ῥαγεῖ τῆς Ῥωμαίων δυνάμεως, καὶ πρόσεισιν ἠρέμα τε καὶ βάδην, καὶ τοῦ Ῥωμαίου ἐκ πλαγίου μαχίμου γενόμενος ἀπέδρα, καὶ τοῖς ἀμφὶ τὸν Καρδαριγὰν ἀναμίγνυται. οὐκοῦν ὁ δραπέτης ὁ Πέρσης ποδηγεῖ τὸ ὁμόφυλον, καὶ παράγει ἐς τὸ ἀντιμέτωπον τῆς Ῥωμαίων πλήθυος, χωρίον τι ἀδεὲς ὑπο-

siquidem natura insolens ac superba est, et re fortiter gesta animos in praeterita firmitate constantiaque conservare nescit. Heraclius conspecto hostium globo audaciam simulare et ulteriorem progressum fingere. verum ubi hostes propiores facti se prodiderunt et ad depugnandum paratos demonstrarunt, cum sociis editum collem petit. eodem illi incitato sequuntur. Romani in alium collem transeunt, deinde rursus in alium, iisque transitionibus hostilem ab se vim arcent, et noctu ad Philippicum mittunt qui eum de infesto barbarorum adventu doceat. Philippicus ubi nuntium in praetorium introduxit et de barbaris narrantem audivit, crastino die impressionem facturus exercitum huc illuc divisum et Arzanenam depraedantem recolligit, mandans uti tuba signum receptui daretur. clangit tuba: milites ad castra certatim advolant. Zabertas autem quidam vocabulo, cui Chlomari concredita erat custodia, cum ex arce clandestinus sineque ullo strepitu se eduxisset, extremum Romanorum agmen sequebatur; sensimque gressum promovebat, donec eos transversim respiciens fuga arrepta Cardarigani catervae se immiscuit. ita fugitor ille Persa popularibus viam pedibus pracit, eosque ex adverso Romanorum in locum propter pacificam munitionem ab hostili accessu securum addu-

D δείξας, ἐφόδων κωλύμην διὰ τὸ εἰρηναῖον τοῦ ἐχυρώματος. μία
γάρ τις μεσίτης αἰδέσιμος χάσμα τι μέγα ἐς μέσον ὑπῆν, ἑκατέ-
ραν δὲ διέκρινε δύναμιν. συνηπίστατο γὰρ ὁ βάρβαρος ὡς οὐχ
ὑπομενοῦσιν οἱ Πέρσαι ἀμέσως πως καὶ ἀθρόον τὸ νενικηκὸς ἐπι-
τιθέμενον, τῷ νεαρῷ τῶν ἀτυχημάτων πολεμίαν ὄψιν φέρειν οὐκ
ἔχοντες. διά τοι τοῦτο ὁ Ζαβέρτας ἐς τὸ ἀντιπρόσωπον ἀνὰ τὸ
χεῖλος τοῦ φάραγγος τὸ Περσικὸν ἐφηπλώσατο. καὶ ἦν ἡ φά-
ραγξ μεταίχμιον ὡσπερεὶ τάφρος αὐτόματος, φύλαξ τις ἀγαθός,
ὁποτέραν πιστευόμενος δύναμιν. ἔνθα δὴ οἱ Ῥωμαῖοί τε καὶ τὸ
βάρβαρον οὐκ ὀλίγον διετέλεσαν χρόνον. τὸ δὲ Ῥωμαϊκὸν τῆς
τάφρου ἐξαλλάττεσθαι κατωρέγετο, συμπλοκῆς ἐφιέμενον. τοῦ
δὲ Περσικοῦ τὴν ἐπιφορὰν ἀποκλίνοντος διὰ τὴν παραβραβεύου-
P 42 σαν φάραγγα, τέως ἀνακωχὴν ὁ φόνος ἐλάμβανε. μετὰ τοῦτο
γίνονται Πέρσαι ἐπὶ τὰ νῶτα τοῦ Ῥωμαϊκοῦ, τὴν θέαν νυκτὶ πα-
ρακλέψαντες· περινοστοῦσι γὰρ λαθραίως περικυκλώσαντες τὴν
V 163 φάραγγα, καὶ περιφορᾷ τῆς βαδίσεως κατόπιν Ῥωμαίων ἐγίνοντο.
κἀντεῦθεν ἄδειαν ἴσχουσι Πέρσαι ἀνὰ τὰς ὑπερωρείας τοῦ ὄρους
στρατοπεδεύεσθαι, ἵνα ἵδρυται τὸ Χλομαρῶν. τοιγαροῦν Ῥω-
μαίοις συνέβαινε τῶν ἐκεῖσε ἀπάραντας ὑπὸ τοὺς πρόποδας τοῦ
ὄρους διορύττειν τὴν τάφρον. ἐς τοσοῦτον ἀγχίθυροί τε καὶ γεί-
B τονες ἀλλήλων αἱ δυνάμεις ἐγένοντο, ὡς καὶ τὴν ἀλλήλων συνιέ-
ναι φωνὴν καὶ τοῦ χρεμετίσματος τῶν ἵππων ἐς τὸ τρανὲς ὑπαι-
σθάνεσθαι. διά τοι τοῦτο τῆς τοῦ Χλομαρῶν πολιορκίας Ῥω-

4. ὑπομένουσιν et mox ἐπιθέμενον IP. 11. ἐφιέμενον IP.

cit. nam ut conciliator aliquis reverendus, in medio vastus hiatus seu profunda vallis suberat, quae utrasque copias dirimebat. noverat quippe barbarus Persas confertim irruentibus victoribus Romanis citra medium seu intervallum pares haud futuros, quorum ob acceptam recens cladem ne vultus quidem intueri auderent. quamobrem Zabertas loco opposito, in labro seu summo margine vallis manum Persicam explicat; eratque illa vallis inter ambas acies ceu fossa naturalis et ut fidelis custos utrique exercitui constituta. moras ibi Romani barbarique longas traxerant. eumque illi fossam superare et conserere praelium concupiscerent, hi hostis impressionem ea commoditate declinarent, interea caedium indutiae agitabantur. posthaec Persae noctu furtim speculati post terga Romanorum evadunt, occulte siquidem vallem circumeundo illos post se relinquunt, atque ita in iugum montis, ubi Chlomarum castellum erat aedificatum, libere et illaesi perveniunt. proinde Romani ex eo loco moventes ad procurrentem in imo montem vallo castra communiunt. tam porro inter se propinqui ac vicini erant, ut et mutua verba perciperent

μαῖοι ἀπέχονται· οὐ γὰρ οἷόν τε ἦν τὸ φρούριον αὐτοὺς τὸ λοιπὸν παραστήσασθαι.

9. Τῇ δ' ἐπιούσῃ ἀμφὶ πρώτην τῆς νυκτὸς φυλακήν, ὑπὸ C
τὸν βαρύτατον ὕπνον, δέος τι ἀνήκεστον τὸν στρατηγὸν διετάραξε καὶ πρὸς ἀπόδρασιν παράλογον τοῦτον ἐξέμηνεν. οὔκουν ὡς εἶχε δέους, ἐπεὶ τοῦ δείματος οὐχ οἷός τε ἦν φέρειν τὴν ἔφοδον, ᾤχετο ἀπιών, μηδενὶ τῆς ἀναχωρήσεως μεταδοὺς τῆς ἑπομένης πληθύος αὐτῷ· ἐς τοσοῦτον ἐληλάκει δυνάμεως ἡ κατάπληξις, καίτοι τοῦ Μηδικοῦ οὐκ ἀντίρροπον ἔχοντος Ῥωμαίοις τὸ δύνασθαι, καὶ μέντοι καὶ τοῦ λιμοῦ εἰς τὸ ἰσχυρὸν τὸ βάρβαρον παραθλίβοντος. ἐπιβαίνει γοῦν τοῦ Ἀφούμων ὁ στρατηγὸς τὸ τηνικαῦτα καιροῦ ὑπὸ Ῥωμαίους ὑπάρχοντος. οὐκοῦν δείματα καὶ D
φόβοι θόρυβοί τε καὶ ἀπορίαι τῷ Ῥωμαϊκῷ περιπίπτουσι, καὶ τὸ κακὸν ἀπαρηγόρητον· ἀσελήνῳ γὰρ νυκτὶ ἐμηκύνετο. οἱ μὲν οὖν διέφευγον, καὶ διήνυον τῶν ἀτραπῶν τὰ δυσέξοδα, καὶ μετὰ κινδύνων τὰς ἀποφοιτήσεις ἐπεποίηντο, καὶ ὁ λόγος τῆς ἀποδράσεως ἦν ἀνεξέταστος· οἱ δὲ βάρβαροι διηπόρουν τί ἂν παλαμῶνται Ῥωμαῖοι, καὶ δυσέφικτος ἦν ἡ κατάληψις. συρρέουσι τοίνυν τὰ πλήθη τῷ μεσαίτῃ τῷ φάραγγι, καὶ ἐξαισίοις κακοῖς περιβάλλονται, ἐν σκοτομήνῃ τῶν ὑποζυγίων ἐν τῇ τάφρῳ ὥσπερ διολλυμένων τοῖς ὀλισθήμασι. τῶν δὲ Ῥωμαίων συστρεφομένων τε καὶ ἀνελιττομένων, ὠθούντων τε καὶ ὠθουμένων ταῖς περιτροπαῖς, λύσιν οὐκ ἦν ἐκείνοις εὑρεῖν τοῦ συνέχοντος· τοιοῦτό τι κακὸν ἀμαθίᾳ στρατηγοῦ ἀπεκύησε. καὶ ναὶ μὰ τόν, εἴγε τοῦ

et equorum hinnitus clare exaudirent. quocirca obsidionem castelli velut inexpugnabilis intermittunt.

9. Die sequenti circa primam vigiliam noctis, cum prima quies artus irrigat, immensus quidam pavor ducem ad fugam ratione carentem furiavit. qui cum terriculamenti insultum ferre nequiret, se proripuit, cum nemine de copiis suis re communicata: adeo adversarius exercitus illum perculerat. et tamen Persae viribus infra Romanos, dira insuper fame affligebantur. dux Aphumos, locum eo tempore Romanorum proprium, pervenit. hinc terrores, timores, tumultus et inopia consilii milites incesserunt; nec inveniebatur ullum in tanto malo solatium, cum per noctem illunem ac tenebris horridam traheretur. per vias igitur difficiles et invias periculose fugiebant; nec sat rationis in fuga. barbari dubitare quid illi molirentur, nec eorum assequi propositum. ad vallem fossamve in medio confluunt. ibi detrimentis multantur ingentibus, cum per tenebras noctis iumenta sarcinaria in profundum delapsa prope interirent, milites condensati et explicati, impellentes et impulsi, dum se huc illuc convertunt, ab urgente casu se expedire non valerent. tantam vim incommodi stultitia ducis invexit. sane (ita me deus iu-

Περσικοῦ δέκα δῆτα παιδάρια, τούτων δῆτα τῶν περιαγομένων
P 43 τὴν ἀποσκευὴν ἀπὸ τοῦ χάρακος καὶ διωπηρετουμένων τῷ βαρ-
βάρῳ, κατεκελάδησαν ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, ὡς ἅτε δὴ τῆς πλη-
θύος τῶν Περσῶν συνεπομένης αὐτοῖς καὶ ὅσον οὔπω μεταληψο-
μένης τοῦ φόνου, τὸ Ῥωμαϊκὸν ἅπαν καταδιόλωλε σύνταγμα,
ὡς κινδυνεύειν, οἶμαι, καὶ ἄγγελον τῆς συμφορᾶς ἀποσώζεσθαι.
τοσοῦτον αὐτοῖς κακὸν αἱ τῆς ἀβουλίας λαγόνες ὠδίνησαν. καὶ
οὖν ὑπὸ τὰ ἑωθινὰ καταυγάσματα περισχιζομένου τοῦ σκότους,
μόλις τὸ Ῥωμαϊκὸν διεξωδεύετο στράτευμα, καὶ ἐς τὸ Ἀφοῦμον
μεταβιβάζεται. ἐντεῦθεν βλασφημοῦσι τὸν στρατηγὸν αἱ δυνά-
μεις, καὶ ὡς ὑπήκοον ἐκωμῴδουν αὐτόν. τὸ δὲ Περσικὸν σχο-
B λαίως καὶ ἠρέμα παρείπετο. οὐκ ἐθάρρει γὰρ ἐς τὸ φανερὸν χεῖ-
ρας ἐμμίξαι· οὐ γὰρ κατάφωρον αὐτῷ ἐγεγόνει ἐκδειματούμενον
τὸ πολέμιον. οὐραγοῦσι τοίνυν, καὶ τὰ κατόπιν τῆς Ῥωμαίων
δυνάμεως τόξοις ἐβάλλοντο. ἐπετοξάζοντό τε οἱ Μῆδοι ὥσπερ
ἐπὶ σκοπῷ· τηλικαύτη τις ἦν Λατίνων ἡ μετὰ τῆς ἀκοσμίας
ἀπόδρασις. τοιγαροῦν βάλλεται καὶ μία τῶν κλινοφόρων ἡμιό-
νων τοῦ στρατηγοῦ βέλει βαρβαρικῷ, καὶ τάραχος ἐς τὸ παρευθὺ
V 164 ἐπανίσταται· παρεμορφοῦτο γὰρ ἡ φήμη ὡς οἷα καὶ τῆς ἀπο-
σκευῆς τοῦ στρατηγοῦ ἁλούσης ὑπὸ τῆς πολεμίας χειρός. μετὰ
τοῦτο τὰ βέλη τηνάλλως ἀφίπταντο, καὶ μέγιστα Ῥωμαίοις διε-
πόρθμευον τραύματα. ὅμως οὐ συνεπέθετο ἄγαν τῇ ἀποδράσει
C τὸ βάρβαρον, τοῦτο μὲν δεδιότες, τοῦτο δὲ καὶ διανοούμενοι
μηχανᾶσθαί τι Ῥωμαίους καὶ προκαλύμματι ἀποδράσεως περι-

11. ὡς] nonne ἐς?

verit) si de Persis non amplius decem, servuli illorum qui supellectile castrensi circumvehenda ministrant, tum clamores edidissent, manum Persicam a tergo eius insequi iam iamque ab ea caesum iri, agmen universum periisset, atque, ut opinor, ne nuntius quidem calamitatis superfuisset: adeo magnum malum temeritas et amentia illis pepererat. ubi dies coepit, dispulsis undique tenebris vix progrediuntur, et Aphumis castello succedunt. illic probra in ducem iaciunt, et ut privatum dictis aculeatis perstringunt. Persae sensim et taciti sequebantur. quod enim terrore exagitatos nesciebant, aperto Marte cum eis ferro decernere non audebant. extremo igitur agmini inhaerentes postremos sagittis haud secus quam scopum appetebant. huiusmodi fuit Latinorum illa confusa et perturbata fuga. vulnerata est etiam telo barbarico una ducis mula lecticaria, unde derepente turbatio, fama vulgante etiam impedimenta sive supellectilem ducis ab hostibus captam esse. tela deinde haud incassum volitare, et Romanis luculenta portare vulnera, quanquam fugientibus barbari non admodum instarent, simul quod timerent, simul quod vererentur nequid Romani machinarentur vafrum-

πέττειν, ὅ τι ἂν εἴη αὐτοῖς τὸ πανούργημα. ἐπεὶ δὲ μεσοῦντος ἡλίου ἅπαντες ὡς τὸν στρατηγὸν ἐνηθροίσθησαν, ὕβρεις καὶ ἀποσκώμματα ὡς τὸν Θεόδωρον ὑπὸ τῶν στρατευμάτων συνέρρει. τῷ ὄντι γὰρ οὑτοσὶ τῆς ἐπισκοπῆς τὰς φρουρὰς ἐγκεχείριστο· ὁ δὲ ἐκδοὺς ἑαυτὸν τῇ ῥαστώνῃ κατεραθύμησε τοῦ πόνου, καὶ τὸ κακὸν ἐντεῦθεν χώραν ἐλάμβανεν. ἥλω δ' ὑπὸ τοῦ Περσικοῦ καὶ τὰ τῆς ἀποσκευῆς τῶν Ῥωμαίων, καὶ περιτυγχάνουσι Πέρσαι μεγίστῳ τινὶ ἀγαθῷ· ὁ λιμὸς γὰρ ἐξέωστο, οἷά τις τύραννος D *ἀπαραίτητος χαλεπῶς σφίσιν αὐτοῖς ἐπικείμενος. ὁ δὲ στρατηγὸς τὸν Νύμφιον ποταμὸν διενήξατο μετὰ μεγίστων κινδύνων διανύσας τὴν ἐπανάζευξιν, καὶ οὕτω λίαν αἰσχρῶς τῆς Περσικῆς ἀπηλλάττετο. τῇ δ' ὑστεραίᾳ τῇ Ἀμιδῃ προσομιλήσας πολλὴν ἀποβάλλεται δύναμιν, τοῦ Περσικοῦ τὰ νῶτα τῆς Ῥωμαίων δυνάμεως περικείροντος. ἀποκαραδοκήσας δ' ὁ στρατηγὸς ὑπὸ τὸ ὄρος τὸ Ἰζαλᾶ φρούρια ἀνεστήσατο. καὶ μὴν καὶ τὰ γεγηρακότα ἀνέρρωσε, παρειμένα τε καὶ διερρυηκότα τῷ χρόνῳ καὶ τῷ πολέμῳ, ὧν τὸ μὲν προσαγορεύεται Φαθαχών, τὸ δ' ἕτερον Ἀλαλεισός. περιέβαλέ τε φρουροὺς ἐν αὐτοῖς, τὸ Ἰζαλᾶ ὄρος ἐντεῦθεν παρακατέχειν διεγχειρῶν. μετεδίδου δὲ τῷ Ἡρακλείῳ τὸ στράτευμα, αὐτὸς δ' ὑπὸ τῆς λύπης κατακλυζόμενος ἀπόμαχος ἦν.*

10. *Ὁ δ' Ἡράκλειος τὸ ὁπλιτικὸν διατάξας κατὰ τὰ παρύπτια* P 44 *τοῦ Ἰζαλᾶ στρατοπεδεύεται. μὲν οὖν γε καὶ τοῦ ποτα-*

1. *μεσουρανοῦντος* malim.

que facinus fugae tegumento absconderent. ubi sole medium coeli tenente omnes ad ducem convenere, contumeliis et scommatis Theodorum lacerarunt, cui speculatoris munus re vera impositum fuerat. sed is otio et inertia languidus laborem ignaviae posthabuit, unde hoc malum deinde propagatum est. Persae autem sarcinas et apparatum Romanorum suo maximo bono diripuerunt: famem enim, qui velut inexorabilis quidam tyrannus eos acerbe vexabat, depulerunt. dux ad reditum incumbens et Nymphium flumen periculosissime tranans, insigni cum turpitudine sese a Persis servavit. postridie Amidam accedens multos de suis, Persis ultimum agmen carpentibus, amittit. moratus apud Izalam montem castellis prospectum ivit: nam et vetusta confirmavit, et longinquitate temporis obsidionumque iniuria luxata et soluta restituit, quorum unum Phatachon, alterum Alalisus nominatur. praesidia item imposuit, montemque de caetero illis custodiendum tradidit. praeterea exercitus partem Heraclio tradidit: ipse moestitudine obrutus ab armis vacationem sibi indixit.

10. Heraclius agmine composito per plana iuxta Izalam secundum ripas Tigridis ducit, qui fluvius a septentrionali Persidis ora erumpens

μοῦ τὰς ὄχθας τοῦ Τίγριδος, ὃς ἀπὸ τῶν ἀρκτῴων τῆς Περσικῆς τῆς βαδίσεως ἀπαρχόμενος τὴν Ῥωμαίων γῆν διαχορεύει καὶ περιπτύσσεται ἀνακολποῦταί τε καὶ περιάγεται καὶ οἷα διπλόην τινὰ τῷ ἰλίγγῳ τῆς περιτροπῆς ἀπεργάζεται. περιβάλλεται δὲ καί τι τοῦ ὄρους τοῦ Ἰζαλᾶ, καὶ τὸ ἐπιλεγόμενον Θομανῶν διανοστῶν ἀγκαλίζεται. εἶτα διεξοδεύεται ἁπαλῷ τῷ ῥείθρῳ διὰ
B τοῦ Μελαβασῶν ὄρους, καὶ ἐς τὴν μεσημβρίαν διαφοιτῶν κατευνάζεται. τὸ δὲ Μελαβασῶν ὄρος ἔφυ τῆς Μηδικῆς. μετὰ τοῦτο τὰ Καρδούχια ὄρη Ἰνδοὺς προκύπτοντα, ὡς γεωγράφοι κηρύττουσιν, ἀξιοπιστίαν ἡμῖν προβαλλόμενοι τὴν κατάληψιν. τοιγαροῦν ἀπολιπὼν τὸ Θομανῶν Ἡράκλειος εἰς τὰ μεσημβρινὰ τῆς Μηδικῆς προεχώρησε, καὶ ἅπασαν ἐκείνην τὴν γῆν παρετέμνετο. διαπορθμεύεται δὲ καὶ τὸν Τίγριν, καὶ εἰς τὸ πρόσω παρελαύνει τὸ στράτευμα, καὶ ἐνεπίμπρα τῆς Μηδικῆς ἐκείνης χώρας ὅσα ἐπίσημα. εἶτα ἐπανῆκεν ἀνὰ τὴν Ῥωμαϊκὴν πολι-
C τείαν, καὶ τὴν Θεοδοσίου περιπτύσσεται πόλιν, καὶ ἀναμίγνυται αὖθις τοῖς ἀμφὶ τὸν Φιλιππικόν. τούτων δῆτα τελεσιουργηθέντων παρὰ τὴν δόκησιν, ὁ στρατηγὸς τὴν τάφρον διέλυσε· χειμῶνος γὰρ ἤδη που ἐνεδήμει καιρός, καὶ ἡ ἐγκύκλιος τῶν χρημάτων ἐπίδοσις τῷ Ῥωμαϊκῷ ἐχεῖτο συντάγματι. ἐπεὶ δ' ἐαρίτιδες ὧραι τὴν περιχθόνιον πόαν ἐξέφυσαν, ἐδίδου ὁ στρατηγὸς τὰς μὲν δύο μοίρας τῆς Ῥωμαϊκῆς πάσης δυνάμεως Ἡρακλείῳ τῷ Ἡρακλείου πατρὶ τοῦ αὐτοκράτορος, τὸν δ' ἕτερον ἀποδασμὸν Θεοδώρῳ τῷ Ἀβδηνῷ καὶ Ἀνδρέᾳ· ἑρμηνεὺς δ' ἄρα οὑτοσὶ
D τοῦ Σαρακηνικοῦ φύλου, τοῦ ἐπικουροῦντος Ῥωμαίοις. προσέ-

9. Ἰνδοῖς fortasse, aut ἐς Ἰνδούς.

terras Romanas perlabitur, amplectitur, et per eas se insinuat, illas ambit, suaque ambage velut duplicitatem quandam efficit. partem etiam montis Izalae circuit, et castellum Thomanum, quod dicitur, reditu suo includit. deinde per Melabasum (mons est Persidis) meridionalem plagam minoribus undis influens absorbetur. post eum montes Carduchii in Indiam porrecti, ut geographi scribunt, haud absonam fidei cognitionem nobis tradentes. igitur Thomanum castellum relinquens Heraclius versus meridiem progreditur, totamque regionem devastat. transit etiam Tigrim, et ultra pergit, omniaque loca illa illustria ignibus corrumpit. post in ditionem Romanorum reversus Theodosiopolim se recipit, rursumque ad Philippicum sese aggregat. his ita praeter opinionem perfectis dux militi missionem dedit: hiems quippe ante fores iam erat, anniversariaque stipendia exercitui numerabantur. at simulac verna tempestas herbis circumquaque prata convestivit, dux tripartito divisis copiis duas partes Heraclio, tertiam Theodoro Abdeno et Andreae Saraceno-

ταττε δ' ἀπεκδρομῇ καὶ ἐφόδοις προσχρήσασθαι, καὶ κατᾶραι αὖθις τῆς Περσῶν πολιτείας. ὑπενόσει γὰρ ὁ στρατηγός, καὶ πολεμικῆς ἀγωνίας ἐφάπτεσθαι οὐχ οἷός τε ἦν.

Τούτῳ δῆτα τῷ ἐνιαυτῷ Κομεντίολος ἐπὶ τὴν Ἀγχίαλον ἧκε, συναγείρει τε τὸ στράτευμα, τούς τε ἀλκιμωτάτους τοῦ V 165
πλήθους διευκρινήσας τῆς ἀχρήστου δυνάμεως διεχώριζε. τρεῖς δὲ τάξεις συντέταχε, καὶ τρίχα ἀνὰ τοὺς βαρβάρους διέσπειρε. καὶ τοῦ μὲν δεξιοῦ λόχου ταξιαρχεῖν Μαρτίνῳ παρεκελεύετο, Κάστον δὲ λοχαγὸν τοῦ ἑτέρου κέρατος προεστήσατο· τὸ δὲ μεσαίτατον τῆς δυνάμεως ὁ στρατηγὸς ἀνελάμβανεν. ἡ δὲ πληθὺς τῆς μαχίμου δυνάμεως ἓξ χιλιάδες ἐπῆσαν· αἱ γὰρ τέτταρες διὰ κακίαν ψυχῆς ἦσαν ἀπόμαχοι, ἃς καὶ προσέταττεν ὁ στρατηγὸς μετά γε τῆς ἀποσκευῆς διὰ φυλακῆς ἔχειν τὸν λεγόμενον χάρακα. ὁ μὲν οὖν Κάστος τὸ ἑαυτοῦ ἀράμενος σύνταγμα τὰ τῆς χώρας P 45
περιενόστει λαιά, ἧκε δὲ ἐπὶ Ζαλδαπὰ ἐπί τε Αἷμον τὸ ὄρος. ἀτὰρ ἀδοκήτως τοῖς βαρβάροις ἑωθινὸς κατεπέλασεν, ἀφράκτους τε εὑρόμενος ἐνευδοκίμει τῷ δόρατι, περίδοξον δὲ ἀπεφέρετο τὸ τρόπαιον. τοῦ γὰρ πλήθους τῶν βαρβάρων ἀποδασμὸν διέφθειρε μέγιστον, καὶ οὖν λαφύροις πολλοῖς τὴν ἀριστείαν ἀνεκαλλώπιζεν, ἀποίσειν τε ὑπασπιστῇ ἐδίδου τινί, ὡς μὴ ὤφελε· τοῦτον γὰρ ἀφαιροῦνται τὴν προνομὴν ἐναθροισθέντες οἱ βάρβαροι. Μαρτῖνος δ' ἐς τὰ περὶ τὴν Νέαν πόλιν γενόμενος, ἔνθα δὴ τὸν Χαγᾶνον τό τε Ἀβαρικὸν αὐλιζόμενον ἐπεσκόπευεν. ἐλλοχῶσι B
γοῦν οἱ Ῥωμαῖοι, καὶ ἀθρόον καρτερῶς ἐπιτίθενται. καὶ ὑφα-

rum, qui Romanis suppetias venerant, interpreti tradidit, cum mandatis uti per loca Persidis hostiliter denuo grassarentur, ipse siquidem minus belle valens armis interesse non poterat.

Hoc igitur anno Comentiolus Anchialum veniens exercitum contrahit, fortissimos quosque ab imbelli et ad pugnam inutili turba probe seligit ac separat, triplicem adversus barbaros ordinem constituit. dextrum agmen Martino committit, alteri Castum praeponit, medium sibi retinet. militum bellicosorum numerus sex, inutilium bello ineptorumque quatuor millia conficiebat; quibus imperavit uti castra cum sarcinis et impedimentis custodirent. Castus cum cohortibus suis in sinistrum pergens ad Zaldapa oppidum et ad Aemum montem processit, exortoque die in barbaros inermes, nihil huiusmodi opinantes, incidens gloriam non vulgarem excellenti victoria est consecutus, quando eos partem maximam ferro concidit, et multitudine spoliorum virtuti suae decus atque ornamentum adiunxit. spolia illa utinam ne armigero cuidam suo avehenda commisisset! nam barbari facto cuneo praedam illi abstulerunt. Martinus ad urbem Neam profectus, illis locis Chaganum cum Abaris se tenere per speculatores cognoscit. parant itaque insidias Romani, repenteque vi

λός τις ἐνῆν τοῖς βαρβάροις ὁ θάνατος, ὡς ἄμπωτις ἐξαπιναίως καταρροφοῦσά πως τὸ πολέμιον. ὁ δὲ Χαγᾶνος παράδοξόν τι ἕρμαιον τὴν σωτηρίαν ηὐτύχησε, καὶ φυγῇ συνέριθος ἦν· ἐλάνθανε γὰρ νῆσος ἐν τῇ λίμνῃ, τὸν βάρβαρον διασώζουσα. ἣ γὰρ ἂν ἥλω, καὶ περίδοξον ἐγεγόνει Ῥωμαίοις ζωάγριον· μέγιστος γὰρ οὑτοσὶ καὶ ὀνομαστότατος τοῖς βαρβάροις ἐνέσκηψε κίνδυνος.
C ἦν δ' ἄρα τἀληθὲς καὶ παρὰ τῶν αὐτομολησάντων Ἀβάρων πέμπτῃ ἡμέρᾳ νοσφίσασθαι. καὶ δῆτα ἀνέζευξεν ἐξ ἑωθινοῦ ὁ Μαρτῖνος, ἔνθα τῷ στρατηγῷ τῇ προτεραίᾳ διώριστο. ὡμορρόθει δὲ καὶ Κάστος, ἐς ταὐτὸν Μαρτίνῳ γενόμενος. πλείστης τε δυνάμεως ἐδίδοσάν τε καὶ ἀντελάμβανον τῇ συντυχίᾳ παρ' ἑαυτῶν τὰ συντάγματα, ἀσυλίαν ἐχυρωτάτην εἰληχότες διὰ τὴν σύμμι-
D ξιν. (11) Κομεντίολος δὲ τὴν ὁμολογίαν ἀποπεμψάμενος τάς τε πρὸ τῆς προτεραίας συνθήκας, οὐδέν τι διεπράξατο πρὸς ἐντρέχειαν βλέπον, οὔτε ὡς τὸν Κάστον καὶ Μαρτῖνον ἀπῴχετο διὰ τὸ πλῆθος βαρβάρων ἐς νῶτα διασύρεσθαι καὶ ἐν τροπαίῳ συμπλέκεσθαι. λόγος δὲ καταιτιᾶται καὶ Ῥουστίβιον, συντάγματός τινος ἡγεμονεύοντα, τῷ στρατηγῷ ὑποτίθεσθαι ὀλιγώρως ἔχειν περὶ τὴν ἄφιξιν καὶ παραμελεῖν τῆς ἐς Μαρτῖνον καὶ Κάστον ἀντανόδου διά τε τὸ τῆς τύχης ἀσαφὲς καὶ δυσέφικτον, τήν τε βασιλέως γνώμην μὴ οὕτως ἔχειν, καὶ τηλικούτους μὴ ἐγχειρεῖν κινδύνους ἐπείγουσαν. καὶ δῆτα ἐξεδίδου ὁ στρατηγὸς Ῥουστιβίῳ τὰ ὦτα, καὶ τὸ σπουδαζόμενον τῇ ῥαθυμίᾳ ἐγίνετο.

magna in eos incurrunt. salsam nonnihil barbari mortem sentiebant, quae ut aestus quidam marinus reciprocans subito eos secum abreptos absorbebat. Chaganus fugae beneficio salutem quasi quoddam insperatum et admirabile lucrum reperit; quem parva quaedam lacus insula forte fortuna servavit. sane ingenti pretio barbaris stetisset illius liberatio, quibus neque ad memoriam insignius periculum in cervicibus fuit. et erat revera Abaris transitionem meditantibus quintum iam diem seiungi. rediit ergo mane Martinus, quo redeundum dux pridie decreverat. eodem et Castus Martino respondens revenit, mirandumque in modum virtus militum ex congressu et colloquio mutuo crevit; atque ex hoc consortio coniunctioneque velut asyli ius tutissimum firmissimumque adepti sunt. (11) Comentiolus autem nudius tertius pacta et conventa abiiciens nihil sollers et industrium egit, neque ad Castum et Martinum abiit, ut barbaros ab iis averteret et in fuga manum cum iisdem consereret. accusator vulgo Rustibius quidam e centurionibus, qui consilio suo hanc duobus illis ab hostium tergo succurrendi negligentiam duci iniecerit, quia nimirum fortuna incerta esset, et ad eam perveniri aegre posset; nec imperatorem istuc velle, qui talibus se offerre discriminibus non cogat. commodavit igitur aures Rustibio dux, socordiaeque ut ne-

Μαρτῖνος δὲ καὶ Κάστος ἐς Μαρκιανοῦ πόλιν τὸν στρατηγὸν P 46
ἥκειν πυθόμενοι παρ' αὐτὸν ἐπανήεσαν. ἡλίου δ' ὑπερχομένου
τῆς κυκλικῆς τῆς φωσφόρου δινήσεως, πανστρατιᾷ Κομεντίολος
ἐπὶ τὸν ἴδιον ἐχώρησε χάρακα, ἔνθα καὶ τοὺς ἀπολεκτοὺς τοῦ
Ῥωμαϊκοῦ κατελελοίπει στρατεύματος. μετ' ἐκεῖνο δῆτα ἐπὶ τοὺς
στενωποὺς τοῦ Αἵμου στρατοπεδεύεται, ἐπί τε τοὺς γηλόφους
καὶ τοὺς ἐφ' ὕψους αὐλῶνας ἀνάγοντας. Σαβουλὲν δὲ Μανά-
λιον ὁ τόπος ὠνόμασται ἐπιχωρίῳ προσηγορίᾳ τινί. ἀλλὰ φέρε V 166
τοῦτον ὑπογράψωμεν τῷ λόγῳ καὶ φραστικῇ τινὶ δυνάμει διαμορ-
φοῦν ἐγχειρήσωμεν. χῶρος δ' οὗτος πάγκαλος καὶ μετέωρος,
ἀνὰ τὸ τοῦ ὄρους μεσαίτατον ὕπτιος τὴν θέσιν, πεδίον καθειμέ- B
νον, ἀνθοφόροις προσαυλαῖς ἅπαν κατάκομον. λειμῶνες δὲ τού-
τῳ χλοάζοντες, ὀφθαλμῶν ἑορτὴ καὶ ἑστίασις. διατριβαὶ δὲ
αὐτῷ κατάσκιοι, τῷ λασίῳ τῆς ὕλης τὸν ἐπιβάτην ἐγκρύπτουσαι,
καὶ πολλὴν ἀλέαν μεσημβρίας ὥρᾳ τοῖς ἐντυγχάνουσιν ἀποτί-
κτουσαι, ὁπότε ταῖς ἡλιακαῖς ἀκτῖσι καὶ τὰ τῆς γῆς ἐνδόμυχα
κατηθάλωται. καὶ ἔστιν ὁρᾶν μὲν ἡδύ, εἰπεῖν δ' οὐ ῥᾴδιον.
περιρρεῖ δὲ τὸν τόπον ὑδάτων ἀφθονία, μήτε τὸν πίνοντα παρα-
λυποῦσα ταῖς ὑπερβολαῖς τῆς ψυχρότητος, μήτε τὸν ψυχάζοντα
ἀποκναίουσα, διὰ τὸ τῆς ὁμιλίας ὡς ἔπος εἰπεῖν μαλθακώτερον.
ξεναγωγοῦσί τε ὄρνιθες τοὺς θεατὰς τοῖς μέλεσι μουσικώτερον, C
ἐν τοῖς νεοβλάστοις τῶν δένδρων ὀχούμενοι. ᾄδουσί τε αὐτοῖς
νηπενθές τ' ἄχολόν τε, κακῶν ἐπίληθον ἁπάντων, καὶ πολλὴν

7. *ἀνάγονται* IP.

gotio gravi ac serio studebatur. Martinus et Castus ubi ducem Martianopolim concessisse acceperunt, ad eum abiere. sole iam caput proferente, Comentiolus cum totis copiis ad castra, ubi reiectitios illos de Romano exercitu reliquerat, se recepit. deinde ad angustias Aemi proficiscens colles et in sublimi valles petit. locus ab indigenis Sabuleu Manalion appellatur, quem age describamus et orationis facultate informare instituamus. locus hic longe pulcerrimus et excelsus usque ad medium montis positione resupinus est. campus subiectus tanquam floriferis vestibulis totus comans. in eo item prata virentia festum diem, convivium quoddam oculis praebent. visuntur illic umbrosa tabernacula ex densitate arborum; quibus qui ascendunt occultantur, multusque ibi meridiano tempore calor sentitur, quando radiis solaribus etiam abdita terrarum aestuant. et est res iucunda visu, difficilis explicatu. circumfluit aquarum copia, quae neque bibentem nimio frigore molestia, neque frigus captantem propter mollius, ut ita dixerim, consortium taedio afficit. Praeterea aviculae, arborum ramis fronde nova pubescentibus sustentatae, spectatores cantibus suis hospitio musico accipiunt. cantant porro illis absque luctu et ira, malorum oblivionem omnium inducens,

τὴν ἀλυπίαν τοῖς ὁδίταις ταῖς ᾠδαῖς παραπέμπουσιν. ὅ τε κιττὸς καὶ ἡ μυρρίνη καὶ ἡ σμῖλαξ μετὰ τῶν ἄλλων ἁπάντων ἀνθῶν καλλίστῃ τινὶ συμφωνίᾳ τρυφὴν ἄϋλόν τινα ταῖς ὀσμαῖς τελεσφοροῦσι κομιδῇ ἀφθονώτατα, καὶ καταπλουτοῦσι ταῖς εὐωδίαις τὸν ἐνδημήσαντα, ὥσπερ τινὶ φιλοξενίας ἀρίστῳ θεσμῷ παρασκευὴν θυμηδίας τινὰ ταῖς φοιτηταῖς προφερόμενοι. ἔνθα δὴ τῇ προτεραίᾳ, ἅμα τῇ ὑστεραίᾳ τὸ στρατόπεδον προσέταττεν ὁ στρατηγὸς ἐναυλίζεσθαι. περὶ τὴν ξυλίνην δὲ γέφυραν τοῦ γείτονος
D ποταμοῦ ἀνιχνεύειν τὸ Ἀβαρικὸν ἐξ ἑωθινοῦ λοχίτῃ γε ὄντι Μαρτίνῳ ὁ στρατηγὸς ἐγκελεύεται, ἐπισκοπεῖν τε εἴγε διεπεραιώθη τὸν ῥοῦν τὸ πολέμιον, Κάστον δὲ κατὰ τὴν λιθίνην διάβασιν ἀνερευνᾶσθαι τὰ τῶν πολεμίων κινήματα, πῶς τε ἔχουσι γνώμης, καὶ πρὸς τὸ ἀντιπέρας εἴγε στρατοπεδεύοιντο. ἀλλ' ἐπεὶ Μαρτῖνος ἐτεθέατο διαπεραιοῦσθαι τὸν ῥοῦν ὅσον οὔπω τὸ πολέμιον μέλλον, παλίνορσος οἷα ἐπανῆκε, καὶ συνείρει τοῖς ἀμφὶ τὸν Κομεντίολον στρατεύμασιν. ὁ δὲ Κάστος ὑπεκβαίνων τόν τε ποταμὸν διεπεραιώσατο, καὶ εἰς τὸ πέραν ἀφικόμενος συγγίνεται τοῖς προθέουσι τῶν ἀντιπάλων, καὶ ῥωμαλεώτερον ἅπαντας τῷ ἀκινάκῃ διώλεσε. δράσας δὲ τὰ τοιαῦτα οὐχ οἷός τε ἦν τὴν παροῦσαν εὐπραγίαν διαφυλάξασθαι σκαιοῦ τινὸς δαίμονος ὑποθή-
P 47 καις. οὐκ ἀνέζευξε γὰρ ἐπὶ τὸν Κομεντίολον, ἀλλ' ἐπὶ τὴν ξυλίνην ἀποιχόμενος γέφυραν συμπαρομαρτεῖν ἐπειρᾶτο Μαρτίνῳ. ἐπεὶ δὲ διηστύχησε τοῦ βουλήματος, ἡλίου δυομένου ἐπαννύχιζε κατὰ τὸν χῶρον. τῇ δ' ἐπιούσῃ διενυκτέρευε τὸ πολέμιον, καὶ

viatoribusque cantibus illis moerorem magnopere minuunt et abstergunt. hederaque, myrtus et smilax, cum omni florum genere, concordia quadam pulcerrima delicias quasdam incorporeas quam uberrime odoratui perfecte praestant; et odorum suavitatibus praesentem ditant, advenis velut optima hospitalitatis lege apparatum quendam iucunditatis offerentes. hic igitur exercitum pridie postridieque dux habere stationem iussit, et Martino manipulario negotium dedit ut iuxta pontem ligneum vicini fluminis Abaros a mane usque indagaret, speculareturque ecquid flumen transiissent. Casto praecepit ut terrestri via hostium vestigia motusque, et quid in animo haberent, et num ex adverso constitissent, scrutaretur. Martinus postquam hostes iamiam fluvium transituros animadvertit, celeri pede retrogressus ad Comentiolum et exercitum rem defert. Castus vero deflectens flumen transmittit, et in ripa ulteriore inito cum praecurrentibus hostium certamine robustis viribus omnes mactat. ea re confecta felicitatem oblatam sustinere non poterat, alicuius mali daemonis instinctu: nec enim ad Comentiolum regressus est, verum ad pontem ligneum abiens cum Martino se coniungere conabatur. quo proposito lapsus, cum sol iam occidisset, noctem eo in loco totam transegit. hostes nocte exacta per pontem ligneum in adversam ripam trans-

*διὰ τῆς ξυλίνης γεφύρας εἰς τὸ πέραν διεπορθμεύετο. οὐ γὰρ
οἷόν τε ἦν ἄλλως διαπεραιοῦσθαι τὸ ῥεῖθρον· ἀγχιβαθὴς γὰρ ὁ
ποταμὸς ἐπεφύκει, πελαγίζων τε τῷ ῥοθίῳ τοὺς ἐπιβαίνοντας
τῆς πορείας ἀπεῖργε. συννεύοντος δὲ καὶ Κάστου ὡς τὰ οἴκοι,
καὶ ἀνταναγομένου ἐπὶ τὸ στρατόπεδον, ἀντιμέτωπον τὸ δυσμε-
νὲς συνεκύρησε πλῆθος, καὶ δυσάντητον ἦν τὸ κακὸν καὶ σοφί-
σματος ἄμοιρον. (12) ἀτὰρ ἱδρὼς περιέρρει τῷ Κάστῳ, ἀπο-* B
*ρίᾳ δὲ τὴν ψυχὴν κατεβάλλετο, ὠρρώδει τε καὶ ἐδεδίει, καὶ ἐς
μέγα κακοῦ τὰ τῆς συμφορᾶς εἶχε τὴν πρόοδον. περισχίζεται δὲ
παραυτίκα τὸ σύνταγμα, καὶ ἄλλος ἄλλῃ, ᾧς εἶχε δειλίας, ἐτρά-
πετο. καὶ οἷα πτῶκές τινες ἢ νεβροὶ κυνηγέτου ἐπιβουλαῖς παρω-
θούμενοι πρὸς τὰ τέμπη παρεκρύπτοντο, ἐγκεκορδυλημένοι τοῖς
ἄλσεσιν. ἁλόντες δέ τινες τοῦ Ῥωμαϊκοῦ ὑπὸ τῶν Ἀβάρων ἀνή-* V 167
κεστά τε ᾐκίζοντο καὶ ἄλλας ἄλλοτε στρεβλώσεων ἐπινοίας ὑπέ- C
*μενον. ἠπειλεῖτο δ' αὐτοῖς καὶ τρόπος θανάτου πικρώτατος,
εἰ μὴ τὸν Κάστον ὅπῃ καὶ τύχοι τραπέντα παραδηλώσωσι. τοι-
γαροῦν καθομολογοῦνται, δακτυλοδεικτοῦσί τε τὸν Κάστον οἷά
πως ἐπιφυλλίδα τινὰ ἐν μέσῳ τῆς ὕλης ἀποκρυπτόμενον. καὶ
οὖν ἐζωγρεῖτο ὁ ταξίαρχος, καὶ λιπαρόν τι κύρμα τοῖς πολεμίοις
ἐγίνετο. ἀλλὰ καὶ πλείστη ἀπόμοιρα τοῦ στρατεύματος ἅμα τῷ
Κάστῳ ὑπὸ τῶν δυσμενῶν συνεσφίγγετο.*

*Ὁ δὲ πόλεμος ἐπίδοσιν μᾶλλον ἐλάμβανε καὶ πρὸς τὸ λα-
βρότερον ἐξεκαίετο. ὁ γὰρ Χαγᾶνος ὥσπερ ἀπό τινος ἀφετηρίας* D
κακῶν ἐπαφίησι στρατιὰν πολλήν, ὅπως τὴν Θρᾴκην διατέμηται

eunt: aliter quippe non dabatur, quod iam profundius flumen et tumidum fluctibus transitum negaret. domum autem Casto respiciente, et ad castra parante reditum, a fronte hostium numerus illi occurrit, nec iam praesenti discrimini obviam ire ingenio aliquo licebat. (12) caeterum Castus sudore diffluebat, et quo se verteret nesciens animo concidebat, timebatque et pavebat: ad malum ingens spectabat calamitas. extemplo tota acies dissipatur, et alius alio, ut quemque metus hortabatur, diffugiunt; nec secus quam lepores aut hinnuli, venatorum exercitii insidiis, per silvas se occultant et nemorum saltibus delitescunt. capti quidam indignissime verberantur, et alias aliis cruciatibus tum primum excogitatis subiiciuntur, cum minis acerbissimae mortis, ni ubi Castus fugitivus deliteat enuntiarint. enuntiant, Castumque, velut racemum sub folio vitis, in media silva absconditum digito intento produnt. ducitur captivus, fitque praeda hostibus non vulgaris. plurima insuper eius agminis pars cum eo comprehenditur.

νει τὴν πρόοδον, καὶ πρὸς τῇ σκηνῇ τοῦ στρατηγοῦ τὰ πλήθη
συρρέουσιν, ἃ μὲν λίθους ἐπιφερόμενα, ἃ δὲ καὶ ξίφη, ὡς
ἑκάστῳ καθυπούργησεν ὁ καιρός. τοῦ δὲ ταράχου ὁ στρατηγὸς

lis et imperii honore par, Christus, inquam, humanum genus sibi reconciliavit, solemni caerimonia recolere Romani consueverunt. sic namque secum ratiocinabatur, non esse iustum se resurrectioni sacratum diem in urbe anniversarium agere, Romanos in campo foris, velut urbana laetitia exclusos, tristiores ducere ferias videri. quocirca episcopum assumens Monocartum ire perrexit. caeterum Germanus Priscum antecedens exercitui super eius adventu nuntium apportat. post biduum itaque cohortium praefecti, quin immo milites omnes, ad tertium fere lapidem duci obviam e castris prodeunt. porro castrensis quaedam consuetudo vigebat, eaque vetus et laudabilis, ut qui ad exercitum regendum adveniret, occurrentibus sibi honoris causa militibus equo descendens armatorum medius graderetur totumque exercitum comiter salutaret. quod cum Priscus facere omitteret et morem hunc plane contemneret, ea contumelia apud milites graviter offendit. ac primo quidem festorum solemnium die in pace fuit. tertio elapso, cum iam de demensi seu victus diminutione constaret inter omnes, contumacia et licentia adversus ducem magis amplificata, ad tentorium eius turmatim ruunt, pars lapides iactantes, pars gladios distringentes, ut cuique telum occasio ministrabat. dux fremitum ac tumultum auribus accipit: quid sibi istuc velit percunctatur. illis ad interrogata nihil respondentibus, nisi hoc

αὐτήκοος γέγονε καὶ τὴν αἰτίαν διεπυνθάνετο. τῶν δὲ πρὸς τὴν
πεῦσιν μηδὲν ἀποκρινομένων αὐτῷ πλὴν ἢ "ἀνατέτραπται πάσης
τάξεως ἁρμονία, τοῦ στρατοπέδου ἀνηγεμονεύτου τυγχάνοντος,"
ἱδρῶτι περιερρεῖτο ὁ πολέμαρχος Πρίσκος καὶ φόβῳ πολλῷ συνε-
στέλλετο, διαπορουμένης αὐτῷ τῆς ψυχῆς ὅ τι καὶ δράσειεν.
P 63 τῷ μὲν οὖν Ἑλιφρέδᾳ τὸ θεανδρικὸν ἴνδαλμα παραγυμνώσας
V 178 ἐδίδου (ἀχειροποίητον δὲ τοῦτο Ῥωμαῖοι κατονομάζουσι), περι-
νοστεῖν προστάξας τὸ στράτευμα, ὅπως αἰδοῖ τοῦ σεβάσματος
ταπεινωθείη μὲν ὁ θυμός, τὰ δὲ τῆς ἀκοσμίας πρὸς τὸ σῶφρον
τὴν μεταβολὴν ἀπενέγκοιτο. τοῦ δὲ πλήθους μηδὲν ἐντεῦθεν
σωφρονιζομένου, ἀλλὰ καὶ βάλλοντος τὸ ἀπόρρητον λίθοις, εἰ-
κότως ὁ στρατηγός, ἵππῳ τινὸς τῶν σωματοφυλάκων τοῦ βασι-
λέως περιτυχών, πρὸς φυγὴν ἐκδοὺς ἑαυτὸν παραδόξῳ σωτηρίᾳ
τινὶ τὸν κίνδυνον παρεκρούσατο. ἱπποφορβοῖς τοιγαροῦν προσο-
B μιλεῖ τοῖς τὰς ἵππους τὰς στρατιωτικὰς περιβόσκουσι. κἀκεί-
νων μετὰ μεγίστων κινδύνων τὰς χεῖρας διαφυγὼν τῆς Κωνσταν-
τίνης πόλεως ἐπιβαίνει πυλῶν, ἄρτι τὰς διατριβὰς τοῦ Μονο-
κάρτου ἀπολιπών. συνεκδημεῖ τοιγαροῦν μετὰ τοῦ στρατηγοῦ
τῇ πόλει καὶ θόρυβος. οἱ μὲν οὖν τῆς Κωνσταντίνης οἰκήτορες
ἐπὶ τοῖς γεγονόσιν ἐκπεπληγμένοι τὰς ψυχὰς διετέλουν· ὁ δὲ
στρατηγὸς τοῖς ἡγεμόσι τῶν πόλεων τοῖς τε τῶν φρουρίων ἐφε-
στηκόσι δι' ἐπιστολέων ἐνεχάραττε γράμματα, μηδὲν τῶν συνη-
θῶν ἀποστερεῖν τὰ στρατεύματα, μήτε δὲ καταπλαγῆναι τὰς
ψυχὰς τῇ ἀθρόᾳ τῶν γεγενημένων παρόδῳ. ἐζήτει δὲ καὶ ἰατροῦ

12. ἵππον IP.

unum, omnis ordinis quasi concentum quendam nunc perisse, cum exercitus imperatore careat, Prisco sudor ire per corpus et artus occupare tremor coepit, animo haesitanti quid ageret. ergo Iliphredae dei atque hominis effigiem, quam ἀχειροποίητον (hoc est, non mortali manu confectam) Romani appellant, involucro nudatam per castra circumferendam committit; quo ad aspectum rei adorandae excitata reverentia furorem comprimeret, et in modestiam quietemque rerum perturbatio transiret. verum enimvero, cum multitudo nihilo hinc modestior saniorque evaderet, quin potius sacrosanctam imaginem lapidibus appeteret, dux equum cuiusdam e satellitibus imperatoris nactus haud immerito sese in fugam tradidit, periculumque capitis praeter opinionem depulit: nam et cum pastoribus equariis, militum equos circum ea loca pascentibus, congressus eorum manus non citra summum discrimen effugit. iamque Monocarto relicto Constantinam urbem petivit, in quam urbem fama ducem ipsum comitata est, ac cives quidem Constantinae stupere super his quae contigisse audiebant, dux vero urbium castellorumque praefectis per amanuenses scribere, praecipereque ne quid de consueto demenso

τέχνην ἐπιφανεῖσαν αὐτῷ φάρμακα τοῖς περὶ τὴν γαστροκνήμην C *ἕλκεσιν ἐπιτίθεσθαι, ἐδεινοπάθει γὰρ ἐπὶ τοῖς μώλωψιν, οὓς αὐτῷ ἡ τῶν λίθων φορὰ διενείματο.*

2. *Τὰ μὲν οὖν τῆς στάσεως τῷ στρατοπέδῳ διεμηνύετο. περισχίζεται γὰρ τὸ τοῦ στρατηγοῦ σκηνοπήγιον, λωποδυτεῖται* D *δὲ παρὰ τοῦ πλήθους καὶ τὰ τῆς περιουσίας ὁ Πρίσκος, ἀποδιδράσκουσι δὲ καὶ οἱ τῶν συνταγμάτων ἡγεμονεύοντες, καὶ ἐς μέγα κακοῦ τὰ τῆς ἀναρχίας ηὐξάνετο. μετ' οὐ πολὺ δὲ τὸν τῆς Κωνσταντίνης πρόεδρον ὁ στρατηγὸς εἰς τὸ στρατόπεδον πρεσβευτὴν διεπέμπετο, κατισχυριζόμενον τὰ τῆς στρατιωτικῆς λύπης παρηγορεῖν, καὶ ὡς μετέθετο τὴν γνώμην ὁ αὐτοκράτωρ Μαυρίκιος, καὶ βασιλικὸν ἐπιφέρεται γράμμα ἐγκελευόμενον ἀναζευγνύναι πρὸς τὸ σύνηθες τὰς στρατιωτικὰς ἐπιδόσεις. ἐπεμέμφετο δὲ Φιλιππικῷ Πρίσκος ὁ στρατηγός, καὶ τῆς ἀταξίας αὐτὸν διεθρύλλει γεγονέναι πατέρα ὡς εἰσηγητὴν τῆς μειώσεως τῶν στρατιωτικῶν ἐπιδόσεων Μαυρικίῳ γενόμενον. ταῦτα δ' εἰκῇ διερραψῴδει ὁ Πρίσκος. ὁ μὲν οὖν ἱερεὺς ὁ πρέσβυς ὡδοιπόρει καθὼς προσετέτακτο· τὰ δὲ στρατεύματα συναθροίζεται, καὶ στρατηγὸν χειροτονεῖν ἐδοκίμαζε. διά τοι τοῦτο μετάκλητον τὸν* P 64 *Γερμανὸν ποιησάμενοι, καὶ εἰσαγώγιμον εἰς τὸ βουλευτήριον ἐνεγκάμενοι, ἠξίουν ἐγχειρίζειν αὐτῷ τὰς στρατηγίδας ἡνίας. τοῦ δ' ἀποπεμπομένου τὴν τοῦ στρατοπέδου ἀξίωσιν, τῶν δὲ καταναγκαζόντων αὐτὸν ἔσεσθαι περὶ τὴν χειροτονίαν πειθήνιον, καὶ προσαπειλούντων καὶ θάνατον τῆς παρακοῆς εἶναι τὸ διαζήμιον, νικῶσι τὰ τῶν στρατευμάτων βουλεύματα, καὶ στρατηγὸς Γερ-*

exercitui demerent, neve percellerentur, si crebrius quae facta essent audirent. quaerebat etiam medicum, a quo cataplasmatis tibiae dolor et vibices lividae lapidum iactu sibi impositae curarentur.

2. Seditio militaris augescit, tentorium ducis dilaceratur, supellex in praedam concedit, duces quoque aufugiunt, et quod caput nullum esset, id maiori semper malo erat. non multo post dux antistitem Constantinae in castra legat, lenire studens militum aegritudinem, quod scilicet sententiam mutasset imperator, a quo litteras afferret, a quibus mandaretur uti annonaria erogatio in pristinum revocaretur. accusans autem Philippicum Priscus auctorem eum tumultus fuisse iactabat, ut qui Mauricio demensi contrahendi consilium dedisset. sed haec ille temere fabulabatur. antistes igitur iuxta atque imperabatur inibat iter, et exercitui in unum coeunti creandum esse ducem videbatur. quare Germanum accersunt, in concilium introducunt, militaris imperii summam ei permittere aequum bonumque censent. Germanus exercitus petitionem repudiat. illi obedientiam in oblata dignitate amplectenda urgent, et ni obediat, mortem pro poena intentant. quid multa? vincit eorum deliberata sententia, et Germanus praeconis voce dux promulga-

μανὸς ἀνακηρύττεται, ὅρκῳ περιφράξας τὰ τοῦ συνοίσοντος, ὡς
B ἀπέχονται Ῥωμαῖοι τοῦ λωποδυτεῖν τὸ ὑπήκοον τῆς ἀταξίας ἐκποδὼν γινομένης. διωμολόγητο δὲ καὶ καταπολεμεῖν αὐτοὺς τὸ ἀντίπαλον. καὶ ταύταις ὁ στρατηγὸς ταῖς συνθήκαις περιφραξάμενος οἷα θώραξιν ἀκαταγωνίστοις τισὶν ἡγεμονεύειν Ῥωμαίων ἠσμένισε. γίνεται γοῦν ὁ ἱερεὺς ὁ πρέσβυς πρὸς τὸν στρατηγὸν καὶ τὸ στρατόπεδον. ὁ μὲν οὖν παρεκάλει τὸ στράτευμα πρὸς σωφροσύνην ἰδεῖν· οἱ δ' ἀπηχθάνοντο τῷ ἱερεῖ, καὶ τοὺς λόγους τοῖς ὠσὶν οὐ παρεδέχοντο, ἀλλ' οἷα βάρβαρον ὄψιν ἐξενηλάτουν
V 179 τὰ παρὰ τοῦ πρέσβεως αὐτοῦ εἰσηγούμενα. παρενεγγύων δὲ καὶ τὸν Πρίσκον ἐξωθῆσαι τῆς πόλεως. οἱ μὲν οὖν τοὺς βασιλικοὺς ἀνδριάντας καταρρίπτειν ἐνεχείρησαν· ὃ δὴ καὶ γέγονεν. ἀφα-
C νίζουσι δὲ καὶ τὰ διὰ τῆς γραφῆς ἀναθήματα, ἅπερ σανίσι καὶ πίναξιν εἰς βασιλέως τιμὴν χρωματουργίᾳ συνετάττοντο τεχνικῇ· μηδὲ γὰρ ἀνέχεσθαι ἔφασκον ὑπὸ βασιλέα παλιγκάπηλον εἶναι. ὁ δὲ πρόεδρος τῆς Κωνσταντίνης κατάδηλα ταῦτα ἐποιήσατο Πρίσκῳ. τοίνυν ὁ Πρίσκος καὶ τὸν τῆς Ἐδέσσης τοῦ ἱερατικοῦ ἐξηγούμενον πρεσβευτὴν ἀπέστελλε τοῖς στρατεύμασιν. ἀτὰρ ὁ ἱερεὺς γενόμενος πρὸς τὸ στράτευμα καὶ πολλοὺς λόγους καταβαλόμενος ἀνεπιτεύκτως τὴν ἐπανάζευξιν ἐποιήσατο. τὰ δ' ἐκ τῆς
D ἀταξίας δεινὰ τῇ ἀνατολῇ ἐπεκύμαινε, καὶ πάντῃ κακὸν κακῷ ἐπεστήρικτο, ἵνα καὶ ποιητικῆς συμφορᾶς μνήμην ποιήσωμαι, τῶν μὲν τὰς περιουσίας ἀποβαλλομένων, ἄλλων περὶ τὰς ὁδοὺς

12. ἀνδριάντων IP.

tur, cum prius communem utilitatem iureiurando exacto confirmasset, ut Romani seditione ac turbis e medio sublatis, diripiendis ac spoliandis subditis vim minime facerent. pactus etiam cum illis est uti hostes oppugnarent. haec ubi pactis tanquam loricis quibusdam inexpugnabilibus communivit, ad gubernacula promptus accessit. venit itaque ad ducem et exercitum legatus episcopus; rogat milites, considerent quid modestia moderatioque postulent. illi succensere, auribus dicta respuere, et quae consuleret, veluti nova et peregrina repellere. hortabantur insuper uti Priscum urbe Constantina exigeret. et ipsi quidem statuas imperatoris deturbare non sunt veriti. praeterea in honorem imperatoris coloribus et arte pictas tabellas sustulerunt, quod se imperatori cauponi servire nolle affirmarent. antistes Constantinae haec ad Priscum refert: Priscus Edessae praesulem ad exercitum rursus legat; qui multo sermone frustra consumpto rediit. iam vero ex huiuscemodi confusione tumultuque exortae calamitates Orientem ceu fluctus quidam pervadebant, et ubique malum superveniente malo vires et robur acquirebat, ut et a poeta descriptae calamitatis mentionem faciam, cum alii rem familiarem amitterent,

ληστρικώτερον βιαζομένων, ἑτέρων ἐν τοῖς ἀγροῖς ληϊζομένων, τῆς τυραννίδος κομώσης καὶ παρεχομένης τοῖς ἀδικήμασι τὸ ἀνέγκλητον. ὁ μὲν οὖν Πρίσκος γράμμασι ταῦτα κατάδηλα Μαυρικίῳ ἐποιήσατο τῷ αὐτοκράτορι, (3) ὁ δὲ βασιλεὺς τὸν Φιλιππικὸν αὖθις ἐπιβαίνειν τῆς ἀνατολῆς ἐγκελεύεται. ἐπικηρυκεύονται τοιγαροῦν οἱ τῶν στρατευμάτων τὸν Πρίσκον τῆς Ἐδέσσης P 65 ὑπεξελθεῖν, πέντε καὶ τεσσαράκοντα τὸν ἀριθμὸν χειροτονήσαντες πρεσβευτάς. γίνονται γοῦν οὗτοι ἐν Ἐδέσσῃ τῇ πόλει παρὰ τὸν Πρίσκον, καὶ διαπορθμεύουσιν αὐτῷ τὴν τῶν στρατοπέδων προαίρεσιν. ὁ μὲν οὖν Πρίσκος πλεῖστα ἀπελελόγητο, καὶ πείθει τοὺς ἀπεσταλμένους ὡς οὐκ ἐν ἀδίκῳ μοίρᾳ γέγονεν αὐτῷ τὰ ἐπίχειρα. οἱ μὲν οὖν ἐπηγγείλαντο τῷ Πρίσκῳ ὑπομαραίνειν τῶν στρατιωτῶν τὰς μαινόλεις τῆς ὀργῆς φρυκτωρίας· ὁ δὲ Πρίσκος κεχηνὼς ταῖς ἐλπίσι πρὸς τῇ Ἐδέσσῃ τὰς διατριβὰς ἐπεποίητο. καὶ δῆτα ἀφίκοντο οἱ πρεσβευταὶ πρὸς τὸν χάρακα, καὶ τὰς ἀπο- B λογίας διεξῄεσαν Πρίσκου, ἐνεχείρουν δὲ καὶ τιθασσεύειν τὰ νεώτερα τῆς τυραννίδος σκιρτήματα. ὃ καὶ πρὸς κορυφαῖον αὐτοὺς ἀπῃώρησε κίνδυνον· μόλις γὰρ τὸν θάνατον ἀποκλίνουσι, τὸ ἰδιωτεύειν κατακριθέντες· τοῦτο γὰρ τὰ τῆς ὀργῆς ἐδογμάτιζεν. ἐκ τοῦ χάρακος τοίνυν ἐκβάλλονται, καὶ τοιούτοις δεινοῖς τὰ περὶ τοὺς πρεσβευτὰς ἐπεπέραστο. καταστρατοπεδεύουσι τοιγαροῦν οἱ τῆς ἀταξίας ἡγεμονεύοντες κατὰ Πρίσκου, καὶ πέντε χιλιάδας συντεταχότες μαχίμου δυνάμεως ἐπὶ τὴν Ἔδεσσαν ἀποστέλλουσι. C κατ' ἐκεῖνον γοῦν τὸν καιρὸν γίνεται Θεόδωρος περὶ τὴν Ἔδεσσαν, τὴν Φιλιππικοῦ ἄφιξιν ὑπισχνούμενος. διά τοι τοῦτο ἀπολιπὼν

alii in itineribus per vim et latrocinia spoliarentur, quorundam ab agris pecora et fruges raperentur, tyrannide eo usque luxuriante, ut qui iniuriarum agere auderet, inveniretur nemo; super quibus Mauricium imperatorem Priscus per litteras certiorem fecit. (3) imperator Philippicum rursus in Orientem proficisci iubet. exercitus igitur per quinque et quadraginta legatos Priscum monet uti se Edessa subducat. hi Edessam ingressi militum ei voluntatem denuntiant. Priscus sui defendendi affert plurima, legatisque persuadet secum iniuste agi. tum illi promittunt se ira et furore ardentes militum animos nonnihil sedaturos. qua spe nixus apud Edessenos moras trahit. legati in castra reversi responsionem Prisci exponunt, ferociores illorum spiritus temperare conantur; quod eos summum in discrimen adduxit: nam cum vix interitum effugissent, capite diminuti sunt, ad vitam privatam condemnati. huius supplicii irrogandi magistra ipsis iracundia fuit. e castris igitur eiecti hunc calamitatis suae exitum tulerunt. principes seditiosorum Priscum bello appetendum rati, quinque egregiorum militum millia instruunt, quos Edessam mittunt. quo tempore Theodorus Edessam veniens de Philippici adventu

ὁ Πρίσκος τὴν Ἔδεσσαν γίνεται ἐς Βυζάντιον. οἱ δὲ περὶ τὸν χάρακα Ῥωμαῖοι ἔτι τῇ ἀταξίᾳ τε περιεπλέκοντο, τὸν Φιλιππικὸν ὅσον οὔπω ἐπιβαίνειν τοῦ Μονοκάρτου αἰσθόμενοι, ὅρκους τε διέθεντο μηδὲ τῆς ἐκείνου στρατιαρχίας ἀνέχεσθαι. τὸ δὲ Περ- D σικὸν ταῖς Ῥωμαϊκαῖς συμφοραῖς ἐντρυφῶν, τῇ Ῥωμαίων πολιτείᾳ περιεκέχυτο καὶ τῇ Κωνσταντίνῃ προσέβαλλε· καὶ διπλοῦς ταῖς πόλεσιν ὑπῆρχεν ὁ πόλεμος, ἔκ τε τῶν οἰκειοτάτων καὶ τῶν πολεμίων ἐκτρεφόμενός τε καὶ λιπαινόμενος. καὶ οὖν τὸ τῶν Ῥωμαίων συνάθροισμα ἀπόμαχον διετέλει, οὐδὲν μέλον αὐτῷ, ὡς περὶ ἀλλοτρίων τοῦ πράγματος τῶν γινομένων τὴν φροντίδα τιθέμενον. Γερμανὸς δὲ χιλιάδα ἐκ τῆς μαχίμου καθοπλίσας δυνάμεως, τῇ Κωνσταντίνῃ ἀθρόως ἐπιφανεὶς τῶν προσδοκίμων αὐτῇ κακῶν ἠλευθέρωσε. μόλις δὲ παραθήγων ὁ στρατηγὸς τὰ Ῥωμαίων συντάγματα καὶ παροτρύνας τοῖς ῥήμασι χιλιάδας τέτταρας συναθροίζει, καὶ τοῖς Περσικοῖς ἐνδημεῖν ἐγκελεύεται. ὁ δ' Ἀριστόβουλος (ἦν δ' ἄρα οὗτος τῆς βασιλικῆς οἰκίας προεστὼς τοῦ βασιλέως τοῦ Ἀντιόχου προσαγορευομένης) τοῖς στρατεύμασιν ἐπίδημος ἦν ὑπὸ τοῦ αὐτοκράτορος ἐκπεμφθείς. οὗτος πῇ μὲν τοῖς δώροις πῇ δὲ τοῖς λόγοις ὑπομαλάττει τὸ τῆς τυραννίδος P 66 V 180 ἀτίθασσον. (4) στρατοπεδεύεται γοῦν τὸ Ῥωμαϊκὸν ἐπὶ τὴν Μαρτυρόπολιν, πρὸς τὸ εἰρηναῖον μεταβαλόμενον. ἀπόμοιρα δέ τις τῶν στρατοπέδων τῇ Περσίδι πάλιν εἰσβάλλει. ὁ μὲν οὖν Μαρουζᾶς ὁ τοῦ Περσικοῦ στρατηγὸς ἐπιφανεὶς κωλύμην τῆς ἐπιστασίας Ῥωμαίοις παρείχετο. ἐπανέζευξαν τοιγαροῦν

nuntium perfert. quamobrem Priscus Edessa relicta Byzantium petit. qui in castris erant Romani et Philippicum Monocartum brevi venturum intelligebant, adhuc adversus eum tumultuari, et sacramento inter se fidem astringere eius imperium minime toleraturos. Persae ex Romanorum miseriis voluptatem capientes ditionem Romanam praedando divexant et Constantinam adoriuntur; habebantque urbes bellum duplex, quod illud et maxime domestici et hostes externi alerent et (ut ita loquar) saginarent. caeterum Romanae cohortes solutae curis, et quae gerebantur, non secus atque aliena et ad se nihil pertinentia intuentes, ab armis feriabantur. Germanus mille assumptis, et apud Constantinam de improviso conspectus, malis, quorum erat in metu, eam liberat. qui cohortando et impellendo vix tandem quatuor millia collegit, et in Persidem tendere iussit. at Aristobulus, domus regiae quae Antiochi appellatur procurator, ab imperatore ad exercitum missus, qua muneribus qua verbis, duros et implacabiles animos aliquantum emollivit. (4) Romanus itaque exercitus pacem complexus Martyropolim abit. pars in Persidem iterum irrumpit. Maruzas Persicarum copiarum imperator se obiiciens urbis aditu eos excludit. hinc per Arzanenam regionem et

οἱ Ῥωμαῖοι διὰ τῆς Ἀρζανηνῆς καὶ τοῦ Νυμφίου ποταμοῦ πρὸς
τὰ οἴκοι· συνείπετο δὲ καὶ Μαρουζᾶς τοῖς Ῥωμαίοις κατόπιν.
συνέρρευσε τοιγαροῦν τὸ Ῥωμαϊκὸν ὁμοῦ καὶ τὸ ἀντίθετον βάρ-
βαρον περὶ τὴν Μαρτύρων πόλιν, καὶ γίνεται Ῥωμαίοις καὶ Πέρ- B
σαις ἐπιφανέστατος πόλεμος. κληροδοτεῖται δὲ τῷ Ῥωμαϊκῷ
νίκη μεγαλοπρεπὴς καὶ περίδοξος· ἀναιρεῖται γὰρ ὁ τῶν Περσῶν
στρατηγός, ἥλωσαν δὲ τοῦ Περσικοῦ ζωγρηθέντες τρισχίλιοι, καὶ
οἱ ἐν τέλει δορυάλωτοι γίνονται, καὶ μέχρι χιλίων τὸ τῶν βαρβά-
ρων γενόμενον σύνταγμα πρὸς τὴν Νίσιβιν γίνεται. τοῦ τοίνυν
φόνου γενομένου μεγάλου τε καὶ ἀξιαγάστου Ῥωμαίοις καὶ τῆς
λαφυραγωγίας λαμπρᾶς, συναθροισθὲν τὸ στρατόπεδον διαλύον- C
ται τὴν ἔχθραν πρὸς τὸν Μαυρίκιον, καὶ γεραίρουσι λαφύροις
πολλοῖς τὸν αὐτοκράτορα, πέμψαντες ὡς αὐτὸν καὶ τὰ σημεῖα
τοῦ Περσικοῦ, ἃ τῇ πατρίῳ φωνῇ βάνδα Ῥωμαῖοι κατονομά-
ζουσιν. ὁ δὲ Φιλιππικὸς ἐν τῇ Ἱερᾷ λεγομένῃ πόλει ἐνηυλίζετο,
τῷ φόβῳ συσταλεὶς τῆς ἀταξίας, καραδοκῶν τὴν τῆς ἀναρχίας
μεταβολήν.

Χειμῶνος τοιγαροῦν ὥρας διαδεξαμένης τὸν πόλεμον τῇ
ἀεικινήτῳ καὶ ἀμοιβαίᾳ τῶν τρόπων μεταβάσει ὁ χάραξ τοῦ Ῥω-
μαϊκοῦ διαλύεται. ἐπιγινομένου δ' ἦρος καὶ προσηνῆ καὶ ἐπίχα- A. C. 584.
ριν ὄψιν παρεχομένου τῇ γῇ, ἡ κατὰ τὸ εἰωθὸς τοῦ χρυσοῦ δια- D
νομὴ τῷ μαχίμῳ ὑπὸ τοῦ αὐτοκράτορος ἐξεπέμπετο. ὁ δὲ Ῥω-
μαίων τε καὶ Περσῶν πόλεμος ἐσφρίγα τε καὶ ἐσφάδαζε. τὸ δὲ
Γετικόν, ταὐτὸν δ' εἰπεῖν αἱ τῶν Σκλαβηνῶν ἀγέλαι, τὸ περὶ
τὴν Θρᾴκην ἐς τὸ καρτερὸν ἐλυμαίνετο. οἱ δὲ Μῆδοι τοῖς Ῥω-

Nymphium flumen domum revertentes idem Maruzas insequitur; nec procul Martyropoli eos assequitur, ubi praelio in primis memorabili concursum est, et Romani magnificam atque inclitam victoriam retulerunt. nam Persarum dux occubuit, capti ter mille cum optimatibus: mille circiter Nisibin secesserunt. Romani post tantam tamque admirandam hostium stragem et superba spolia conventu celebrato, odia in Mauricium deponenda decernunt, eumque cum aliis iisque multis de praeda bellica honorant, tum Persica signa (quae patria nostra voce banda dicuntur) ad eum transmittunt. Philippicus Hierapoli, timore turbarum et exspectatione status domino carentis immutandi, interim se tenebat.

Hieme bellum excipiente, secundum morum mobilitatem vicissitudinemque castra dissolvuntur. vere autem placidum et iucundum terris vultum exhibente pro consuetudine aurum in militem pro stipendio distribuendum ab imperatore mittitur, bellumque inter Romanos et Persas recrudescit et agitatur denuo. Getae seu (quod idem est) Sclavini Thraciae proxima valide devastant. Persae Romanis ducibus forte oc-

μαίων στρατηγοῖς συγκυρήσαντες παρανάλωμα φόνου ἐγίνοντο.
Ῥώμη δ' ἡ πρεσβῦτις ταῖς τῶν Λογγοβάρδων ἀντεῖχεν ἐφόδοις.
τῇ δὲ Λιβύῃ αἱ τῶν Μαυρουσίων δυνάμεις διετέλουν ἐξίτηλοι,
καὶ τῷ πλήθει τῶν Ῥωμαϊκῶν ἀνδραγαθημάτων πρὸς τὸ ταπει-
νὸν καὶ κατητονημένον ἀπέκλινον. οὕτω μὲν οὖν ἐκεῖναι μετὰ
τῶν ἀσπίδων καὶ τὰς ἡνίας κατέθεντο, τὸν αὐχένα Ῥωμαίοις
ὑποχαλάσασαι, καὶ τήν τε ἠρεμίαν ἐνηγκαλίζοντο. ὁ δὲ Φᾶσις
οὐκ ἐθολοῦτο τοῖς αἵμασιν· εἰρηναῖον γὰρ ῥεῖθρον τέως περιε-
βάλλετο, τῷ διαυγεῖ τῆς ἡσυχίας καταρδεύων τοὺς Κόλχους,
P 67 μηδαμοῦ κεκτημένος Μῆδον οἰκήτορα. καὶ ὧδέ πως τὰ Ῥωμαίων
διετίθετό τε καὶ συνετάττετο.

B 5. Ἐν τούτῳ τοιγαροῦν τῷ καιρῷ τελεσιουργοῦνται κατὰ
τὴν Μηδικὴν οὐκ ἀναξιόλογα διηγήσεως πράγματα. ἀλλ' ἄγε δὴ
ἐνείρωμεν καὶ τάδε τοῖς τῆς ἱστορίας μέλεσιν εὐκοσμότατα, οἷά
περ ὅρμον τινὰ λιθοκόλλητον, ὀφθαλμοῖς διανοίας ἑστίασιν,
ὤτων δὲ θυμηδίαν, ὡς ἔστιν εἰπεῖν, καὶ πανήγυριν. φρούριον,
Γιλιγέρδων ὄνομα αὐτῷ, ἐνδοτέρω δὲ τοῦτο τῆς Μηδικῆς ᾠκο-
δόμηται, ἐν χώρᾳ ἐπιλεγομένῃ Βιζακοῦ, οὐ πόρρω Βενδοσαβεί-
ρων τῆς πόλεως. πρόσεστι δὲ τούτῳ καί τις εἱρκτή· Λήθην δὲ
V 181 ὀνομάζουσι ταύτην οἱ βάρβαροι. ὁ δὲ χῶρος ὥσπερ γῇ θεῷ ὀρ-
γὰς βασιλικῷ θυμῷ ἀνατίθεται, καὶ τέμενος δυσμενείας ἀποκα-
C λῶν τις τὸ φρούριον οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος. ἐναπο-
κλείονται τοίνυν ἐνθάδε ὅσοι τοῖς δικτύοις τῆς τοῦ βασιλέως λύ-
πης ἁλίσκονται, τοῦτο μὲν ὑπήκοοι, τοῦτο δὲ καὶ δορύκτητοι.

currentes ab iis velut aliud agentibus morte multantur. Roma vetus Longobardorum impetus retundit. in Africa Maurorum copiae magis magis extenuari, quos Romanorum virtus paulatim multis egregiis facinoribus ad humilitatem redegit atque enervavit, ut cum armis etiam habenas seu imperium deposuerint, Romanisque cervices summittentes otium maluerint. Phasis caesorum sanguine non inquinabatur: pacificum enim flumen tum pellucida quiete Colchos irrigans circumfluebat, nullum uspiam de Persis habens incolam. Romanarum rerum conditio atque ordo istiusmodi fuit.

5. Per hoc tempus res in Perside narratu haud indignae contigerunt, quas huic corpori historiae nostrae ornando ceu monile aliquod baccatum oculis animi, seu epulas et oblectamentum, atque panegyrim auribus inseramus. arx erat in interiore Perside, Giligerdum vocabulo, in regione cui nomen Byzacus, haud procul ab urbe Bendosabiron. in eo visebatur carcer, quem barbari Lethem dixere. locus quodammodo occasionem irae regis animo subministrat; et si quis castellum malevolentiae fanum appellaret, recte appellaret. huc includuntur quotquot regis ira tanquam retibus capit, partim subditi, partim bello in pote-

Ἰουστίνου γε οὖν τοῦ νεωτέρου τῆς Ῥωμαϊκῆς πολιτείας ἡγεμονεύοντος, παρεστήσατο τὴν πόλιν τὴν λεγομένην Δάρας ὁ τῶν Περσῶν βασιλεύς. ἔδοξε γοῦν τῷ βασιλεῖ, καὶ γίνονται Δαρηνοὶ τῶν φρουρίου τούτου οἰκήτορες. ὑπῆσαν δὲ καὶ Καδασηνοὶ ἐν αὐτῷ· βάρβαρον δὲ τὸ φῦλον τῆς Μηδικῆς. οὐ μὴν ἀλλὰ καὶ ἕτεροι τὸ κακοπραγεῖν κληρωσάμενοι, καὶ κοινὸν ἄθροισμα ταλαιπωρουμένων ἀνδρῶν τὸ φρούριον ἐνηγκάλιστο. γίνεται γοῦν τοῖς ἑτερογενέσιν εἰς συμφωνίαν τὰ κοινὰ δυστυχήματα, καὶ οὓς γένος καὶ νόμος καὶ γλῶττα διεῖλετο, συνῆψεν ἡ τῶν παθημάτων D οἰκείωσις, τῷ ἀδελφῷ τῆς ἀνάγκης καταμελετήσασα τὴν ὁμόνοιαν. ἐξάρχουσι δῆτα τῆς ἀνδρείας οἱ Δαρηνοί, καὶ αὐτοβοεὶ τοῖς ἐν ποσὶν ὀργάνοις πολέμου χρησάμενοι ἀναιροῦσι τοὺς φύλακας. καὶ τοῦ φόνου ἐκκαιομένου πρὸς τὸ λαβρότερον (πλῆθος γὰρ ὑπῆν στρατιᾶς φρουρούσης τὸ φρούριον) νικῶσι Ῥωμαῖοι, καὶ συνεξάγουσι τοῦ φρουρίου καὶ τοὺς τῶν ἀτυχημάτων αὐτοῦ κοινωνούς, καὶ πολλὰ παθόντες καὶ δράσαντες εἰς τὴν Ῥωμαίων ἐπανέζευξαν.

Τῶν δὲ περιφανῶν ἐκείνων θριάμβων γεγονότων Ῥωμαίοις, A. C. 590. ἔτι πρὸς τῇ Μαρτυροπόλει ὁ πόλεμος ἐξηρτύετο, ὡς φθάσαντες εἴπομεν, ὁπηνίκα καὶ Μαρουζᾶς ὁ τῶν Περσῶν στρατηγὸς ἐν τῇ παρατάξει ἐτύγχανεν ὢν πεπτωκώς, ἥλωσαν δ' οἱ τῶν δύο κεράτων ταξίαρχοι, ἥ τε κεφαλὴ Μαρουζᾶ τοῦ στρατηγοῦ ἐς Βυζάντιον ἧκεν. ὁ δὲ Φιλιππικὸς ἔτι ἀπεδοκιμάζετο ἐκ τῆς Ῥωμαίων δυνάμεως καὶ ἀποστράτηγος ἦν· οὐ προσίετο γὰρ κηδεμόνα τὰ P 68

statem adducti. ergo Iustino iuniore Romanam procurante rem publicam rex Persarum urbem Daram subiugavit. Dareni tum captivi, quoniam ita regi placebat, arcem hanc pro captivis incolere incipiunt. tenebantur ibidem Cadaseni (quaedam Persidis barbara gens est), quin etiam alii, quibuscum fortuna durius egerat, et communis quidam miserorum afflictorumque hominum coetus illic servabatur. quid fit? mala communia genere discordantibus concordiam pariunt; quosque genus leges lingua discreverant, miseriarum coniunctio ex similitudine necessitatis conspirationem meditata copulat. strenuum itaque facinus Dareni ordiuntur, bellicisque instrumentis, quae in promptu erant, primo insultu custodes occidunt. cumque in caede ferventius omnes versarentur, a plurimis siquidem castellum undique custodiebatur, Romani superiores calamitatum socios e castello secum educunt, variisque casibus iactati ad exercitum suum revertuntur.

Postquam triumphum illum praeclarum Romani retulerunt, adhuc bellum ad Martyropolim durabat, ut ante docuimus, quando captis duobus cornuum praefectis, Marusas Persarum summus imperator in acie oppetiit, et caput eius Cpolim transportatum est. Philippicum pro duce nondum admittebat exercitus; non, inquam, administrationem hanc eum

πλήθη τὸν πρὸ μικροῦ περὶ τὸν Ἀρζαμὼν ἀνδραγαθήσαντα. εὐμετάγωγον γὰρ τὸ πλῆθος καὶ δυσάρεστον πέφυκε, καὶ φίλον αὐτῷ τὸ τῆς μεταβολῆς ἀεικίνητον. γενομένου τοίνυν Φιλιππικοῦ περὶ τῶν Κιλίκων ἐπαύλεις, αὐτοκρατορικοῖς γράμμασιν αὖθις εἰς τὴν Συρίαν παλινδρομεῖ, καὶ μόλις ὑπὸ τοῦ Ῥωμαϊκοῦ προσεδέδεκτο, Γρηγορίου τοῦ Ἀντιοχείας τὸν ἀρχιερατικὸν θρόνον τὸ τηνικαῦτα διέποντος, διαλλάξαντος τῷ στρατηγῷ τὰ στρατεύματα. ἡ δὲ Μαρτύρων πόλις τότε δὴ ἥλω ὑπὸ Περσῶν, οὐ τοῖς ἐκ πολέμων νόμοις, προδοσίας δὲ δόλοις, οἷς εἴωθε κλέ-
B πτεσθαι τὰ μὴ δυνάμενα παρὰ τῶν ἀντιπάλων κατεργάζεσθαι μάχαις. ὁ δὲ τοῦ δόλου πατὴρ Σίττας ἐτύγχανεν ὤν. οὗτος αὐτομολήσας πρὸς Πέρσας ὑποπείθει σιδηροφορῆσαι τετρακοσίους τοῦ βαρβαρικοῦ, ὑποκρίνεσθαί τε προσχωρήσειν Ῥωμαίοις, παραφανῆναι δὲ τῇ πόλει. οὗ γεγονότος τοὺς ἀστοὺς ἔπειθε Σίττας ὡς προσκεχωρηκότας Ῥωμαίοις τοὺς βαρβάρους εἰσδέξασθαι. ἐξαπιναίως τοίνυν τοῦ κακοῦ γενομένου οἱ βάρβαροι τὸ πόλισμα ἐγκολπίζονται. ὁ δὲ Φιλιππικὸς ταῦτα μεμαθηκὼς στρατοπεδεύεται, καὶ χάρακα ἐπὶ τὴν πόλιν ἐνέβαλε. διὰ τοιοῦτο ἐπι-
C στρατεύει καὶ ὁ τῶν Περσῶν βασιλεύς, καὶ Μεβόδην Σουρίνα τὸν υἱὸν ἀντεξώπλιζεν. ἐπεὶ δ' οὐκ ἀποχρῶσα δύναμις τῷ Μεβόδῃ ὑπῆν, ἀποστέλλεται παρὰ τοῦ Περσῶν βασιλέως καὶ Ἀφραάτης ὁ κατὰ τῆς Ἀρμενίας τὰς στρατηγίδας λαχὼν τοῦ πολέμου ἡνίας. τοίνυν συγκεκροτημένου πολέμου, πταίουσιν οἱ Ῥωμαῖοι καὶ ἐλάττονες γίνονται τοῦ σκοποῦ, καὶ νικᾷ τὸ τῶν

suscipere patiebatur, qui apud Arzamonem insigne virtutis suae documentum dederat. est enim multitudo natura inconstans, cui difficile placeas, perpetuaeque mutationis cupida. Philippicus litteris a Mauricio acceptis e Cilicia, ubi morabatur, in Syriam redit. ibi aegre ab exercitu est receptus, cum Gregorius, Antiochenus id temporis archiepiscopus, eum in gratiam et amicitiam militum restituisset. Martyropolis vero tum non quidem more et lege bellica, sed dolo et insidiis (quibus latenter surripi consueverunt, quae manu et armis obtineri ab adversariis nequeunt) occupata est. fraudis architectus quidam Sittas fuit. hic ad Persas transfugiens, suadet uti de illis quadringenti armati defectione ad Romanos simulata ad urbem accedant. quo facto vicissim civibus auctor est idem Sittas, uti transfugas illos tanquam Romanorum socios intromittant. hoc impetrato barbari subito oppidum pro suo vindicant. quod ubi Philippicus rescivit, illuc infesto agmine progressus castris oppidum circumdat. mittit eo copias etiam rex Persarum, quibus Meboden Surinae filium praefecit. cui cum numerus quem habebat non sufficeret, ab rege Aphraates Armenicae militiae praefectus submittitur. conserta igitur pugna Romani spe frustrati barbaris palmam cedere com-

βαρβάρων στρατόπεδον. τοῖς μὲν οὖν ἐν Μαρτύρων πόλει δια-
φρουροῦσι Πέρσαις ἐπίθετος γίνεται δύναμις, καὶ εἰς τὸ καρτε-
ρὸν ὑπὸ τῶν Περσῶν ἡ πόλις διεφυλάττετο· ὁ δὲ Φιλιππικὸς D
ἀπεχειροτονεῖτο παραυτίκα, (6) Κομεντίολον δὲ στρατηγὸν ὁ A. C. 591.
αὐτοκράτωρ ἀνίστησιν. ἀφικνεῖται τοιγαροῦν ὁ στρατηγὸς ἐς V 182
τὰ προαύλια τῆς Περσίδος αὐτῆς, καὶ περὶ τὴν Νίσιβιν (Ἀντιό-
χεια δ' αὕτη τῆς Μυγδονίας τὸ πάλαι προσηγορεύετο) συμπλέ-
κεται Πέρσαις, περὶ τὸ Σισαρβάνων οὕτω λεγόμενον. καὶ τοῦ
πολέμου λαβόντος τὴν πρόοδον, ὁ Κομεντίολος τὰ νῶτα τῇ πα-
ρατάξει ὑπέδειξε. καὶ μεγάλης αὐτῷ τῆς φυγῆς γενομένης καὶ
μέχρι τῆς Θεοδοσίου πόλεως τῆς ἀποδράσεως ἀκμαζούσης, Ἡρά-
κλειος ὁ Ἡρακλείου πατὴρ τοῦ αὐτοκράτορος τὴν τῶν ἀνδραγα-
θημάτων ὑπεροχὴν λίαν ἀνδρικῶς ἀπεφέρετο, καὶ κατάδηλος ἦν
ἐνευδοκιμῶν ἐν τῷ δόρατι. ἀναιρεῖται γοῦν ὁ τῶν Περσῶν στρα- P 69
τηγός, ὃν Ἀφραάτην ὁ λόγος ἀπέδειξεν, ἤδη που καὶ Μεβόδου
ἐν τῇ πρὸς Φιλιππικὸν μάχῃ ὑπὸ Ῥωμαϊκῆς πεφονευμένου βολῆς.
τῶν δὲ Ῥωμαίων διὰ τὴν φυγὴν τῶν Περσῶν ἀπενεγκαμένων τὴν
εὔκλειαν, εἰκότως τὰ τῶν βαρβάρων ἐσκυλεύετο σώματα, καὶ
γίνεται τοῦ νενικηκότος τὰ κτήματα. τῇ δ' ἐπιούσῃ καὶ τοῦ
Περσικοῦ χάρακος ἐπιβάντες Ῥωμαῖοι, καὶ τούτου κρατήσαντες,
τῶν τροπαίων τὸν ἔλεγχον ἐς βασιλέα παρέπεμπον, ξίφη χρύσεα
τιάρας τε Περσικὰς καὶ τὰς λιθοκολλήτους ζώνας, ἃς οἱ μαρ-
γαρῖται τοῖς βαρβάροις λαμπρύνουσι, τά τε σημεῖα τῆς παρατά- B
ξεως, ἅπερ Ῥωμαίοις εἴθισται τῇ πατρῴᾳ φωνῇ βάνδα ἀποκα-
λεῖν. ὁ δ' αὐτοκράτωρ τὰς νικηφόρους συλλαβὰς ὑπὸ τοῦ στρα-

pulsi sunt. augetur Persicum praesidium Martyropoli, custoditurque ab iisdem firmissime. Philippicus illico abire praefectura cogitur, cuius locum Comentiolus imperatoris auctoritate capessit. (6) venit ergo ad vestibula Persidis Comentiolus, et ad Nisibim usque, olim Antiochiam Mygdoniae appellatam, ubi ad Sisarbanum cum Persis praelio experitur. quo ingravescente terga dat. illo effuse usque Theodosipolim fugiente, Heraclius Heraclii Augusti pater longe maximum praestantis animi facinus viriliter edidit, et in omnium conspectu non sine nominis sui gloria decertavit. cadit Persarum dux Aphraates, de quo diximus. fuerat prius et Mebodes a Romano in pugna adversus Philippicum interfectus. et quia Persis fugientibus Romani victoriae decus reportabant, merito etiam barbarorum cadavera, ut victores, spoliabant. luce sequenti cum castra quoque Persarum invasissent eaque obtinuissent, argumenta quaedam tropaeorum suorum gladios inauratos, tiaras Persicas, cingula gemmis insertis collucentia, quibus barbari superbiunt, signaque militaria, quae patrio sermone Romanis banda dicuntur, imperatori mittunt. qui donis triumphalibus a duce susceptis exhilaratus et laetitia perfusus,

τηγοῦ προσδεξάμενος ἱλαρύνετό τε καὶ κατηυφραίνετο, καὶ ἱππικοὺς προσέταττεν ἀγῶνας τελεῖσθαι, καὶ κατορχεῖσθαι τοῖς δημοτικοῖς ἐγκελεύεται, ὡς εἴθισται Ῥωμαίοις πανηγυρίζουσιν.

Ἐπεὶ δὲ τὸν πρὸς Ἀφραάτην ἀπεπερατώσαμεν λόγον τοῖς διηγήμασι, φέρε δὴ φέρε καὶ τὰ περὶ Σουανίαν τοῖς Ῥωμαίοις πραχθέντα τοῖς τῆς ἱστορίας λειμῶσιν ἐπιφυτεύσωμεν· καὶ ζωγράφοι γὰρ τὰ περιφανῆ καὶ μεγάλα τῶν μελῶν ἐγχαράξαντες οὐ C πρότερον τοῦ φιλοτεχνήματος ἀποπαύονται, πρὶν ἂν καὶ τὰ σμικρότατα μέλη τοῦ σύμπαντος τοῖς πίναξιν ἐγχαράξωσιν. ἔτος ὄγδοον τῆς Μαυρικίου τοῦ αὐτοκράτορος, καὶ Βαρὰμ ὁ τῶν Περσῶν στρατηγὸς ἅμα ταῖς δυνάμεσι τοῦ βαρβαρικοῦ ὑπὸ Ὁρμίσδα τοῦ τῶν Περσῶν βασιλέως κατὰ Σουανίας ἐκπέμπεται. καὶ ἀδοκήτου τῆς ἐπιστασίας τῶν Περσῶν γεγονυίας, τὸ σπουδαζόμενον τῇ ῥαθυμίᾳ ἐγίνετο· ληΐζεται γὰρ ἡ Σουανία κάρτα κομιδῇ. καὶ ἄσχετον ἦν τὸ κακόν· ἐχήρευε γὰρ τοῦ στρατηγήσαντος, τῆς Κολχικῆς ἀνηγεμονεύτου ὑπούσης κηδεμόνος τε ὀρD φανῆς καθεστώσης, ὡς οἷα περὶ τὴν ἕω τοῦ πολέμου σφριγῶντος. τῶν Οὔννων τοιγαροῦν τῶν πρὸς τῷ βορρᾷ τῆς ἕω, οὓς Τούρκους ἔθος Πέρσαις ἀποκαλεῖν, καταπολεμηθέντων λίαν ὡς ἔπος εἰπεῖν ἐγκρατῶς ὑπὸ Ὁρμίσδα τοῦ βασιλέως τῶν Πάρθων, ἐπὶ τὴν Κολχίδα ὁ Βαρὰμ τὸν πόλεμον μετεβίβαζεν. ἐς τοσοῦτον γὰρ οἱ τῆς Περσικῆς ἤρθησαν βασιλείας αὐχένες ὡς φορολογεῖσθαι ὑπὸ τῶν Βαβυλωνίων τοὺς Οὔννους, τὸ πρὶν τεσσαράκοντα χιλιάδας χρυσῶν ἠρεμίας προφάσει τοὺς Μήδους εἰσπρατ-

equestres ludos celebrare populumque saltationibus sese oblectare hortatus est, quemadmodum Romani ludos panegyricos committere consueverunt.

Nunc quoniam orationem ad Aphraatem deduximus, age, etiam quae ad Suaniam a Romanis gesta sunt, historiae campis velut plantam aut stirpem inseramus. nam et pictores, ubi conspicua et magna membrorum pinxerunt, non ante ab opere manum tollunt quam et minima membra seu partes totius in tabula penicillo expresserint. octavus Mauricii annus volvebatur, cum Varamus Persarum dux ab Hormisda rege cum copiis barbaricis contra Suaniam mittitur, repentinoque hostium adventu desidia ad sedulitatem excitatur. depraedationibus quippe maiorem in modum vexabatur, nec erat tolerabilis calamitas, quando et duce, a quo defenderetur, carebat (quia Colchis tum praetorem non habebat) et tanquam orphana, tutore quoque destituebatur, armis in Oriente ferventibus. Hunnis itaque in Oriente Boream versus incolentibus, quos Turcas vocare Persis mos est, summa vi ab Hormisda rege, ut uno verbo dicam, debellatis, Varamus bellum in Colchidem promovit. tantum enim Persarum opes excreverant, ut cum antea pacis nomine Hunnis quadraginta aureorum millia penderent, tum eadem tributi nomine

τόντων τῶν Οὔννων. πολυχρύσου τοίνυν τῆς τῶν Τούρκων ἀρχῆς ὑπὸ τῶν Περσῶν γεγονυίας, ἐς μεγάλην τοῦτο δὴ τὸ ἔθνος ἐτέτραπτο πολυτέλειαν· κλίνας τε γὰρ ἐσφυρηλατοῦντο χρυσᾶς καὶ τραπέζας καὶ κύλικας καὶ θρόνους καὶ βήματα ἱππικούς τε κόσμους καὶ πανοπλίας, καὶ ὅσα τῇ μέθῃ τοῦ πλούτου ἐπινενόηται. χρόνῳ δ' ὕστερον παρασπονδησάντων τῶν Τούρκων καὶ V 183 P 70
ἀξιούντων περαιτέρω τῶν εἰωθότων δίδοσθαι χρημάτων αὐτοῖς καὶ βαρυτάτην ἐπενθήκην γενέσθαι, τῶν τε Περσῶν τὸ τῆς ἐπιβολῆς τῶν φόρων οὐ φερόντων φορτίον, χειροτονεῖται ὁ πόλεμος. καὶ λαμπρᾶς τοῖς Πέρσαις γενομένης τῆς νίκης, ἀντικαταρρεῖ μετὰ τῆς τύχης τὰ πράγματα καὶ ὑπὸ τῶν Περσῶν φορολογοῦνται οἱ Τοῦρκοι, προσαφαιρεθέντες καὶ ἃ πρότερον αὐτοῖς συνήθροιστο χρήματα, καὶ πάλιν κομᾷ τὰ Περσῶν, καὶ περίβλεπτα τῷ Ὁρμίσδᾳ καθεστήκει τὰ τρόπαια· λαφυραγωγοῦνται γὰρ κλῖναι καὶ τράπεζαι καὶ θρόνοι χρυσοῖ κόσμος τε ἱππικὸς ἀμφορεῖς τε καὶ πάντα τὰ ἐς τυράννων συντεταγμένα τιμήν. ἐπεὶ B
δὲ κατὰ νοῦν αὐτῷ τὰ περὶ τοὺς Τούρκους ἐλήλακεν, ἀνατείνει κατὰ Σουανίας τὴν μάχαιραν, τῆς Σκυθικῆς Πέρσαις ἀπομαρανθείσης ἐκτάξεως. περίδοξος τοίνυν ὁ Βαρὰμ κατὰ τὸν Τουρκικὸν γενόμενος πόλεμον τῇ Σουανίᾳ προσομιλεῖ, καὶ λείας κρατήσας περιφανοῦς καὶ ἐπὶ τὴν Βαβυλωνίαν ἐκπέμψας ἐς τὸν Ἀράξην στρατοπεδεύεται ποταμόν, ὃν Ἔρας ἀποκαλοῦσιν οἱ βάρβαροι. ὁ δ' αὐτοκράτωρ τῶν συμβεβηκότων ἀκηκοὼς Ῥωμανὸν τοῦ πολέμου κηδεμόνα καθίστησι. γενόμενος οὖν ἐν τῇ Κολχίδι

ab Hunnis exigerent. Turcarum itaque gens auro ditata Persico in luxum magnopere prodiit. nam lectos, mensas, scyphos, sedes, suggestus, ornamenta equestria et totas armaturas, et quaecunque tandem divitiarum ebrietas excogitaret, ex auro solido conficiebant. procedente tempore cum Turcae foedus sanctum esse amplius non paterentur, pensionemque pecuniarum ingenti auctario grandiorem postularent, et Persae summae tributariae adiectitium onus non ferrent, bellum utrinque paratur, Persisque illustri parta victoria res Turcarum simul cum fortuna collabitur. illorum stipendiarii fiunt, et insuper, quam prius coacervarant, pecuniam amittunt; denuoque res Persicae florent, et Hormisda insigniter triumphat, ablatis in praedam lectis, mensis, sedilibus aureis, ornamentis equestribus, amphoris, et quaecunque demum ad principum honorem magnificentiamque instituta et comparata sunt. ubi enervatis Turcarum viribus res illi ex sententia processit, et Mars Scythicus Persarum virtute emarcuit, gladium contra Suaniam sustulit. itaque Varamus bello Turcico claritatem adeptus, Suaniae infestam manum admovet, factaque praeda non contemnenda, et Babyloniam missa, ad Araxem fluvium, quem barbari Eras nominant, exercitum adducit. Mauricius haec audiens Romanum militiae ducem constituit. is ut in Colchi-

ὁ στρατηγός, ἣν Λαζικὴν ἡ συνήθης μετωνόμασε γλῶττα, καὶ τῷ ἐκεῖσε ἱεραρχοῦντι κοινολογησάμενος, ἀπάρας ἐντεῦθεν C στρατοπεδεύεται ἐπὶ τὴν Ἀλβανίαν αὐτήν. (7) ὁ δὲ Βαρὰμ πυθόμενος τὴν Ῥωμαϊκὴν παρουσίαν ἐγεγήθει· ἤρα γὰρ Ῥωμαϊκῆς παρατάξεως, ἀεί πως αὐτῷ γελᾶν τὴν τύχην οἰόμενος. διά τοι τοῦτο διαπεραιωσάμενος τὸν γείτονα ποταμὸν ἐπὶ τὸ Κανζάκων τὴν ὑποχώρησιν ἐπεποίητο, ἐφελκόμενος ὥσπερ ἐπὶ τὰ ἐνδότερα τῆς Περσίδος Ῥωμαίους. τούτων γοῦν ὁ Ῥωμανὸς D ὑπαισθανόμενος φιλυπόστροφος γίνεται, τὸ συνοῖσον τῇ προθυμίᾳ πραγματευόμενος. ὑποθορυβοῦντος δὲ τοῦ πλήθους καὶ διαγανακτοῦντος καὶ τῆς πρὸς τὸ πρόσω ἐφιεμένου φορᾶς, λόγοις ἐχέφροσι κατηύναζεν ὁ στρατηγὸς τὰ τοῦ στρατιωτικοῦ θράσους οἰδήματα. ἐπεπόμφει δὲ καὶ ὁπλίτας πεντήκοντα ἀνερευνᾶσθαι τὰ τῶν πολεμίων κινήματα. οὗτοι ἐντυγχάνουσι δύο κατασκόποις τοῦ Περσικοῦ, Ῥωμαϊκὴν περιβαλλομένοις ἐσθῆτα, οἳ δὲ τοὺς ἑλόντας ἀποβουκολίζουσιν, ἀποσκευάζονταί τε τὸν κίνδυνον, P 71 εἶναι Ῥωμαῖοι βεβαιωσάμενοι. καὶ πίστιν τοῦ λόγου προυτίθεσαν διὰ ξένης τινὸς ἀτραποῦ νυκτὸς παραδεικνύειν ἀφύλακτον στιβαδευόμενον τὸ πολέμιον. οἳ μὲν οὖν τὸν ὄλεθρον ἀσμενίσαντες, καὶ παρακρουσθέντες ὑπὸ τῆς ὑποσχέσεως, ἥλωσαν ὑπὸ τοῦ Περσικοῦ, ζωγρηθέντες τε καὶ μετὰ στρεβλώσεων τὰς ἀποκρίσεις πρὸς τὰς πεύσεις ποιούμενοι κατάδηλα πάντα τῷ Βαρὰμ ἐποιήσαντο, ὅπως ὁ Ῥωμανὸς τῆς Περσικῆς ἐπιβαίνειν οὐ τεθάρρηκε

11. ἐφιέμενος IP. 16. ἁλόντας IP.

dem pervenit (Lazicen vulgaris lingua mutata voce appellat) et cum antistite regionis consilia communicavit, inde discedens in Albaniam perrexit. (7) Varamus de adventu Romanorum edoctus laetabatur, quod cum iisdem praelia miscere avebat, semper sibi fortunam arrisuram arbitratus. quapropter vicino transmisso fluvio Canzacum recedit, Romanos in interiora Persidis quasi post se trahens. quae Romanus animadvertens redire concupiscit; quodque sibi conducibile putabat, ei studiose providet. multitudine autem subtumultuante indignanteque et progredi cupiente, militaris confidentiae tumorem prudenti oratione reprimit. quinquaginta praeterea armatos mittit, qui hostium machinationem pervestigent. hi duobus Persicis exploratoribus Romana veste indutis occurrunt, captos bonis verbis affantur. illi Romanos se asseverantes periculum amoliuntur, dictisque fidem astruunt, ignota quadam via noctu se hostes nullo custode per herbam iacentes ostensuros pollicentes. Romani vitam libenter condonantes, eorum promissis circumventi a Persis capiuntur. inde post cruciamenta ad interrogata respondent, quo pacto Romanus in Persidem ingredi non sit ausus, et quam exiguos numero

γῆς, τό τε ὀλιγοστὸν τῆς περὶ αὐτὸν μαχίμου δυνάμεως. τού-
των γοῦν ἑαλωκότων, τρεῖς τὸν ἀριθμὸν περισωθέντες ἀναγγέλ-
λουσι τῷ Ῥωμανῷ τὸ δυστύχημα. ὁ μὲν οὖν Βαρὰμ τὸν ποτα-
μὸν διενήξατο, καὶ αὖθις τὴν Ῥωμαίων κεραΐζειν γῆν· ὁ δὲ B
τοῦ Ῥωμαϊκοῦ προεστὼς εἰς τοὐπίσω παλινοστεῖ. τοῦτο διεγνω-
κότες οἱ βάρβαροι ἐπετίθεντο τοῖς Ῥωμαίων συντάγμασιν. ὁ δὲ
στρατηγὸς τῆς Κολχίδος στρατιὰν ἀθροίσας ἐσύκαζεν ὅπως ἔχει
γνώμης τὰ τῶν Ῥωμαίων συντάγματα, καὶ εἰ ἀρρενικὰς ἔχουσι
τὰς ψυχὰς πρὸς παράταξιν. τῆς Ῥωμαϊκῆς τοίνυν πληθύος πα-
ροτρυνομένης πρὸς πόλεμον, ὁ Ῥωμαίων στρατηγὸς τοὺς ἀλκι-
μωτάτους ἀπὸ τῶν ἀδρανεστέρων διέκρινε, καὶ τὸ μὲν μάχιμον
ὡς ἑαυτὸν ἀνελάμβανε, τὸ δὲ ἀπόλεκτον περιφρουρεῖν τὸν χάρακα
διεκόσμησεν. εἰς δέκα τοίνυν χιλιάδας τῆς μαχίμου ὁρώσης, δύο
προθέειν τοῦ ὁπλιτικοῦ ὁ στρατηγὸς διετάξατο· αἳ τῇ προτρε-
χούσῃ τῆς Περσικῆς στρατιᾶς συναντήσασαι φάλαγγι γενναίως C
πᾶσαν διώλεσαν, κρημνοῦ συγκυρήσαντος καὶ τετευχότος τοῖς
βαρβάροις τὰ τῆς διαφυγῆς ἀνεπίτευκτα. τῆς δὲ καταδιώξεως V 184
ἐμφανοῦς γενομένης καὶ μέχρι τοῦ βαρβαρικοῦ χάρακος λαβούσης
τὴν πρόοδον, ὡς καὶ τὸν Βαρὰμ καταπλαγῆναι ἐπὶ τῇ συντάξει
τοῦ δράματος, ἐπανῆκεν ἡ προτρέχουσα δύναμις τῆς Ῥωμαίων
πληθύος. καὶ τούτων καταφανῶν τῷ Ῥωμαίων στρατηγῷ γενο-
μένων, καὶ τῆς Ῥωμαϊκῆς ἐκτάξεως ὀργώσης συμπλακῆναι τοῖς
Μήδοις, ὁ Ῥωμανὸς τὴν ἀπόμαχον ἠρεμίαν ἠσπάζετο δέει τῆς
ἀπειροπλασίου τῶν βαρβάρων ἀθροίσεως. ἐπεὶ δὲ οὐχ οἷός τε
ἦν χαλιναγωγεῖν τὸ ὑπήκοον τοῖς ἔναγχος ἀνδραγαθήμασι ζωπυ- D

milites circum se habeat. ex hisce captis tres salvi evadentes Romano duci infortunium nuntiant. Varamus traiecto fluvio iterum Romanam provinciam latrociniis infestam reddit. Romanorum ductor pedem refert, barbari persequuntur. tum dux Colchidis, Romanus, coacto in unum exercitu, quid animi habeant, et num ad pedem virili animo conferendum parati sint, exquirit. militibus pugnandi desiderio ardentibus, dux strenuissimos ab imbelli turba secretos assumit, reiectitios et imbelles castris custodiendis distribuit. cumque bellatorum illorum summa ad decem millia ascenderet, duo millia praeire iubet; qui cum in phalangem Persicas copias antecedentem incidissent, forti animo totam disperdiderunt, quod praecipitium occurrens barbaris effugium praecludebat. palam autem Romani fugientes persecuti etiam usque ad ipsum castrorum vallum pervenerunt, adeo ut et Varamus factum obstupesceret, et ita demum ad suos se receperunt. quos cum dux vidisset, Romanique cum Persis confligere vehementer anhelarent, dux, quod innumeram barbarorum multitudinem pertimesceret, quietem pugna vacantem maluit. sed cum eos cohibere nequiret recenti facinore animis redaccensos, certamen

ρούμενον, πρὸς παράταξιν τὰς δυνάμεις καθώπλιζε. συνήντα δὲ καὶ τὸ βάρβαρον. στρατοπεδεύονται γοῦν ἑκάτεραι δυνάμεις ἐν πεδίῳ τῆς Ἀλβανίας, ἃς διεῖργε τῆς παρατάξεως ἀπορρώξ τις ἀγχιβαθὴς ἐκ τοῦ Ἀράξου ποταμοῦ προερχόμενος. τὰ μὲν οὖν πλήθη ἐπὶ ταῖς ὄχθαις ἐπαυλιζόμενα τοῦ μεσιτεύοντος ὕδατος ἐδίδοσάν τε καὶ ἀντελάμβανον λόγους. τρίτῃ δ' ἡμέρᾳ, καὶ ἄγγελος ἀπὸ τοῦ Περσικοῦ πρὸς τὸν Ῥωμανὸν παραγίνεται τὸν πόλεμον ἐξαιτούμενος, χώραν τε τῇ διαβάσει ἢ Ῥωμαίους Πέρσαις παρέχεσθαι ἢ τὸ βάρβαρον τοῖς Ῥωμαίων στρατεύμασι. καὶ οὖν ὁ τοῦ Ῥωμαϊκοῦ τὴν ἐπιστασίαν περιβαλόμενος, πανστρατιᾷ συναθροισάμενος ξύλλογον, ὑπὸ τῆς πληθύος ἠξίου διδάσκεσθαι τὸ συνοῖσον αὐταῖς πρὸς τὸν πόλεμον. τῶν δὲ συγχωρεῖν διανήξασθαι εἰσηγησαμένων τῷ στρατηγῷ τὸ πολέμιον, τῇ ὑστεραίᾳ ὁ λόγος πρὸς πρᾶξιν ἐχώρησεν. οὐ μετὰ πολὺ δὲ πρὸς ἔκταξιν ἑκατέρα παρεσκεύαστο δύναμις. τοῦ δὲ Βαρὰμ ἀποπειραθέντος κλέψαι τὸν πόλεμον, ἀντεστράτευεν ὁ Ῥωμανὸς
P 72 τοῖς σοφίσμασι τὴν ἀγχίνοιαν. ἡμέρα δὲ πέμπτη, καὶ Ῥωμαῖοι καὶ Μῆδοι πρὸς παράταξιν καθωπλίζοντο, καὶ τρισσοῖς συντάγμασι διεκόσμουν τὸν πόλεμον. τὸ μὲν οὖν μεσαίτατον κέρας τῆς βαρβάρου δυνάμεως ἐταπεινοῦτο ὑπὸ τῆς ἀντιθέτου παρασκευῆς. δεδιὼς τοιγαροῦν ὁ Βαρὰμ τὴν ἐπιφορὰν τῆς ὁλκῆς τῶν Ῥωμαίων ἐκ τοῦ εὐωνύμου κέρατος περιεβάλλετο δύναμιν. ἐν-
B τεῦθεν ἀσθενεστέρου τοῦ λαιοῦ γεγονότος συντάγματος ἐκ τῆς ἀντιστρατηγούσης δυνάμεως, καὶ φόνου πολλοῦ τοῖς Πέρσαις περικυμαίνοντος, καὶ ἐς μέγα κακοῦ τῶν πραγμάτων τῷ Βαρὰμ κεχωρηκότων, πανστρατιᾷ τε τῆς φυγῆς γενομένης τοῖς Πάρθοις,

parat. procedunt contra hostes. utrique exercitus in campo Albaniae tendunt; quos profundum Araxis fluminis brachium dirimit, manentesque super ripas verba commutant. tertio die a Persis ad Romanum nuntius adest, conflictus copiam petens, ita ut aut Romani Persis aut Persae Romanis transitum concederent. dux Romanus vocato in concionem exercitu quaerit quid eis e re publica videatur. milites hosti fluminis transmittendi potestatem concedendam suadent. postridie verba ad rem conferuntur, nec diu post ordines parte ab utraque instruuntur. sed cum Varamus belli furta tentaret, Romanus callide eius astui obviam ivit. die quinta ambo se praelio accingunt, ac in tres ordines aciesve digeruntur. mediam hostium Romana opposita premebat. inde Varamus metuens ne Romani quantum possent ad eam delendam incumberent, a sinistro cornu supplementum assumit. ex quo laevo cornu infirmiore propter eos qui contra dimicabant, cum et ingenti strage Persae conciderentur, et Varami res loco pessimo essent, totusque exercitus fugam ca-

τῆς δὲ διώξεως μεγάλης καὶ ἐπισημοτάτης ὑπὸ τοῦ Ῥωμαϊκοῦ προελθούσης, συναπέσβη μετὰ τοῦ τύφου τῷ Βαρὰμ καὶ ἡ τύχη. τοῖς μὲν οὖν τὰ τῆς ἀποδράσεως ἐκρατύνετο, τούτων δὲ τὰ τοῦ θράσους ὡς ἔπος εἰπεῖν ἐμηκύνετο. οἱ δὲ τῶν Περσῶν τεθνεῶτες λωποδυτούμενοι καὶ ταφῆς ἀμοιροῦντες τοῖς ἐντυγχάνουσι θηρίοις ἑστίασις ἦν αὐτοσχέδιος.

8. *Ταῦτα διαγνοὺς ὁ Ὁρμίσδας, καὶ τὸ τῶν ἀτυχημάτων* C *οὐ φέρων κομψόν, αἰσχίσταις ὕβρεσι τὸν Βαρὰμ ἐξουθένησε, γυναικείας ἐσθῆτας ἔπαθλα τῆς ἀδοξίας κληροδοτήσας αὐτῷ· ναὶ μὴν καὶ τῆς στρατηγίας ἀπεχειροτόνησε, τοῦτο γράμμασι βασιλικοῖς ψηφισάμενος. ἄρχεται δ' ἐντεῦθεν Μήδοις καὶ ὁ πόλεμος. ἀντευτελίζεται γὰρ ὑπὸ τοῦ στρατηγοῦ καὶ Ὁρμίσδας, ὃν βασιλέα Περσῶν ἐγνώκει τὰ πράγματα. τὰ δὲ τῆς ὕβρεως ἀντετυπεῖτο τοῖς γράμμασι, καὶ οὐ παῖς ἀλλὰ θυγάτηρ Χοσρόου ἐκεῖνος Ὁρμίσδας αὐτὸς ἐπὶ ταῖς ἀντιγραφαῖς προπηλακιζόμενος ἐνεγέγραπτο. πρό τινος δὲ τούτων βραχέος καιροῦ οἱ γειτνιῶντες πρὸς τῇ Περσίδι Ἀρμένιοι, ὑποπεισθέντες ὑπὸ τινῶν Ῥω-* D *μαίων ἀνδρῶν, ἀποστασίου ξυνωμοσίαν διέθεντο καὶ πρὸς τὸ Μηδικὸν αὐτομολεῖν ἐνεχείρησαν, δολοφονήσαντες τὸν ὑπὸ τοῦ αὐτοκράτορος ἡγεμόνα τῆς Ἀρμενίας γενόμενον, Ἰωάννης ὄνομα αὐτῷ. καὶ ἐν σάλῳ τῶν πραγμάτων τῆς Ἀρμενίας ἀποκλινάντων, ὁ αὐτοκράτωρ Μαυρίκιος Δομεντζίολον ἄνδρα περιφανῆ, φιλώτατόν τε καὶ εἰς συγκλήτου βουλὴν ἐν τοῖς κορυφαιοτέροις* V 185 *προλάμποντα, εἰς τὴν Ἀρμενίαν ἐκπέμπει. ὁ μὲν οὖν ἐγκοπὴν*

pesseret, et Romani magna atque eximia persecutione fugientibus instarent, Varami felicitas cum eius fastu et insolentia extincta est. et illorum quidem fuga invalescebat, horum autem audacia, ut ita dicam, producebatur. corpora Persarum interemptorum spoliata bestiis occurrentibus epulo extemporaneo fuerunt.

8. Haec ubi didicit Hormisdas, ignominiae ex infortunio labem non sustinens Varamum probro turpissimo deformat, vestes muliebres in pretium contracti dedecoris ad eum mittens. quin etiam praefecturam regiis litteris comprehenso decreto eidem abrogat; unde inter ipsos Persas civile bellum emersit. etenim dux regem, par referens, despicit ac vilipendit. sed despicatum illum scripta epistola remetitur, in cuius superscriptione Chosroae non filium sed filiam infami irrisione nominat. porro paulo ante quam haec acciderent, Armenii Persarum finitimi quorundam Romanorum sermonibus inducti defectionis coniurationem fecerunt, iamque Ioanne, quem Armeniae praetorem imperator dederat, per dolum trucidato, cum Persis sese coniungere instituebant. cumque illius provinciae status in mediis tempestatum fluctibus versaretur, Mauricius imperator Domenziolum, virum spectatissimum sibique perquam carum atque inter primores consiliarios conspicuum, in Armeniam expedit; qui

τῇ ἐπιβολῇ τῆς ἀποστάσεως παρέχεται, τὸν δὲ τῆς τυραννίδος πατέρα (Συμβάτιος ὄνομα αὐτῷ) δέσμιον βασιλεῖ παρεστήσατο. τοῦ δὲ βασιλέως τεμένει διαιτητῶν τὴν βάσανον τῆς κατηγορίας P 73 εὐσεβέστερον ἐξαρτήσαντος, ἵνα μὴ τῷ ἀνεξετάστῳ τῶν ἐγκλημάτων ἀδίκῳ παρρησίᾳ τὰ τῆς ποινῆς πολιτεύσηται, καθομολογεῖται παρὰ τοῦ αἰτίου τὰ πλημμελήματα. καὶ δῆτα τῶν δεδικακότων προσενηνεγκαμένων ἀπόφασιν, τιμωρίᾳ τε θηριοβλήτῳ φησάντων τοὺς τὰ τοιαῦτα δράσαντας ἐκποδὼν τῶν ἀνθρωπίνων γενέσθαι πραγμάτων, τοῦ τε θεάτρου πληρωθέντος, καὶ μελλόντων εἶναι θηρίων βορὰ τῶν πεπραχότων τὰ πλημμελήματα, ταῖς εὐφημίαις τῶν δήμων τὸ τοῦ βασιλέως προῆλθε φιλάνθρωπον. καὶ ὁ μὲν τῶν θηρίων διεκρίνετο καὶ τὴν παράδοξον σωτηρίαν B καρπίζεται, οἱ δὲ θεαταὶ μεγαλαυχοῦσι τῶν ἀδοκήτων τοῦ βασιλέως οἰκτιρμῶν τὸ φιλάνθρωπον.

Τοῦ πάντα δὲ χρόνου καινίζοντός τε καὶ παραχαράττοντος καὶ διαμορφοῦντος καὶ ἄλλοτε ἄλλως πλάττοντος, καὶ μετατρέποντος τῇ περιστροφῇ τῆς ἀεικινήτου δινήσεως, καὶ τῷ ἄξονι τῆς περιφορᾶς τῶν πραγμάτων τυραννοῦντος τὸ πάγιον, καὶ ἀεὶ πρὸς τὸ βέβαιον δυσαρεστοῦντός τε καὶ νοσηλευομένου, καὶ ὅποι στῆναι τῆς πλάνης οὐκ ἔχοντος, καὶ τῇ τῆς παλιρροίας ἀνωμάλῳ κινήσει τὸ ἀνίδρυτον κεκτημένου, συμβαίνει τὸ τηνικαῦτα καιροῦ τῇ τῶν Περσῶν βασιλείᾳ παράλογά πως παθήματα, ἔκθεσίν τε ἀφηγημάτων κεκτημένα οὐκ ἄκομψον. τοῦ γὰρ Βαρὰμ μὴ δια-

13. οἱ δὲ] οἵ τε IP.

inchoatam defectionem intercidit, auctoremque et incentorem turbarum, Symbatium vocabulo, vinctum imperatori transmittit. ille accusationem arbitris sacrae curiae examinandam pie commendat, ne de criminibus non interrogatus contra ius fasque poenas exsolveret. delicta reus confitetur. iudices sententiam ferunt, bestiarum laniatu huiusmodi scelerum compertos ex hominum vita tollendos esse. theatrum spectatoribus completur, facinorosus a belluis devorandus exspectatur, cum imperatoris clementia populi acclamationes antevertit. et ille quidem a bestiis liberatur, salutemque praeter suam aliorumque opinionem consequitur: spectatores imperatorem de improvisa misericordia et humanitate laudibus in coelum efferunt.

Caeterum dum tempus omnia novat et adulterat et transformat et alias aliter fingit perennique conversionis gyro circumagit, et quod fixum ac firmum est, mobilitate et fluxu rerum humanarum ceu rota crudeliter versat ac circumvolvit, semperque constantiam et stabilitatem odit, et eius causa male se habet, et ubi errorem sistat, non invenit, et refluxus motu inaequali instabilitatem suam ostendit, dum haec, inquam, tempus facit, quidam casus tum inopinati regno evenerunt, quorum non erit inelegans narratio. nam cum Varamus odium adversus Hormisdam, quod

λυσαμένου πρὸς τὸν Ὁρμίσδαν τὴν ἄρτι που ἐξαπιναίως ἔχθραν πηγάσασαν, ἐγκελεύεται ὁ τῆς Μηδικῆς μοναρχῶν, ὃν Ὁρμίσδαν ἡ ἱστορία διέγραψεν, ἄρχοντί τινι τοῦ Μηδικοῦ παρὰ τὸν Βαρὰμ παραγενέσθαι, καὶ τῆς μὲν ἀρχῆς θᾶττον αὐτὸν παραλύσασθαι, χειροπέδαις δὲ τοῦτον ἐνεῖξαι καὶ ἠτιμωμένως τοῖς ἀνακτόροις θᾶττον αὐτὸν παραστήσασθαι. ὁ μὲν οὖν Βαράμης (τοῦτο γὰρ ὄνομα τῷ ὑπὸ τοῦ βασιλέως ἀπεσταλμένῳ) χειρωθεὶς ὑπὸ τῶν Βαρὰμ καὶ ἑνὶ τῶν μεγίστων ἐλεφάντων παραδοθεὶς παραναλώματι κατεστρέψατο τὸν βίον πικροτάτῳ θανάτῳ· Ὁρμίσδου δὲ καταπολεμηθέντος ὑπὸ Βαρὰμ τῆς τε βασιλείας καθαιρεθέντος, Χοσρόου τε τοῦ νεωτέρου τοῦ Ὁρμίσδα παιδὸς καταστασιασθέντος κατὰ τὸν καιρὸν τῆς ἀναρρήσεως κἀντεῦθεν προσκεχωρηκότος Ῥωμαίοις, ὁ γέρων ἐκεῖνος καὶ Περσικὸς διαλύεται πόλεμος, εἰς δύο δεκάδας διατείνας ἐνιαυτῶν. C

9. Ἀλλὰ πρὶν τά τε τῷ Βαρὰμ διαπραχθέντα τά τε συμβεβηκότα κατὰ τὴν Χοσρόου τοῦ νεωτέρου προσχώρησιν διεξέλθωμεν διεξοδικώτερον, ἐπανεζεύξωμεν τὴν ὑφήγησιν ἐπὶ τὴν Ἰουστίνου τοῦ νεωτέρου βασιλείαν, τὸν λόγον που πρὸς τοὐπίσω μικρὸν ἀνακλίναντες· τὰς αἰτίας γὰρ ἐντεῦθεν λέξομεν τῆς Περσικῆς ταύτης καὶ πρεσβύτιδος μάχης· οὕτω γὰρ τῷ ἀπαραλείπτῳ τῶν ἀφηγημάτων οἱ τῆς ἱστορίας ὡραϊσθήσονται πίνακες. D P 74

Ἰουστινιανοῦ τοῦ αὐτοκράτορος πρὸς τὴν ἀκήρατον λῆξιν μεταχωρήσαντος, ἐννέα καὶ τριάκοντα ἔτεσι τὰ Ῥωμαίων διιθύναντος σκῆπτρα, γίνεται τῆς τῶν πραγμάτων ἡγεμονίας διάδο-

se superet repente ut ex fonte profuderat, non deponeret, rex cuidam viro principi de Persis negotium dat. uti ad Varamum praefectus magistratu illum statim depellat, iniectisque manicis cum ignominia quamprimum in palatium adducat. Sarames igitur (hoc illi ab rege misso nomen erat) a Varamo captus, maximoque cuidam elephanto conculcandus pro ludo obiectus, tristissimo exitu vitam finivit. ex quo autem Hormisdas a Varamo est oppugnatus et regno subversus, Chosroesque iunior Hormisdae filius tempore creationis suae seditione afflictus, indeque cum Romanis foedere hospitioque coniunctus, vetus illud bellum Persicum annis 20 gestum, tandem aliquando conquievit.

9. Sed priusquam Varami res, et quae Chosroe iuniore ad Romanos se applicante acciderunt, fusius exponamus, orationem ad memoriam paulo hac nostra antiquiorem reflectemus, causasque huius Persici belli in quo tot anni consumpti sunt, disseramus. sic enim historiae tabulae ornabuntur, cum de narratione nihil praetermiserimus.

Postquam Iustinianus Augustus anno imperii nono supra tricesimum ad sortem et conditionem immortalitatis emigravit, Iustinus iunior, Iustiniani ex sorore nepos, rerum habenas excipit. is dum septimum impe-

χος Ἰουστῖνος ὁ νέος· ἀδελφιδοῦς δ' οὗτος ἐτύγχανεν ὢν Ἰουστινιανοῦ τοῦ αὐτοκράτορος. ἑβδόμῳ τοιγαροῦν ἐνιαυτῷ τῆς βασιλείας Ἰουστίνου τοῦ νέου παρασπονδησάντων Ῥωμαίων τῇ τοῦ βασιλέως κουφότητι τὰ τῆς εἰρηναίας εὐδαιμονίας διασπᾶταί τε καὶ περιρρήγνυται, ἐπεισάγεται δὲ Ῥωμαίοις καὶ Μήδοις ὁ πόλε- B μος, ἡ δεξαμενὴ τῶν κακῶν, τὸ πάντων τῶν δυστυχημάτων ὡς V 186 ἔστιν εἰπεῖν καταγώγιον, τὸ ἀρχέτυπον τοῦ βίου ληϊτήριον, ὃν σηπεδόνα τῶν ἀνθρωπίνων πραγμάτων ἀποκαλῶν οὐκ ἂν ἁμάρτοι τοῦ πρέποντος. αἱ δὲ συνθῆκαι πεντηκοντούτιδες Ῥωμαίοις καὶ Πέρσαις διωμολόγηντο, αὗται τῇ μεγάλῃ τοῦ βασιλέως ἀνοίᾳ διαφθείρονταί τε καὶ παρατέμνονται. κἀντεῦθεν ἡ ἀρχέκακος πρόοδος τῶν Ῥωμαϊκῶν ἀτυχημάτων ἐγίνετο. καταιτιῶνται δὲ Ῥωμαῖοι τοὺς Πάρθους καὶ τοῦ πολέμου δημιουργοὺς ἀνεκήρυττον, φάσκοντες τοὺς Ὁμηρίτας (Ἰνδικὸν δὲ τὸ γένος καὶ Ῥωμαίοις ὑπήκοον) πρὸς ἀπόστασιν ὑπ' αὐτῶν ὑποπείθεσθαι, εἶτα μὴ νενικημένους ἐκείνους ταῖς εἰσηγήσεσι πάσχειν ὑπὸ Περσῶν δι' C ἐφόδων ἀνήκεστα, τῆς εἰρήνης διακεχυμένης Πέρσαις τε καὶ τῷ Ῥωμαϊκῷ πολιτεύματι. προσέτι γε χαλεπαίνοντες ἔφασκον ὅτι γε πρὸς Ῥωμαίους Τούρκων πρεσβευσαμένων τότε νῦν πρῶτον ὑποφθείρειν τοὺς Ἀλανοὺς χρήμασιν ἐπειράθησαν Πέρσαι, ἐφ' ᾧ δι' αὐτῶν ἰόντας ἀναιρεθῆναι τοὺς πρέσβεις καὶ κωλύμην ἀποκληρώσασθαι τὴν διάβασιν. φιλαιτίως Ῥωμαῖοι τὸ πολεμεῖν ἀσμενίζοντες, καὶ μικραῖς καὶ ἐξιτήλοις τισὶν ἀφορμαῖς μεγάλων

4. εἰρηναῖα IP. 23. μεγάλους IP.

rat annum, Romani eius imitati levitatem foedus minime sanatum et intemeratum habent; unde pacifica illa felicitate distracta et dirupta bellum inter Romanos atque Persas introductum est, bellum omnium malorum receptaculum, omnium incommodorum (ut ita dicam) diversorium, vitae praedatoriae archetypon; quod qui rerum humanarum ulcus putridum vocaverit, me iudice non erraverit. foedus autem inter hasce duas gentes in annos quinquaginta susceptum et confirmatum magna imperatoris stultitia dirupit atque corrupit. hinc tanquam a fonte tot clades et miseriae in Romanam rem publicam postea dimanarunt. Romani porro Persas in crimen vocantes eos belli huius inventores esse palam dictitabant, quod Homeritas (gens Indica est, Romanis parens) ad defectionem sollicitassent. quos cum, quo volebant, consiliis suis pellicere nequivissent, pace disturbata incredibilia damna infestis incursionibus iisdem intulisse. ad haec irati obiiciebant, quod cum Turcae legationem ad Romanos misissent, illi primum Alanos pecunia ab officio detorquere studuerint, ut per eorum regionem legatos iter habentes interimerent atque ita transitum impedirent. ita Romani queruli nimium, bellum libenter amplexi, parvis et futilibus occasionibus magnos sibimet malorum

προόδους κακῶν σφίσιν αὐτοῖς σοφιστεύονται· οὐ γὰρ ὄνησιν αὐτοῖς τὸ φιλοπόλεμον προσεπόρισε. Μῆδοι δὲ πατέρας τοῦ πολέμου Ῥωμαίους κηρύττοντες αἰτίας ταύτας προυτίθεσαν, τὸ ὑποδέχεσθαι τοὺς Ἀρμενίους Ῥωμαίους, ἐν ὑπηκόων μοίρᾳ Πέρσαις τυγχάνοντας καὶ ἐς τυραννίδας ἐληλακότας, ἀνελόντας τε D Σουρήνην κλιματάρχην ὑπὸ τοῦ Περσῶν βασιλέως τῆς Ἀρμενίων πολιτείας γενόμενον· πρὸς ἐπὶ τούτοις τὸ μὴ ἐθέλειν Ῥωμαίους ἀν' ἔτος ἕκαστον πεντακοσίας λίτρας χρυσίου κατὰ τὸ εἰωθὸς κατατίθεσθαι, ἃς Ἰουστινιανὸς ὁ βασιλεὺς ταῖς συνθήκαις διωμολόγησεν, οἷά περ ἀπαξιοῦντας φορολογεῖσθαι ὑπὸ Περσῶν βασιλέως. ὃ δ' ἦν οὐ τοῦτο, ἀλλ' ἐπὶ φρουρᾷ τῶν ὀχυρωμάτων ἐδίδοντο τῶν εἰς κοινὴν σύστασιν φρουρουμένων, ὅπως μὴ σχοίη τὴν εἰσροὴν τῶν ἀπείρων ἐθνῶν καὶ ὁμόρων ἡ ἀκατάσχετος δύναμις, καὶ βασιλείας ἑκατέρας ἐπιγένηται λύσις.

10. Διαχυθείσης οὖν τῆς εἰρήνης καὶ τῶν σπονδῶν ἀνα- P 75 τετραμμένων Ῥωμαίοις τε καὶ Πέρσαις, Ἰουστῖνος ὁ τοῦ Ῥωμαϊκοῦ βασιλεὺς εἰς τὴν ἕω ἐκπέμπει Μαρκιανὸν στρατηγόν, ἐν τῷ καταλόγῳ τῶν πατρικίων ὄντα, περίβλεπτον ἄνδρα, οὐκ ἄπο τοῦ γένους τοῦ βασιλείου τυγχάνοντα. ὁ τοίνυν Μαρκιανὸς τὸν Εὐφράτην διαπεραιωθεὶς καὶ κατὰ τὴν Ὀσροηνὴν γεγονὼς ἤδη τοῦ θέρους παρηβηκότος καὶ παρακμάσαντος, καὶ τῶν βαρβάρων οὐδὲν διανοουμένων πρὸς πόλεμον, τρισχιλίους ἐκ τοῦ ὁπλιτικοῦ συμφραξάμενος κατὰ τὴν Ἀρζανηνὴν καλουμένην χώραν ἐξέπεμπεν. εἰσβαλοῦσα τοίνυν ἡ δύναμις, καὶ ἀδοκήτου τῆς

cumulos machinati sunt: nam belli gerendi cupiditas nihil ipsis utilitatis peperit. contra Persae Romanos belli auctores proclamantes, causas huiuscemodi edebant, quod Romani Armenios Persarum proprios in fidem auctoritatemque suam recepissent, tyrannidemque Sureha Climatarcho, quem in Armeniam rex misisset, interfecto exercuissent; praeterea quod Romani noluissent in annos singulos quinquaginta libras auri constitutas persolvere, quas Iustinianus imperator in foedere faciendo spoponderat, quia videlicet tributa Persarum regi pendere alienum a dignitate sua ducerent. quod non ita erat, verum ad alenda praesidia castellorum in commune custodiendorum aurum illud erogabatur, ut plurimorum finitimorumque populorum effrenata licentia collectis copiis ne irrumperet et utrumvis imperium everteret.

10. Violata igitur pace ac foedere utrinque conculcato, Iustinus Marcianum patricium genere ac propemodum de familia imperatoria, virum excellenti fama, ad exercitum gubernandum in Orientem destinat. Marcianus transito Euphrate cum in regionem Osrhoenam marcente ac senescente iam aestate venisset, barbarique de bello nihil cogitarent, tria millia de exercitu separata in Arzanenam, quae dicitur, regionem immittit. quorum improvisa irruptione insanisque depraedationibus, de-

ἐπιστασίας γενομένης τοῖς Μήδοις, πάσχει τέως τὰ τῆς Περσί-
B *δος δεινά· προνομεύεται γὰρ καὶ ληΐζεται καὶ λαφυραγωγεῖται*
οὐκ ἀναξιόλογον λείαν. τοῦ δ' ἐπιόντος ἐνιαυτοῦ τῆς βασιλείας
Ἰουστίνου τοῦ αὐτοκράτορος, Μαρκιανοῦ τὰς δυνάμεις ἀγείραν-
τος καὶ ἐκ τοῦ Δάρας ποιησαμένου τὴν πρόοδον, καὶ τῶν βαρ-
βάρων στρατοπεδευσαμένων περὶ τὴν Νίσιβιν, γίνεται συμπλοκὴ
Ῥωμαίων τε καὶ Περσῶν πλησίον τοῦ Σαργαθὸν, οὕτω καλου-
μένου χωρίου Περσῶν, καὶ πταίουσι Μῆδοι καὶ κρατοῦσι τῆς
μάχης Ῥωμαῖοι. διὰ τοῦτο περικαθήμενοι τὸ Θεβοθὼν ἐνεχεί-
ρουν ἑλεῖν· Περσικὸν δὲ τουτὶ τὸ φρούριον. ἡμέρας τοίνυν τὸ
φρούριον πεπολεμηκότες πολλάς, καὶ οὐ κατὰ σκοπὸν συμβεβη-
κότων τῶν πραγμάτων αὐτοῖς, ἐπὶ τὸ Δάρας ἐπανέζευξαν.
C *εἶτα εἰσβάλλουσιν εἰς τὴν πολεμίαν αὖθις, καὶ τὴν Νίσιβιν τῆς*
Μυγδονίας διεγνώκασι παραστήσασθαι· τοῦτο γὰρ αὐτοῖς ὑπὸ
τοῦ αὐτοκράτορος προσετάττετο. ὁ δὲ τῶν Περσῶν βασιλεὺς
Χοσρόης ὁ πρεσβύτερος, ἄρας ἐκ Βαβυλῶνος ἅμα Μηδικῷ
V 187 *στρατοπέδῳ, Τίγριν διανηξάμενος, εἰσβαλών τε περὶ τὴν ἔρη-*
μον καὶ δι' ἐκείνης στρατοπεδευσάμενος, ἵνα μὴ Ῥωμαίοις κατά-
δηλος ἐπιστρατευσάμενος γένηται, ἧκε πλησίον Ἀβάρων, χω-
ρίου τινὸς Περσικοῦ· ἀπῴκιστο δὲ τοῦτο Κιρκησίου τοῦ Ῥω-
μαίων πολίσματος πέντε ὁδὸν ἡμερῶν. καὶ τὸν μὲν Ἀδορμαά-
νην οὕτω καλούμενον στρατηγόν, τὸν Εὐφράτην διαπεραιωσά-
μενον ποταμὸν ἐκπέμπει τὴν Ῥωμαίων ληϊσόμενον, ἓξ δ' αὐτῷ
χιλιάδας ὁπλιτικοῦ συνεξέπεμπεν· αὐτὸς δ' ὁ τῶν Περσῶν βα-
σιλεὺς παραμείβων τὸν Ἀββυρὰν ποταμὸν ἐξαπιναίως ἐπιστῆναι
τοῖς τὴν Νίσιβιν πολιορκοῦσι Ῥωμαίοις ἐπαλαμήσατο. ὁ μὲν

populationibus et expilationibus male tunc Persidi factum est. Iustini imperatoris anno sequenti, Marciano delectus habente et ex oppido Dara prodeunte, barbarisque iuxta Nisibim tendentibus, praelium prope Sargathum (locum a Persis ita nominatum) committitur: Persae Romanis dant manus. qui deinde Thebothum castellum Persicum cingentes, cum per dies multos continuata oppugnatione nihil proficerent, Daram se retulerunt. post rursum in hostium terras invadentes Nisibi Mygdoniae urbe potiri constituunt, quemadmodum in mandatis ab imperatore acceperant. Chosroes autem senior, Persarum rex, cum copiis Babylone discedens, traiecto Tigri solitudinem ingressus, ac ne in Romanos ducere conspiceretur, per eam progrediens, ad oppidum quoddam Persicum, Abarum nomine, quinque dierum itinere a Circesio Romanorum urbe distans devenit. inde Adormaanem ducem superato Euphrate ad Romanorum provinciam cum sex millibus proficisci iubet: ipse Aborram flumen praeteriens Romanos Nisibim obsidentes repentino adventu op-

οὖν Ἀδορμαάνης πλησίον τοῦ Κιρκησίου γενόμενος καὶ τὸν Εὐφράτην διαβὰς ποταμὸν τὴν Ῥωμαίων γῆν προενομεύσατο· οὐδενὸς δὲ τῇ Περσικῇ ἐνδημίᾳ ἀντιπεριυσταμένου σοφίσματος, ὅπως ἐγκοπὴν προκοπῆς τὰ τῶν βαρβάρων σχοίη κινήματα, ὁ Ἀδορμαάνης ἀφικνεῖται εἰς τὰ περὶ τὴν Ἀντιόχειαν πόνων ἐκτός, τά τε τῶν οἰκοδομημάτων πρὸ τῆς πόλεως κάλλη διαφθείρας, P 76 ὡς ὁ καιρὸς ἐχαρίζετο, ἐπὶ τὴν κοίλην ἀφικνεῖται Συρίαν. πλησίον δ' Ἀπαμείας περιβαλλόμενος χάρακα, καὶ τῶν τῆς πόλεως πρεσβευσαμένων μετὰ δώρων λαμπρῶν λύτρα τε διωμολογηκότων, ὁ μὲν βάρβαρος τῆς ὑποσχέσεως μόνης ἐπεκάμπτετο μέχρι, οἱ δὲ φενακίζονται ἐξαπατηθέντες δόλοις βαρβαρικοῖς. τρίτῃ δὲ ἡμέρᾳ, καὶ τὴν πόλιν ἀνδραποδίζεται. ἐς ὕστερον δὲ καὶ τῷ πυρὶ παραδοὺς εἰς τὴν ἑαυτοῦ ἐπανῆκεν.

11. Ἐπεὶ δὲ Ῥωμαίοις ἀπαίσια τοῦ πολέμου ἐγεγόνει B προαύλια, διηπορεῖτο ὁ τοῦ Ῥωμαϊκοῦ μοναρχῶν, καὶ διεταράττετό τε ἐπὶ τοῖς βαρβαρικοῖς ἐπιτεύγμασιν, ἀσχάλλων τε ἐπὶ τοῖς ἐξ ἀβουλίας περιστοιχίσασιν αὐτὸν ἀτυχήμασιν Ἀκάκιον τὸν Ἀρχελάου ἐς τὴν Νίσιβιν ἔστελλεν ἀποχειροτονήσοντα τῆς στρατηγίας Μαρκιανόν. ὁ μὲν οὖν Μαρκιανὸς χώραν τῷ βασιλικῷ παρεχόμενος δόγματι ἀπολιμπάνει τὴν Νίσιβιν· τοῦ δὲ Ῥωμαϊκοῦ ἐπὶ τὸ Μάρδες γεγονότος, ὁ τοῦ Περσικοῦ βασιλεὺς λαίλαπος δίκην ἐς τὸ Δάρας γεγονὼς καὶ μῆνας ἓξ καταπολεμήσας τὸ πόλισμα, λόφους τε καὶ χάρακα τῇ πόλει περιγραψάμενος, τό τε ὕδωρ μετοχετεύσας τοῦ ἄστεος, πύργους τε ἀντιθέτους ἀν- C

primere meditatur. Adormaanes cum Circesium pervenisset Euphratemque traiecisset, Romanae ditioni populando incommodabat. sed cum Persis irruentibus nullo ingenio occurreretur, quo minus ultra ultraque prodirent, Adormaanes citra laborem Antiochiam usque fertur, pulcherrimaque aedificia suburbana pro tempore diruens, in Coelesyriam vadit, et iuxta Apameam castris munitis, cum cives legatione missa splendidisque muneribus redemptionis pretium se daturos paciscerentur, barbarus promissis tenus flexus barbarica eos fraude ludificatus est: nam die tertio urbem occupavit, et postridie flammis traditam relinquens in Persidem revertit.

11. Quoniam vero belli primordia et quasi praeludia Romanis infelicia contingebant, varias in partes rapere animum et barbaricis successibus conturbari coepit imperator; moerensque ob adversam fortunam, qua propter temeritatem ducis circumdaretur, Acacium Archelai filium Nisibim legat, per quem dignitate exuatur. Marcianus decreto imperatorio cedens Nisibim deserit. Romanis apud Mardes agentibus, Persarum rex haud secus quam procellosus turbo Daram urbem munitissimam invadens, ubi eam mensibus sex oppugnavit aggeribusque et vallo cinxit,

τειχοδομήσας καὶ ἑλεπόλεις περιστησάμενος χειροῦται τὴν πόλιν καὶ λίαν κομιδῇ ἐχυρὰν καθεστῶσαν. τούτων ὁ αὐτοκράτωρ Ἰουστῖνος ἀκηκοώς, καταπλαγεὶς ἐπὶ τῇ ῥύμῃ τῆς συμφορᾶς, οὐ μετὰ πολὺ δὲ καὶ νόσῳ παραφορᾶς βεβλημένος καὶ τὴν ἐς ὕστερον τῶν κακῶν δεδιὼς ἐπικύησιν, ἀναχωχὴν μὲν τοῦ ἐνεστῶτος ἔτους ἐποιεῖτο πρὸς Πέρσας, τῆς νόσου δ' αὐτῷ ἐπιτιθεμένης λίαν ὡς ἔπος εἰπεῖν γεννικῶς, Τιβέριον υἱοθεσίᾳ κοσμήσας καὶ τῆς βασιλείας κοινωνὸν ποιησάμενος ἀνηγόρευσε Καίσα-
D ρα· ἡγεμὼν δ' οὗτος ἐτύγχανεν ὢν τῶν τοῦ βασιλέως σωματοφυλάκων καὶ ὑπασπιστῶν, ὃν κόμητα ἐξκουβιτώρων τῇ συνήθει φωνῇ ἔθος Ῥωμαίοις καλεῖν. παραθήσομαι δὲ καὶ τὰς ὑποθήκας τοῦ αὐτοκράτορος, ἃς Τιβερίῳ τῷ Καίσαρι κατὰ τὸν καιρὸν τῆς ἀναρρήσεως δημηγορῶν παραδέδωκεν, οὐ καλλύνων τὸ τῆς λέξεως ἀκαλλές, οὐδέ τι μεταμορφῶν τὸ μὴ κεκαλλιεπημένον τῆς φράσεως, ἀλλά που γυμνὴν τὴν τῶν ῥημάτων ἔκθεσιν ὑποστορέσω τοῖς ἀφηγήμασιν, ἵνα τῷ ἀναμφιάστῳ καὶ ἀπαραχαράκτῳ
P 77 τῆς λέξεως, ὡς ἔχει φύσεως, τὸ τῶν παρηκολουθηκότων προέλθοι ἀνόθευτον. τῆς τοίνυν συγκλήτου βουλῆς ἐς ἑαυτὸν γενομένης, τοῦ τε ἱερατικοῦ καταλόγου συναθροισθέντος ἅμα τῷ ἐπιστατοῦντι καὶ τὰ τῆς ἐκκλησίας πηδάλια διιθύνοντι, ὁ αὐτοκράτωρ ὥσπερ ἑστὼς ἐπὶ βήματος Τιβερίῳ τάδε παρέθετο. "Ἰδέ, ὁ θεὸς ὁ ἀγαθύνων σε. τοῦτο τὸ σχῆμα ὁ θεός σοι δίδωσιν,

1. παραστησάμενος IP.

et aquam alio derivavit, turresque turribus oppositas construxit, et expugnatorias machinas (quae helepoles dicuntur) adhibuit, tandem sub potestatem subiecit. his nuntiatis, Iustinus imperator calamitatis vi et impetu perculsus, nec multo post mente alienatus, formidansque ne alia insuper mala existerent, praesentis anni indutias cum Persis facit. vitio mentis audacius, ut ita dicam, progrediente, Tiberium honoribus ornandum suscipit, et filium sibi adoptans imperiique consortem allegens Caesarem renuntiat. hic custodum corporis satellitumve imperatoris praefectus erat, quem usitata voce excubitorum comitem Romani appellitant. hoc loco praeceptiones, quas Iustinus Tiberio, sermone ad eum, quo tempore Caesar salutabatur, habito, tradidit, inseremus. dictionis simplicitatem non expoliemus; nec quod minus eleganter prolatum est, in formam aliam commutabimus: sed nuda eius verba his narrationibus intexemus, ut quod inquirendo assecuti sumus et intelleximus, id non elocutione festiviore veluti convestitum aut signo falso adulteratum, sed ut per se et natura sua est, ad posteros sincerum germanumque prodamus. accito igitur senatu et clero una cum principe suo, qui ecclesiae clavum tenebat, imperator ceu pro concione stans Tiberium hisce verbis admonuit. "en, deus beneficium in te confert. haec insignia deus tibi do-

οὐκ ἐγώ. τίμησον αὐτό, ἵνα καὶ τιμηθῇς ὑπ' αὐτοῦ. τίμα τὴν μητέρα σου τήν ποτε γενομένην σου δέσποιναν· οἶδας ὅτι V 188 πρῶτον δοῦλος αὐτῆς ἦς, νῦν δὲ υἱός. μὴ ἐπιχαρῇς αἵμασι, B μὴ κοινωνήσῃς φόνων, μὴ κακὸν ἀντὶ κακοῦ ἀποδῷς, μὴ εἰς ἔχθραν ὁμοιωθῇς ἐμοί. ἐγὼ γὰρ ὡς ἄνθρωπος εἰσωδιάσθην (καὶ γὰρ πταιστὸς ἐγενόμην) καὶ ἀπέλαβον κατὰ τὰς ἁμαρτίας μου. ἀλλὰ δικάσομαι τοῖς ποιήσασί μοι τοῦτο ἐπὶ τοῦ βήματος τοῦ Χριστοῦ. μὴ ἐξεπαιρέτω σε τοῦτο τὸ σχῆμα ὡς ἐμέ. οὕτω πρόσχες πᾶσιν ὡς σεαυτῷ. γνῶθι τί ἦς καὶ τί εἶ νῦν. μὴ ὑπερηφανήσῃς, καὶ οὐχ ἁμαρτάνεις. οἶδας τί ἤμην καὶ τί ἐγενόμην καὶ τί εἰμι. ὅλοι οὗτοι τέκνα σού εἰσι καὶ δοῦλοι. οἶδας ὅτι τῶν σπλάγχνων μου προετίμησά σε. τούτους βλέπων ὅλους τοὺς τῆς πολιτείας βλέπεις. πρόσεχε τῷ στρατιώτῃ σου. μὴ συκοφάντας προσδέξῃ. μὴ εἴπωσί σοί τινες ὅτι ὁ πρὸ σοῦ οὕτως C διεγένετο· ταῦτα γὰρ λέγω ἀφ' οὗ ἔπαθον. οἱ ἔχοντες ἀπολαυέτωσαν αὐτῶν· τοῖς δὲ μὴ ἔχουσι δώρησαι." καὶ μετὰ τὸ γενέσθαι τὴν εὐχὴν παρὰ τοῦ πατριάρχου, καὶ λεχθῆναι παρὰ πάντων τὸ ἀμήν, καὶ πεσεῖν τὸν Καίσαρα εἰς τοὺς πόδας τοῦ βασιλέως, λέγει αὐτῷ ὁ βασιλεὺς "ἐὰν θέλῃς, εἰμί· ἐὰν μὴ θέλῃς, οὐκ εἰμί. ὁ θεὸς ὁ ποιήσας τὸν οὐρανὸν καὶ τὴν γῆν, πάντα ὅσα ἐπελαθόμην εἰπεῖν σοι, αὐτὸς ἐμβάλῃ εἰς τὴν καρδίαν σου." ταῦτα ἐλέχθησαν μηνὶ Δεκεμβρίῳ, ἑβδόμης ἡμέρᾳ ἕκτῃ, ἰν-

4. φόνῳ IP.

nat; quae honora, ut illa vicissim te honorent. matrem tuam (Sophiam Augustam) aliquando dominam tuam venerare. scis te tunc eius esse filium, cuius antea servus fuisti. noli gaudere sanguine, nec caedibus communica. ne malum malo compensa. ne te imitatione mei odiosum redde. ego enim ut homo ingressus sum ad peccandum proclivis, et secundum peccata mea recepi. veruntamen apud tribunal Christi iudicio cum his contendam, qui hoc mihi fecerunt. ne te habitus iste, ut me, extollat. omnibus perinde ut tibimetipsi attende. nosce qui nuper fueris, et qui in praesentiarum sis. ne superbus esto, et non peccabis. quid fuerim et quid factus sim, vides. universi isti et servi et filii tui sunt. nosti quemodo te plus visceribus meis dilexerim. hos cum vides, rem publicam totam vides. studiose prospice militi tuo. obtrectatores aversare. ne eo tibi quidam persuadeant, quia decessor tuus his moribus fuerit: haec enim edoctus malo meo te hortor. quibus suppeditant facultates, iis fruuntor: quibus desunt, tute largitor." deinde cum patriarcha precationis carmen finisset, omnesque subiecissent amen, Tiberiusque ad pedes imperatoris sese prostravisset, ait ei imperator "si volueris, sum, si nolueris, non sum. deus qui creavit coelum et terram, quaecunque tibi oblitus sum dicere, cordi tuo infundat." atque haec mense Decembri, sexta die hebdomadis, indictione nona prolocutus

D δικτιῶνος ἐννάτης. (12) ἐπεὶ δὲ τὰ τῆς διαλαλιᾶς ἀπεπεραιοῦτο τῷ αὐτοκράτορι, ὁ μὲν κρότος παρὰ τῶν ὑπηκόων ἐπήγαγε, καὶ τὰ τῆς εὐφημίας ὥσπερ ἐπομβρίας τινὸς λαβροτέρας χύσιν ἐλάμβανε· τῷ ὄντι γὰρ οὐκ ἀναξιόλογος ἡ χειροτονία τῷ Καίσαρι ἐξηρτύετο. ὁ μὲν οὖν Καῖσαρ αὐτοκρατορικῆς νόμον πληρῶν ἀναγορεύσεως ἐνεχάραττε γράμματα, καὶ ταῦτα τῷ Περσῶν βασιλεῖ παρεπέμπετο. ἦρος δ' ἀρχομένου πρέσβεις ἀπέστελλεν, ἀπεκηρυκεύετό τε τὸν πόλεμον, παγκάλου τινὸς ὀρεγόμενος πράγματος· ἐκεχειρία γὰρ ἡ ἀξίωσις ἦν· οὐδὲν γὰρ τῆς
P 78 εἰρήνης καθέστηκε τιμαλφέστερον τοῖς γε νοῦν ἔχουσι καὶ μεμνημένοις τῆς θνητῆς τε λήξεως τῆς τε πρὸς τὸν βίον βραχυτάτης παρόδου. ἐστρατολόγει δὲ καὶ πλήθη μαχίμων, καὶ τῇ ῥύσει τῆς χρυσῆς διαδόσεως φιλοκινδύνους τὰς τῶν στρατολογουμένων ψυχὰς ἐτεκταίνετο, αἰδοῖ τοῦ μισθώματος τὸ θανατᾶν παρ' αὐτῶν ἐξωνούμενος. ἔσβεσε τοίνυν τῶν βαρβάρων τὴν λύμην τὸ τῆς τοῦ Καίσαρος μεγαλονοίας φιλότιμον, καὶ χαλινοῦνται μὲν οἱ κίνδυνοι, ἀποφλεγμαίνουσι δὲ τὰ δυσχερῆ, ἀνακόπτονται δὲ αἱ κατὰ τὸν πόλεμον συρρεύσασαι συμφοραί, καὶ τὸ κακὸν ἀθρόᾳ προμηθείᾳ τινὶ ἀπόδημον ἐγνωρίζετο. κατὰ τοῦ-
B τον δῆτα τὸν ἐνιαυτὸν στρατηγὸς προχειρίζεται Ἰουστινιανὸς ὁ τοῦ Γερμανοῦ υἱός, τοῖς κορυφαιοτάτοις τῶν ἐν τέλει συναριθμούμενος. ὁ μὲν οὖν στρατηγὸς τὴν πάλαι τῶν στρατευμάτων ἀνάσχετον ἔκταξιν δι' ἐπιμελείας ἠνόρθου, διατυπῶν τὸ ἀτύπωτον καὶ μεταπλάττων πρὸς εὐσχημοσύνην τὸ ἄτακτον. ὁ δ' αὐ-

est. (12) ubi imperator conticuit, subditi plausum dederunt, faustaeque acclamationes tanquam irriguus de coelo imber valide diffusae sunt. vere enim honorem illum Caesar Tiberius merebatur; qui creationis augustalis morem tenens, litteras ad regem Persarum mittit. sed veris initio missis legatis petitisque induciis bellum deprecatur. id erat desiderare rem honestissimam: nihil est enim pace honorabilius apud homines quidem prudentes et conditionis humanae, brevissimorumque spatiorum huius vitae non immemores. delectus interim agebat strenuorum militum, auroque liberaliter distribuendo in eorum animis qui nomina dedissent periculorum despicientiam excitabat, mercedisque reverentia alacritatem moriendi ab ipsis redimebat. Caesaris itaque gloriae studio incensa magnanimitas barbaros iniuriis tam foede inferendis prohibebat, pericula coercebat, odiosa quaeque et gravia imminuebat, calamitates belli tempore confluere solitas retundebat; et omne demum genus incommodorum solida illius providentia exulare cernebatur. eo anno Iustinianus Germani filius, unus de optimatum primoribus, dux deligitur, qui diligentia sua inveteratam exercitus inertiam correxit; quod informe erat, de integro conformavit, quod perturbatum, et confusum, ad de-

τοκράτωρ ἔτι δυνάμεις συνήθροιζε καὶ τὸ συμμαχικὸν ἀπὸ τῶν ἐθνῶν ἠρανίζετο, μεγάλαις χρημάτων ἀποβολαῖς τὰς ἐπιβολὰς τῆς παρατάξεως ἀνανταγωνίστους ἐμπορευόμενος· οἶδε γὰρ χρημάτων ὁλκὴ οἰκονομουμένη μετὰ φρονήσεως καὶ τοῖς προσφαλεῖσι τὴν πρὸς τὸ κρεῖττον ἀνάζευξιν πραγματεύεσθαι. ἐπεὶ δ' ὁ καιρὸς τῆς ἐκεχειρίας ἀνάλωτο καὶ ὁ τῆς ἀνακωχῆς ὅρος Ῥωμαίοις C
τε καὶ Πέρσαις διέσβεστο, ἀφικνεῖται τὸ Περσικὸν πρὸς ἐχόμενα τοῦ Δάρας, εἰς τοῦτο ἰθύντος τοῦ τὰς στρατηγίδας ἡνίας ἰθύνοντος Ταμχοσρώ, ἀνδρὸς παρὰ Πέρσαις μεγατιμίου. στρατοπεδεύονται δὲ κατ' αὐτὸν καὶ Ῥωμαῖοι πλησίον. τῆς δὲ συμ- V 189
πλοκῆς οὐδετέρα δύναμις γέγονεν ἔξαρχος. ἐπὶ πολὺ δὲ βλεπούσης τε καὶ ἀντιβλεπομένης ἑκατέρας ἰσχύος, εἰς λόγους συμβάσεως δρῶσι τὰ μάχιμα· γίνονται τοίνυν σπονδαὶ ἐφ' ᾧ πρὸς τὸ ἕω ἐπὶ χρόνους τρεῖς γαλήνην ἄγειν τὸν πόλεμον καὶ φιλοσοφεῖν τὸ ἀπομαχεῖν, ἐπὶ δὲ τῆς Ἀρμενίας τὴν ἀγωνίαν ἐνδαψιλεύεσθαι. οὐκοῦν ὁ Ῥωμαίων στρατηγὸς Ἀμιδὰν παραμείψας τὴν D
πόλιν ἐν τοῖς τῆς Ἀρμενίας στρατοπεδεύεται κλίμασι. συνείπετο δὲ καὶ ὁ Περσῶν βασιλεύς, καὶ σὺν πλήθει πολλῷ τὸν Εὐφράτην διαπορθμεύεται. ὁπηνίκα δ' ἐξάκουστος γέγονε τῷ Ῥωμαϊκῷ ὁ τῶν Περσῶν βασιλεὺς αὐτουργήσων τὸν πόλεμον, ἔκλυτοι γίνονται τὰς ψυχὰς οἱ Ῥωμαῖοι, καὶ οὐκ ἄπο τοῦ δέοντος· ἡ γὰρ βασιλικὴ ἐνδημία τὴν τῶν προϋπαρξάντων κληρωσαμένη Πέρσαις ἐπίτευξιν πολλὴν τὴν τῆς ἀδρανικῆς ῥοπὴν τοῖς Ῥωμαίοις παρείχετο. διά τοι τοῦτο ἐπί τινος λόφου ὁ τοῦ Ῥωμαϊ-

centem speciem composuit. imperator porro Tiberius adhuc militem et a populis auxilia conquirebat, magnisque pecuniarum impensis efficere conabatur ut suis in hostem incumbentibus nulla vi resisti posset. novit enim grandis pecunia prudenter posita, in quo prius peccatum est, id ad statum meliorem corrigere. postquam ab armis pacta vacatio cessavit et indutiarum tempus exivit, Persae finitima Darae oppidi infestant, ducente eo Tamchosro, viro inter Persas honoratissimo, penes quem exercitus moderamen erat. eodem versus illum Romani castra movent. cumque neutri pugnam ordirentur alterique alteros diu intuerentur, ad extremum ad verba de foedere ineundo ventum est. initur foedus, ita ut Oriens triennium a bello quiete et otio perfruatur, in Armeniam arma effuse transferantur. ergo dux Romanus Amidam urbem praetergressus Armeniae campos ingreditur, quem Persarum rex cum frequentibus copiis secutus, Euphratem eas transducit. ubi Romani regem per se bello praefuturum compererunt, animis ceciderunt, non sane aliter quam decuit. nam cum praesentia illius ad ea quae vellent facile obtinenda Persis multum prodesset, Romanis facultatem quae ipsi optarent efficiendi auferebat. quocirca dux Romanus tumulo conscenso ad circum-

κοῦ στρατηγὸς ἐπιβάς, τό τε ὁπλιτικὸν ἐξ ἐπιπέδου περιστησάμενος, τῶνδε τῶν λόγων ἀπήρξατο.

P 79 13. "Ἡ παροῦσα νῦν ἡμέρα, Ῥωμαῖοι, μεγάλων ἡμῖν ἀγαθῶν ἄρξει, τοῖς ἐμοῖς εἰ πεισθείητε ῥήμασιν. ὁπλίσατέ μοι τὰς ψυχὰς πρὸ τοῦ σώματος· αἱ καρδίαι πρὸ τῶν χειρῶν πολεμείτωσαν. ἕτερος ἑτέρου προκινδυνευέτω, καὶ σώσεσθε. ἄνδρες φιλόσοφοι (φιλοσόφους γὰρ ὑμᾶς ἢ στρατιώτας ἀποκαλῶ· μόνοις γὰρ ὑμῖν ὁ θάνατος ἄσκησις), ἀθάνατον τοῖς βαρβάροις τὴν προθυμίαν ἐνδείξασθε. ἀκατάπληκτοι γίνεσθε τὰς ψυχάς. δοκεῖτε βάλλειν ἢ βάλλεσθαι, ὡς ἐν ἀλλοτρίῳ τῷ σώματι τὰς
B τῶν ἀντιπάλων βολὰς προσιέμενοι. ἔστωσαν μάρτυρες τῆς ὑμῶν ἀρετῆς οἱ πολέμιοι πίπτοντες· διηγείσθωσαν καὶ τεθνηκότες τὰ τρόπαια. ἄνδρες κοινωνοί, καὶ πόνων ἡμῖν κοινωνοὶ καὶ κρότων διὰ τὸν πόλεμον, ἀρετῆς καὶ κακίας ἡ συμπλοκὴ καθέστηκε βάσανος, καὶ διαιτητὴς ἐστι ψυχῶν· ἢ γὰρ τὸ θηλυπρεπὲς τῆς δειλίας ἐξελέγξει, ἢ τῆς εὐτολμίας τὸ ἀρρενωπὸν μετὰ στεφάνων καὶ θριάμβων λαμπρῶν ἀναγορεύσει τὸ τήμερον. μὴ πάθητέ τι φιλοσωμάτου ψυχῆς, τὰ νῶτα τοῖς βαρβάροις παρέ-
C χοντες. ὕπνος τίς ἐστιν ὁ γλυκὺς οὗτος καὶ μεμελετημένος ὑμῖν ὁσημέραι θάνατος· ὕπνος τοῦ μὲν συνήθους τούτου μακρότερος, πρὸς δὲ τὴν μέλλουσαν ἡμέραν βραχύτατος. ἀδοξίαν μετὰ σωτηρίας, ἄνδρες, αἰσχύνεσθε. τοῦτο θάνατός ἐστιν ἀθάνατος, καὶ τάφος κακίας μηδέποτε περικαλύπτων τῆς ἀσχημοσύνης τὸν

fusam in plano suorum multitudinem huiuscemodi verbis concionari aggressus est.

13. "Hodierna lux, Romani, eximiorum bonorum principium nobis futura est, si dictis meis obtemperare volueritis. armatote mihi pectora prius quam corpora; animi ante, quam manus in hostem pugnent. alter pro altero discrimen ne metuat, quodsi faxitis, vitam incolumitatemque retinebitis. viri philosophi (tales enim vos libentius quam milites appellabo: soli quippe vos mortem meditamini), alacritatem barbaris immortalem ostendite. animos imperterritos gerite. existimate vos dare vulnera, non accipere, velut in corporibus alienis plagas hostium excipientes. illorum strages virtutis vestrae testimonium esto. etiam mortui vestros triumphos praedicent. O socii, laborum, inquam, bellicorum et plausuum socii, virtutis et ignaviae explorator animorumque censor conflictus est. aut enim timiditatem femineam hodiernus dies coarguet, aut viris decoram audaciam cum praemiis ac triumphis illustribus palam demonstrabit. ne de corpore servando laborantes hostibus terga vertite. somnus quidam dulcis haec vobis assidue meditata mors est. somnus hoc quidem consueto, et quotidiano diuturnior, si ad diem quam expectamus comparetur, brevissimus. cum incolumi corpore ignominiam erubescite: haec enim mors immortalis est, et sepulcrum quoddam ignaviae, nunquam cooperiens eum qui se dedecore contaminavit. cavete

κληρωσάμενον. μὴ ταραττέτω τοὺς ἀριστέας ὑμᾶς ὁ Περσῶν
βασιλεὺς ἀναλκέστατα πλήθη περιποιούμενος, καὶ μεγαλαυχῶν
καὶ τὰς ὀφρῦς ἀνασπῶν ὑψαυχενιζόμενός τε, καὶ μέχρι τῶν λό-
γων κεκτημένος τὸ φύσημα, οἷον γαῦρον τὸ ἔθνος καὶ σοβαρὸν D
καὶ τῷ κόμπῳ τῆς μεγαληγορίας τὸ κράτος ἐμπορευόμενον. ἀμνη-
μονεῖτε τῶν πρόσθεν ἀτυχημάτων, τῆς ἐπιβολῆς τῶν συμμαχι-
κῶν δυνάμεων λαβόντες ἀνάμνησιν. ἀμνημονεῖτε τῆς πρὶν ἀπο-
τεύξεως, ἣν ὤδινεν ἄνοια στρατηγοῦ, καὶ τῶν ἰθυνομένων ἀτα-
ξία κακῶς ἐμαιεύσατο. οὐδὲν ἀριστεῦσι πέφυκε φοβερόν. τού-
τοις οἷα μὲν χόρτος ἐστὶν ὁ σίδηρος, αἱ δὲ τῶν βελῶν ἀλγηδόνες
ὄρεξις ὑπεκκαίουσα μειζόνων κινδύνων ἐφάπτεσθαι. οὐκοῦν
ἀνιστόρητα τὰ νῶτα τοῖς πολεμίοις φρουρήσατε· ἀμυήτους αὐ-
τοὺς τῶν μεταφρένων ἐνδείξασθε. πηγὰς θριάμβων οἶδε τὰ P 80
τραύματα. δουλαγωγοῦσιν αἱ διαφυγαί, καὶ οὐ σώζουσιν· οὐκ
οἶδε γὰρ κακίας ὑπόθεσις σωτηρίας σώζειν ὑπόσχεσιν. ἀποδύ- V 190
σασθε πρὸ τῶν θωράκων τὰ σώματα, πρὸ τῶν ἀσπίδων τὸ ζῆν.
τοῖς ὅλοις μάχεσθε μέλεσι· μηδὲν ἔστω μέλος τῶν κινδύνων ἀμέ-
τοχον. τῇ συννεύσει τῶν ὅπλων τειχίσατε τὴν παράταξιν, τῇ
συμμίξει τῶν ἵππων τὰς φάλαγγας χαρακώσατε, τῷ συμφώνῳ
τῆς στάσεως στεγανῶν λίθων δίκην οἰκοδομίας ἑαυτοὺς περιφρά-
ξατε. μὴ ἐξαλλέσθω τῆς παλάμης τὰ δόρατα· βάλλετε τῶν βε-
λῶν μὴ στερούμενοι. οὐκ ἔστι Πέρσαις φύσις ἀθάνατος· οὐκ
ἔστι τύχη Μήδοις ἀκίνητος. οὐκ εἰσὶ βαρβάροις χεῖρες ἀκάμα- B
τοι. οὐ πλεονεκτοῦσι Πάρθοι τοῖς μέλεσιν· οὐ διδύμους ἔχουσι

strenuitatem vestram rex Persarum labefactet, qui quas conscripsit copiis imbellissimis sese iactat, supercilium tollit, cervicem erigit, ac verbis tenus insolescit, ut gentis superbia fastuque turgentis inanique magnificorum verborum crepitu potentiam suam venditantis mos est. praeteritos casus obliviscimini; impressiones auxiliariorum recordamini. pristinae infelicitatis memoriam deponite, quam ducis temeritas parturivit, tumultuatio militum quasi quaedam obstetrix eduxit. nihil viris fortibus perhorrescendum accidit, quibus ferrum pro cibo est, et a telis inflicti dolores maiorum discriminum subeundorum desideria incendunt. quapropter curate uti terga vestra hostes ne aspiciant: dorsa vestra iisdem ut mysteria profanis occultate. vulnera sanguine manantia, mihi credite, triumphorum fontes sunt. fuga servitutem, non salutem parit: nescit enim timiditatis argumentum salutis praestare promissum. pro loricis corpora, pro scutis vitam exuite. universis artubus dimicate; membrorum nullum periculo vacet. densatis armis aciem ceu muro communite. equorum constipatione phalangas tanquam vallo cingite. concordi statione ut aedificio e duro lapide vos circumsepite. ne hasta manum fugiat. ne tela non incidentia proiicitote. non est Persarum natura indissolubilis, non fortuna immutabilis, non manus indefessae. non illis

τὰς ψυχάς. οὐκ ἀδαμάντινα τούτοις τὰ σώματα. μυοῦνται καὶ Πέρσαι θανάτου μυστήρια. ἐν τούτῳ δίκαιός ἐστιν ὁ πόλεμος· οὐ γὰρ ἀθανάτους κατὰ θνητῶν ἐπιστράτευσεν. οἱ Ῥωμαῖοι τὴν δίκην ἐμισθώσαντο σύμμαχον, τὴν εἰρήνην καὶ αὖθις ἐπιζητήσαντες. τὸ Μηδικὸν ἀντίθετον ἑαυτῷ τὸ δίκαιον ἐπεστράτευσεν· ἀεὶ γάρ που τὸ εἰρηναῖον βδελύττεται, καὶ οἷα θεὸν ἐπιδέξιον γεραίρει τὸ φιλοπόλεμον. οὐκ ἔστιν ἡμῖν ἐψευσμένη θρησκεία· οὐ νόθους θεοὺς ἡγεμόνας προεστησάμεθα. οὐκ ἔστιν ἡμῖν θεὸς μαστιζόμενος· οὐ γὰρ ἵππον χειροτονοῦμεν
C *εἰς λάτρευμα. οὐ προσκυνοῦμεν θεὸν πρὸς τέφραν μετατιθέμενον, σήμερον φλεγόμενον καὶ μετ᾽ ὀλίγον μηδὲ φαινόμενον. οὐ καπνὸς καὶ ὕλη τὴν θεολογίαν συνίστησιν, ὁ δὲ μαρασμὸς τὴν ψευδωνυμίαν διήλεγξεν. κομᾷ ταῖς εὐθυμίαις ὁ βάρβαρος· ἀλλ᾽ οὐκ οἶδεν εὐπραγία μένειν ἐφ᾽ ἑαυτῆς, ἀδίκων βωμῶν ἐπιβαίνουσα. καὶ τὸ μὴ δίκαιον πολλάκις κρατύνεται, ἀλλὰ καὶ πρὸς φθορὰν μετατίθεται. χωρεῖτε τοιγαροῦν ἀξίως τῆς ὑμετέρας προσηγορίας πρὸς πόλεμον, ἵνα μὴ μετὰ τῶν πραγμάτων ζημιωθῶμεν καὶ τὰ ὀνόματα. μὴ προδῶμεν τὰς συμμάχους*
D *ἀσπίδας, ἀλλ᾽ ὥσπερ ἐρωμένας τινὰς ὡραίας ταύτας περιπτυξώμεθα, καὶ οἷα πατρίδων συνεκδήμων τινῶν τούτων ὑπερμαχήσωμεν. λακωνίσατε συμπλεκόμενοι· ἅπας ἔστω Κυνέγειρος, εἰ καὶ μὴ νηὸς ἐπιβέβηκεν. οὐδὲν τοῦ διαδρᾶναι καθέστηκε θη-*

plura membra quam nobis, non duae animae, non corpora adamantina. et ipsi mortis initiati sunt sacris. in hoc certe iustitiam servat bellum, quod non immortales adversum mortales pugnatum mittit. Romani ius fasque pro praesidio asciverunt, rursus pacem desiderantes: Persae ius fasque ipsis contrarium armis oppugnandum susceperunt. semper enim pacificationem exosi, belli studium velut numen sibi propitium venerantur. non commentitiis sacris imbuti sumus, nec deos adulterinos praesides nobis delegimus. non adoramus deum qui scutica caeditur, nec enim equum divinis honoribus colendum suffragiis constituimus. non concipimus preces deo qui in cineres redigitur, et modo ardet, paulo post nusquam apparet. haud sane fumo et lignis theologia nostra continetur. ipsa huiusmodi rerum tabefactio atque corruptio, quam false divinitatis nomine honorentur, declarat. securissimus animi est barbarus: atqui aras impias scandens felicitas consistere nequit. iniustitia robur saepe validum nanciscitur, sed ad extremum languescit atque interit. quamobrem, ita ut vestrae appellationi consentaneum est, ad certamen aggredimini, ne et res et nomen ipsum a fortitudine deductum perdamus. ne adiutrices peltas aliquando prodamus, sed ut amicas, aetate et forma florentes amplexemur, ac pro iis non secus quam pro peregrinationis nostrae a solo patrio comitibus dimicemus. Lacedaemoniorum exemplum vobis in acie proponite: unusquisque vestrum Cynegirus fiat,

λυκώτερον, οὐδὲ τοῦ ἁλῶναι πέφυκεν ἀπευκτότερον. οὐκοῦν ἢ τεθνάναι προσήκει ἢ νικηφόρους τὰς ἐλπίδας τεκταίνεσθαι. ἐνοπτρίσασθε τὰς νεοφύτους ἐπιστρατείας τοῦ Καίσαρος. οὐδὲν ἀπόλεκτον τοῖς ἀθροίσμασιν ἐγκατέσπαρται, ἀκηλίδωτός ἐστιν ἡ ἔκταξις· οὕτω γὰρ ηὐδόκησε τὸ τοῦ βασιλέως φιλότιμον. χειρουργήσω τοίνυν ὁ δημηγόρος ἐγὼ πρῶτος τὸν πόλεμον. τὰς πάντων χεῖρας τῇ προθυμίᾳ μισθώσομαι, παθεῖν τὸ μὴ παθεῖν P 81 αἰσχυνόμενος. προκόπτει δέ μοι τῶν ῥημάτων ἡ ἔφεσις, καὶ ἡ πρᾶξις τῆς θεωρίας γίνεται πρόδρομος· οἶδε γὰρ ζέσις ψυχῆς καὶ τοῖς τῆς φύσεως θεσμοῖς ἀντιτάττεσθαι. σήμερον ὑμᾶς στρατολογοῦσιν ἄγγελοι, καὶ τὰς τῶν τεθνεώτων ψυχὰς ἀναγράφονται, οὐ μισθὸν ἰσοστάσιον αὐταῖς παρεχόμενοι, ἀλλ' εἰς τὸ ἀπειροπλάσιον ὑπεραίροντες τῇ ὁλκῇ τοῦ δωρήματος. μηδεὶς φιλήδονος τρυφῆς ὀργίων μετεχέτω πολέμου· μηδεὶς μέγα φρονῶν ἐπὶ κτήμασι κοινωνείτω τοῦ ἐγχειρήματος. ἐραστὰς κινδύνων ζητεῖ τὸ μεταίχμιον. ἄγε δή, πέρας τοῖς λόγοις ἐπιθήσωμεν ἔργοις, καὶ πρὸς παράταξιν τὴν θεωρίαν μετασκευάσωμεν."

14. Τῶν τοιούτων τοίνυν κατηχηθέντων ταῖς δυνάμεσι B λόγων, ὀργῶσιν αἱ φάλαγγες πρὸς παράταξιν, καὶ πάντα παV 191 θεῖν ἀσμενίζουσι, καὶ προκινδυνεύειν τῆς ἀρετῆς παροτρύνονται· συνδιετίθεντο γὰρ τὰς ψυχὰς ταῖς τοῦ στρατηγοῦ παραινέ-

quamvis, ut ille, navim non invadat. fuga nihil est effeminatius, neque servitute quidquam aversandum magis. ergo restat ut aut morti occumbere aut spem victoria solari oporteat. novas hasce Caesaris Tiberii expeditiones ut in speculo contemplamini: nihil in iis non selectum reperitur; sine labe est exercitus. sic etenim complacitum est novo imperatori, qui id sibi decori futurum existimavit. itaque ego, orator vester, princeps praelium ciens, alacritate mea omnium manus quasi mercede pacta ad pugnandum obligabo; et hoc ipsum pudori mihi ducam, si patiar me non pati. plura dicendi desiderio proveherer, sed me plura cogitantem dicere actio ipsa antevertens vetat. fervor quippe animi etiam ipsis naturae legibus imperare consuevit. hodie nos angeli in suam militiam conscribunt, oppetentiumque animas in tabulas referunt, non quidem ita praemium par ipsis rependentes, sed magnitudine doni ad innumeros labores perferendos eas exsuscitantes. nemo cui voluptas foeda cordi est, hastam quatiat; nemo deliciarum appetens belli sacris intersit; nemo opibus superbus simul cum caeteris Martem capessat. periculorum contemptores pugna quaerit. verum age, finem orationi factis imponamus, et theoriam ad congressum dimicationemque transferamus."

14. Oratione hac in aures militum illapsa omnium animi ad certamen exardescunt, seseque ad quaevis exhaurienda cupidos atque ad ostentandam in discrimine virtutem concitatos demonstrant, eo scilicet, quo ducis cohortatio vocat, cogitationes et consilia sua accommodantes.

σεσι. τοῦ δὲ Μηδικοῦ ἀκηκοότος τῆς τῶν Ῥωμαίων ἀλκῆς τὴν προαίρεσιν, εὐθετίζεται πρὸς τὸν πόλεμον. καὶ κοσμεῖται μὲν ἵππος καπφαλάροις τε καὶ τοῖς θώραξι, σιδηροφορεῖται δὲ καὶ τὸ μάχιμον. ἐπιβάντες τε τῶν ἵππων συμπεφραγμένῃ τάξει τινὶ
C ἐπῄεσαν ἠρέμα Ῥωμαίοις μετὰ σοβαροῦ τοῦ βαδίσματος. τοίνυν καὶ τοῦ Ῥωμαϊκοῦ φραξαμένου ἤρθη τὰ σημεῖα. ἀτὰρ περιλαλοῦσιν αἱ σάλπιγγες, ἐς ὕψος ἡ κόνις ἐχόρευεν. ὁ δὲ θρύλλος διεχεῖτο πελαγίζων τὸν χῶρον, καὶ τῷ ψόφῳ κυμαίνων τοῦ χρεμετίσματος τῇ τε δονήσει τῶν ὅπλων περιρρεόμενος ἅπασαν εἰκότως φωνὴν μετέβαλλε πρὸς τὸ ἄναρθρον. τὸ μὲν οὖν βάρβαρον ἐπὶ μήκους διατείνει τὴν τάξιν, φαντασίαν ἀπείρου πλήθους ἐν-
D τεῦθεν οἰόμενον ταῖς ἀντιπαλαμωμέναις ποιεῖσθαι δυνάμεσιν· τὸ δὲ Ῥωμαϊκὸν βαθεῖαν τὴν σύνταξιν ποιησάμενον, πυκνότητι βρίθουσαν, ὡς μόνον οὐχὶ δοκεῖν στερεμνίαν καὶ ἀντίτυπον σιδήρῳ πατταλευθεῖσαν καὶ ἀντικεχαλκευμένην ἑστάναι παράταξιν, δίκην ἀνδριάντων ἀκινήτως ἐχόντων καὶ μόνον τοῖς σχήμασι δοκούντων πολέμων ὀρέγεσθαι, κατέπληττέ τε τῇ θέᾳ τὸ βάρβαρον, ὡς ὑποσαίνεσθαι διὰ τὴν ὄψιν ἐντεῦθεν τὰς τῶν Μήδων ψυχὰς πρὸς τὰ μαλθακώτερα τῆς ἀνανδρίας κινήματα. οἱ μὲν
P 82 οὖν Βαβυλώνιοι κατὰ τῶν Ῥωμαϊκῶν ἀθροισμάτων ἐπετοξάζοντο, ὡς τὰς ἡλιακὰς ἀποκρύπτειν ἀκτῖνας τῇ ἐκπομπῇ τῶν βελῶν, καὶ τῇ ῥαγδαίᾳ τῶν δονάκων ἐκχύσει τέγος ὑπόπτερον ἐν τῷ ὑπὲρ κεφαλῆς ἀέρι κατεστορέσθαι δοκεῖν, τῇ πτήσει τῶν ἀκοντίων σχεδιαζόμενον. Ῥωμαῖοι δὲ πρὸς τὴν κατασυστάδην συμπλοκὴν ἐνεχείρησαν, δόρασί τε καὶ ξίφεσι τὸ βάρβαρον ἀμυνόμενοι, τῆς

Persae Romanorum fortiter concurrendi ardorem intelligentes certamini se aptant. „et equites quidem galeis ac thoracibus, pedites ferro instruuntur. equestris acies undique communita sensim in Romanos insolentius graditur. Romani contra obarmati signa sustollunt. clangunt tubae, stat pulvere coelum; ingeminat tota regione diffusus clamor immensus, strepituque hinnientium equorum et armorum concussorum sonitu tanquam fluctibus intermistus atque confusus merito auribus articulate percipi nil sinit. barbari suos in longum disponunt, rati hoc modo adversariis multitudinem infinitam visum iri. Romani aciem latam ipsaque densitate firmam struunt, ut tantum non solida ad vim omnem constanter repellendam ferreis fixa clavis et aenea plane acies ex adverso stare crederetur, instar statuarum immobilium soloque habitu et figura Martem spirantium. stupere spectaculo barbari, sic ut hinc motus parum viriles eorum corda sentiscerent. crebras igitur sagittas in Romanos iaciunt, adeo ut coelum umbra obtegeretur, et arundinum effusarum volatu rapidissimo, cristae de galeis subito excussae per aërem ferri cernerentur. Romani cominus pugnare instituentes, hastisque et gladiis

ἐπιφορᾶς τῶν βελῶν τὴν ἐπιβολὴν διατέμνοντες. ἐντεῦθέν τε ἐκλύτους τῶν σοφισμάτων τοὺς ἀντικαθεστῶτας διατιθέμενοι προτερεύουσιν εἰς τὸν πόλεμον. τοιγαροῦν ἀξιολογωτάτης Ῥωμαίοις τε καὶ Πάρθοις γενομένης τῆς μάχης, τῆς τε Περσικῆς B *παραλυθείσης ἐκτάξεως διὰ τὸ μὴ πρὸς βάθος συνεστάναι τὸ στῖφος, οὐραγούσης τε δυνάμεως διηπορημένης τῆς Βαβυλωνίας παρασκευῆς, τοῦ ἀντερείδοντος μὴ ὑπόντος, εἶτα ἐπιβριθούσης τῆς ἀντιθέτου δυνάμεως, πρὸς ὄλεθρον εἶδε τὸ βάρβαρον, ἀποκλίνει τε πρὸς φυγήν. καὶ μειοῦνται μὲν Πέρσαι τὰ τῶν ἐναντίων ἐλπίδων, παιδεύονται δὲ τῷ παραδείγματι μὴ μέγα φρονεῖν ἐπὶ τοῖς ἀδικήμασιν. οἱ μὲν οὖν Βαβυλώνιοι ᾗ ποδῶν εἶχον ἀπεδίδρασκον ἡττηθέντες, Ῥωμαῖοι δ' ἐχόμενοι τῆς ἐπιθέσεως* C *τῶν κακῶν τοῖς Πάρθοις πεῖραν ἐδίδοσαν. οὐ μὴν ἀλλὰ πρὸς ἐπὶ τούτοις καὶ τὸν Περσικὸν ληΐζονται χάρακα, τά τε σκηνοπήγια τοῦ βασιλέως προενομεύσαντο, καὶ πᾶσαν τὴν ἀποσκευὴν λαφυραγωγοῦνται λαμπρῶς. τῶν τε ἐλεφάντων κρατήσαντες ἅμα τοῖς σκύλοις τοῖς Περσικοῖς παραπέμπουσι πρὸς τὸν Καίσαρα. ἐπεὶ δ' ἡττήθη ὁ τῶν Περσῶν βασιλεὺς καὶ τὴν ἀνάζευξιν οἴκαδε ἐπονείδιστον ἐπεποίητο, ἐπὶ τὴν Μελιτηνὴν γεγονὼς ἐνεπίμπρα τὴν ὥραν τοῦ ἄστεος, ἄφρακτον οὖσαν εὑρὼν ἠρεμίας τε πάσης κατάκομον. Εὐφράτην τε διαβὰς διὰ τῆς Ἀρζανηνῆς τὴν ἀναχώρησιν ἐποιήσατο, νόμῳ τὴν αἰσχύνην στηλιτεύσας τοῦ ἀτυχήματος· θεσμοθετεῖ γὰρ μὴ τὰς ἐπὶ πόλεμον ἐξόδους προσήκειν ἐς τὸ λοιπὸν βασιλέα Περσῶν ἐμπορεύεσθαι.*

rem gerentes, violentos telorum iactus ab se prohibent: itaque hostium vafritie dissipata priores in pugna partes obtinent. praelio igitur inprimis memorabili inter hasce duas gentes edito, Persicoque agmine, quia quadratum ac densum non erat, disiecto, et extremis non instructis, nec habentibus quo reniterentur atque obsisterent, cum et hostis a fronte vehementius urgeret, videntes iam actum esse, ad fugam efferuntur; ac spe melioris eventus delusa, praesenti exemplo de maleficiis et iniuriis ante illatis non sibi placere discunt. Persae victi superatique, quantum pedibus valent, in fugam se conferunt; quos per vestigia inhaerentes Romani male mactant. quin etiam castra eorum exinaniunt, et tentorium regis diripientes, omniaque impedimenta libere ac palam auferentes; elephantum ibi repertum cum ornamentis Persicis ad Caesarem mittunt. victus Persarum rex et cum turpitudine abscedens, Melitenen urbem pulcherrimam, custodibus vacantem et quiete securissimam, in itinere incendit, traiectoque Euphrate per Arzanenam regionem reversus, lege lata velut in columna inscriptam cladis suae ignominiam omnibus prodit, tulit autem ut ne quis de caetero Persarum rex Romanis arma inferre vellet.

D 15. Οὕτω μὲν οὖν τῷ νόμῳ θριαμβεύσας ὁ τῶν Περσῶν V 192 βασιλεὺς τὸ ἀπαίσιον, διηπορεῖτο ὅ τι καὶ πράξειεν. τὸ δὲ Ῥωμαϊκὸν ταῖς Περσικαῖς συνεπετίθετο συμφοραῖς, καὶ πρὸς τὰ ἐνδόμυχα τῆς Βαβυλωνίας ἐχώρησε, κεραΐζεταί τε καὶ περιτέμνεται πάντα τὰ ἐν ποσί, καὶ τὰ ἐντυγχάνοντα τῆς διαφθορᾶς ἐγίνετο παρανάλωμα. τῆς τοίνυν Ὑρκανικῆς θαλάττης ἐπιβάται γενόμενοι, πλεῖστά τε δράσαντες καὶ χειρουργήσαντες τοῖς Πάρθοις ἀπαίσια, εἰς τὴν ἑαυτῶν οὐκ ἀνέζευξαν· χειμῶνος γὰρ ὥρα P 83 τοῖς πράγμασι συνεκύρησε, καὶ τὰ τῶν ἀτυχημάτων τῇ Περσίδι κατελιπαίνετο. ἦρος δ' ἐνδημήσαντος ἐπανῆκον Ῥωμαῖοι, ἐπιφερόμενοι καὶ τὴν ἀνδραγαθίαν συνέκδημον. οἱ μὲν οὖν Μῆδοι τὰ συμβεβηκότα φέρειν οὐκ ἔχοντες εἰς τὸν βασιλέα τὸν σφῶν αὐτῶν γυμνῇ τῇ κεφαλῇ ἐβλασφήμουν ἀσχάλλοντες· παρελύπει γὰρ αὐτοὺς ἐς τὰ μάλιστα ἡ τοῦ πολέμου τριβὴ καὶ τὰ εἰς ὕστερον ἐλπιζόμενα δυσχερῆ. οὐ γὰρ ἔχουσι Πέρσαι ἐκ πρυτανείου σιτήσεις, καθάπερ Ῥωμαῖοι ἰόντες εἰς πόλεμον· ἀλλ' οὐδὲ κατὰ κώμας τε καὶ ἀγροὺς συναγείρονται· ἀλλ' ἐστὶ νόμος αὐταρκείας αὐτοῖς τὰ παρὰ τοῦ βασιλέως κατὰ τὸ εἰωθὸς διανεμόμενα, καὶ εἰς ὅσα ἀποζῆν οἰκονομοῦσι τὰ παρεχόμενα, καὶ διατρέφεσθαι B ἐντεῦθεν καταναγκάζονται ἅμα τοῖς κτήνεσι, μέχρις ἂν ὅτου ἐς τὴν ἀλλοτρίαν ἐμβάλωσι. καὶ οὖν ὁ τοῦ Περσικοῦ βασιλεὺς τὰς στάσεις τοῦ ὁπλιτικοῦ δεδιὼς διενοήθη ἐς λόγους περὶ τῆς εἰρήνης κοινολογήσασθαι Τεβερίῳ τῷ Καίσαρι. ὁ δὲ Καῖσαρ ταῦτα πυθόμενος ἐς διαλλαγὰς προϊέναι διέγνω. ἐκπέμπει γοῦν τοὺς περὶ συμβάσεως λόγους δυνατοὺς καθιδρύσασθαι κεχειροτο-

15. Hac lege infeliciter triumphans Persarum rex, quid consilii caperet nesciebat, cum Romani Persicas calamitates adaugentes ad interiora penetrant, et proxima quaeque devastant ac disperdunt, occurrentiaque disperditionis additamentum faciunt. conscenso porro Hyrcano mari, ubi damna Persis quam plurima dederunt, hieme oppressi in sua non redierunt. Persidis ergo clades cumulabantur. vere ipso Romani comite fortitudine in ditionem suam se recipiunt. Persae eventorum impatientes aperto capite regi suo indignabundi convitiantur, mirifice siquidem eos cruciabat tantum tempus in armis consumptum, et quas adhuc metuebant miseriae cruciabant. nec enim Persae Romanorum instituto e prytaneo annonam capiunt, quoties militatum eunt; neque ex agris et vicis conscribuntur: verum quadam frugalitatis lege apud eos rex illam distribuere solitus est, qua ad vitam quomodocunque sustentandam utuntur. hinc ipsi et iumenta vivere coguntur, donec aliena forte populabundi invaserint. quapropter seditionem a militibus timens Persarum rex cum Tiberio de pace agere decrevit. quo audito Tiberius et ipse ad rerum compositionem descendens legat paci faciendae

νηκὼς πρεσβευτὰς Ἰωάννην καὶ Πέτρον, ἐν τῇ κορυφαίᾳ τῆς συγκλήτου βουλῆς τελοῦντας ἀξίᾳ (πατρίκιοι δ' ἄρα ὄντες ἐτύγχανον), Θεόδωρόν τε τῇ μαγιστερίᾳ ἀρχῇ παρὰ Ῥωμαίοις τιμώμενόν τε καὶ γεραιρόμενον. ναὶ μὴν καὶ Χοσρόης Σαρναχοργάνην, C ἄνδρα τῇ Περσικῇ πολιτείᾳ διὰ τὴν ἀξίαν ἀπόβλεπτον, πρὸς ἑτέροις ἀξιολογωτάτοις ἀνδράσι, τῷ πολέμῳ δι' αὐτῶν παραδοὺς τὴν ἀνάπαυλαν. συστάσης τοίνυν περὶ τὴν Ἀρμενίαν κατ' ἐκεῖνο καιροῦ καρτερᾶς μάχης Ῥωμαίοις τε καὶ Πάρθοις Ταμχοσρῷ ἐφεστηκότος τῆς Βαβυλωνίας δυνάμεως Ἰουστινιανοῦ τε τῆς Ῥωμαϊκῆς ἐξηγουμένου πληθύος, γίνεται κατόπιν τὸ Ῥωμαϊκὸν τῆς προτέρας εὐκλείας. διά τοι τοῦτο ἀπειρήκασι Μῆδοι τῶν εἰρηναίων σπονδῶν, καὶ πάλιν αὐτοῖς ἀναζωπυροῦται τὸ φιλοπόλεμον, μετριοπαθεῖν ἐπὶ τοῖς ἔναγχος οὐ χωρήσαντες ἐπιτεύγμασιν. οἱ μὲν οὖν πρέσβεις μέχρι λόγων τὰ τοῦ σκοποῦ διανύσαντες χωροῦσι D πρὸς τὰ οἴκοι, ὀρφανὰς τὰς πρεσβείας τῆς εἰρήνης καταλείψαντες· Τιβέριος δ' ὁ Καῖσαρ τῶν οὕτω συντετυχηκότων αὐτῷ Μαυρίκιον στρατηγὸν προστησάμενος, τότε δὴ τῶν σωματοφυλάκων τοῦ βασιλέως ἡγούμενον, ἐν τοῖς κλίμασι τῆς Ἀρμενίας ἐξέπεμπεν. ὁ δὲ τοῦ βαρβαρικοῦ Σαρναχοργάνης στρατίαρχος, ἔτι τοῦ χρόνου τῶν σπονδῶν ἐνδαψιλευομένου τῶν περὶ τὴν ἕω προελθουσῶν Ῥωμαίοις τε καὶ Μήδοις, παρασπονδήσας κατὰ Κωνσταντίνης καὶ τῆς Θεοδοσίου πόλεως τὸ τάχος ἀπέστελλεν. ὁ μὲν οὖν στρατηγὸς τῶν Χαλδαίων τὴν δύναμιν ἀναλαβόμενος τὰ περὶ τὴν Κωνσταντῖναν καὶ τὴν Θεοδοσίου πόλιν ἐλυμαίνετο. Ταμχοσρῷ τῶν μὲν ἐν Ἀρμενίᾳ Περσικῶν στρατευμάτων τὴν ἡγεμονίαν ἠφίετο, ὅτε που νῦν τὰς συνελθούσας δυνάμεις Ῥω-

idoneos, viros patricios et senatus principes, Ioannem et Petrum, praeterea Theodorum, qui ob dignitatem magistri, quam gerebat, apud Romanos in honore ac veneratione erat. Chosroes item praeter alios amplissimos viros Sarnachorganen inter Persas clarissimum, qui bello pausam darent. per id tempus atroci praelio inter Persas Romanosque, illic Tamchosro, hic Iustiniano duce, in Armenia perpetrato, Romanorumque gloria priore obscurata, Persae recenti fortuna ebrii resuscitata bellandi aviditate foedus recusant. quare legati verborum tenus voti compotes, unde venerant redierunt, legationemque a pace desertam et orbam reliquerunt. Tiberius Caesar in hisce eventibus Mauricium, tum praetorianorum praefectum, praetorem ab se creatum in Armeniam transmittit. Sarnachorganes autem barbarorum ductor foedus super Oriente inter Persas et Romanos in triennium percussum perfidiose rumpit, festinatoque ad Constantinam et Theodosiopolim copias mittit, quae effusa in circuitu populatione omnia miscent. Tamchosro ubi se Romanis multitudine longe inferiorem cognovit, praefectura Persici in

μαίων πολλῷ πλείους τῶν οἰκείων οὔσας διέγνωκε· καὶ τὴν Ἀρμενίαν ἀπολιπὼν τό τε Κιθαρίζων τὸ Ῥωμαίων φρούριον παραμείψας, ἐπιπίπτει χωρίοις τε καὶ κώμαις πλησίον Ἀμιδῆς V 193 P 84 γινόμενος. εἶτα διὰ τῆς Ἀρζανηνῆς εἰσβαλὼν ἐχώρει εἰς τὰ οἴκοι. ὁ δὲ Μαυρίκιος ὁ τοῦ Ῥωμαϊκοῦ στρατηγὸς τοὺς βαρβάρους καταλιπόντας τὴν Ἀρμενίαν θεώμενος τά τε εἰς τὴν ἑῴαν κείρειν διαχειρήσαντας, ἄρας πανστρατιᾷ τῇ Περσῶν ἐνεδήμησε χώρᾳ, θέρμης τε τῷ σώματι ἐπιγενομένης αὐτῷ καρτερᾶς εἴχετο τῶν πόνων νοσηλευόμενος. ἐμβαλόντες οὖν τῇ Ἀρζανηνῇ οἱ Ῥωμαῖοι, καὶ οὐκ ὄντος τοῦ ἀπαμύνοντος, τὸ Ἀφούμων, οὕτω καλούμενον φρούριον, ἐρυμνότατον ὂν παρεστήσαντο, φρούριά τε ἕτερα κατεσκάψαντο ἄττα, φόνον τε πολὺν τῇ Περσῶν πολιτείᾳ ἐνεπορεύσαντο. ζωγρήσαντές τε τοῦ Περσικοῦ ἐνενήκοντα πρὸς ταῖς δέκα χιλιάσι, τούτων τὴν τρίτην ἀπόμοιραν Μαυρικίῳ τῷ Ῥωμαίων στρατηγῷ οἱ τοῦ ὁπλιτικοῦ δωρησάμενοι, οὐκ ἀνήκεστα τοῦ πολέμου τὰ ἐπίχειρα ἐπεποίηντο. ὁ μὲν οὖν στρατηγὸς τῶν ζωγρηθέντων τὴν ἐνδημίαν παρεδήλου τῷ Καίσαρι, ὁ δὲ Καῖσαρ ἀνὰ τὴν Κύπρον τὴν λείαν διέχεεν.

B 16. Οὕτω τοιγαροῦν τῆς Ἀρζανηνῆς ὑπὸ τοῦ Ῥωμαϊκοῦ δόρατος παθούσης κακῶς μεταβαίνει ὁ στρατηγός, καὶ τοῖς τῆς Ἀραβίας χωρίοις ἐνέβαλεν οὐ πόρρω τῆς Νίσιβι ἱδρυμένοις ἐπιτομώτατα. εἶτα μέχρι τοῦ Τίγριδος καταστρεψάμενος ποταμοῦ, ἐς τὸ ἀντιπέρας τὸν Κοὺρς καὶ τὸν Ῥωμανὸν ἐξεπέμπετο τὴν πολεμίαν ληΐζοντας ἅπασαν· αὐτὸς δὲ τὸ Σιγγαρὼν φρούριον κα-

6. θείρειν IP.

Armenia exercitus dimissa ipsaque Armenia relicta, Citharizum Romanorum arcem praetergressus, locis et vicis iuxta Amidam direptionem infert. deinde per Arzanenam praedabundus domum discedit. Mauricius dux barbaros Armenia egressos et Orientem pervastare aggressos cognoscens, totis copiis in Persidem ruit, et ex calore immodico morbum ac dolorem nactus est. irruptione igitur in Arzanenam facta, Romani, quia deerat qui vim arceret ac propulsaret, Aphumos castellum natura et operibus firmissimum occupant, aliaque insuper castella evertunt, multaque strage in Persas debacchantur, et captis decem millibus ac nonaginta, tertiam partem Mauricio, honesta belli praemia offerunt. de captivis imperatorem Mauricius certiorem facit, a quo per Cyprum distribuuntur.

16. Sic itaque Arzanena Romanorum armis male mulcata, dux inde excedens Arabiae loca, non procul a Nisibi, summo velut compendio incursat. deinde usque ad Tigrim vastitate illata, Cursium et Romanum trans flumen mittit, qui hostium regionem depraedentur, ipse Singaro castello subacto, quoniam hiems appetebat, cum copiis in hiberna

ταστρεψάμενος, ἐπεὶ χειμῶνος ὥρα παρέκυπτε, τὰς δυνάμεις
ἀναλαβόμενος τοῖς Ῥωμαϊκοῖς ἐνεδήμησε. κατὰ τοῦτον δῆτα C
τὸν χρόνον ἀπέσκλη ὑπὸ τῆς νόσου Ἰουστῖνος ὁ τοῦ Ῥωμαϊκοῦ
στρατηγός, μεγάλαις τῶν βεβιωμένων αὐτῷ ἐντετυχηκὼς ἀντι-
δόσεσιν. ἀπόφοιτος γοῦν τῶν ἐντεῦθεν ὅσον οὔπω γενόμενος,
κύριον τῆς μοναρχίας συνίστησι Τιβέριον τὸν αὐτοκράτορα, ἄν-
δρα πρᾶον ὁμοῦ καὶ φιλάνθρωπον, κρείττονά τε λήμματος καὶ
χρημάτων ἀφρόντιδα, τοῦτο μόνον εὐδαιμονίαν ἡγούμενον, τὸ
τεθηλέναι τε καὶ ἐς μέγα πλούτου κομᾶν τὸ ὑπήκοον, τὴν κοινὴν
τῶν ἀνθρώπων μακαριότητα πάγκαλον καὶ ἀσυλότατον θησαυ- D
ρὸν λογιζόμενον· ὃς τὸν ὄγκον τῆς τυραννίδος μισήσας, εἵλετο
συμβασιλεύειν αὐτῷ τὸ ὑπήκοον ἢ τοὺς ἰθυνομένους τυραννικώ-
τερον ἀνδραποδίζεσθαι, πατὴρ ἐθέλων ἢ δεσπότης ὑπὸ τῶν
ὑπηκόων ἀναγορεύεσθαι. ἐπεὶ δ' ἀκαπηλεύτως αὐτῷ τὸ τῆς ἐξου-
σίας οἰακίζετο σκάφος, εἰκότως καὶ ὁ πόλεμος μετὰ τῶν πραγμά-
των τὴν πρὸς τὸ κρεῖττον μεταβολὴν ἐκληρώσατο.

Ἦρος δ' ἀρχομένου νόσῳ σαγηνευθεὶς Χοσρόης ὁ τῶν
Περσῶν βασιλεὺς τὸν τῇδε κατεστρέψατο βίον, διάδοχον προστη-
σάμενος Ὁρμίσδαν τὸν υἱόν, ἄνδρα τῇ χαλεπότητι τὴν πατρῴαν
ὑπερηκοντικότα τῶν τρόπων ἀνοσιότητα· ἦν γὰρ βίαιός τε καὶ P 85
τοῦ πλείονος ἐραστὴς ἀκόρεστος, ὃς ἐν οὐδεμιᾷ τὸ δίκαιον μοίρᾳ
τιθέμενος, ἀπάτῃ τε ἡδόμενος καὶ τῷ ψεύδει περιρρεόμενος,
τῶν πολέμων, οὐ τῆς εἰρήνης ἐγλίχετο. δυσμενέστατός τε
πρὸς τὸ ὑπήκοον γεγονώς, οὓς μὲν τῶν δυνατωτάτων ποδοκάκῃ
καὶ δεσμοῖς ἐς τὸ ἀεὶ καθυπέβαλλεν, οὓς δὲ ξίφει διέτεμνεν,

21. ἀκορέστατος ἐν ΙΡ.

concedit. hoc tempore Iustinus Romanorum imperator tabe confectus, moriens, magnam rerum in vita gestarum mercedem est adeptus. iam iam igitur hinc demigraturus, Tiberium Augustum et monarcham declaravit, virum mitem et humanum, a muneribus accipiendis alienum, et vacuitatem a pecuniaria sollicitudine solam felicitatem interpretantem, florereque et crescere opibus subditos, communem hominum beatitudinem honestissimumque et indepraedabilem thesaurum reputantem. qui regni fastum exosus, maluit secum regnare subiectos, quam quibus ipse praeesset, per tyrannicam importunitatem servitute multari, et pater magis a suis civibus quam dominus audire. et quoniam navigium rei publicae animo sincero gubernabat, non iniuria belli melior evasit conditio.

Veris autem principio Chosroes Persarum rex morbo irretitus vitae modum imposuit, Hormisda filio successore appellato, qui morum saevitia paternam impietatem superavit, homo violentus ac furens et inexplebilis avaritiae. qui nullam iusti rationem ducens gaudebat fallaciis et scatebat mendaciis, nec ex pace sed bello voluptatem capiebat. ac

ἐνίους παρέπεμπε ταῖς λαγόσι τοῦ Τίγριδος, καὶ τάφος ἦν ὁ
ποταμὸς ἀναμφίαστος· οὐ γὰρ ἀδημοσίευτος ἐτύγχανεν ὢν τῶν
παρὰ τοῦ βασιλέως παραπεμπομένων ἐς θάνατον. χρηματισθῆ-
ναι γὰρ τὸν Ὁρμίσδαν διὰ τῶν μάγων φασὶν ὑπὸ τῶν ὑπηκόων
B καταστασιασθέντα ἀποβολὴν τοῦ κράτους ποιήσασθαι, ἐπονει-
δίστως τε καταθέσθαι τῆς ἐξουσίας ὁμοῦ καὶ τῆς βασιλείας τοὺς
οἴακας. δείλαιοι τῆς ἀσεβείας οἱ τούτοις πειθήνιοι· ἃ γὰρ οὐκ
ἤμελλε συμβαίνειν ἴσως τοῖς πράγμασι, πολλάκις τερατολογοῦσι
δαιμόνια, ἵνα δέει τῆς τούτων προαγορεύσεως σχοίη που πάντως
συμπέρασμα τῶν χρησμολογουσῶν ἀνοσίων δυνάμεων τὰ βουλή-
V 194 ματα τῷ τῆς πονηρίας πανουργικωτάτῳ σοφίσματι. ἐντεῦθεν
γὰρ ἐπιτίθησι καὶ πρὸς τὸ πλῆθος αὐτὸ Ὁρμίσδας τὴν μάχαιραν,
καὶ διαφθείρας δέει τοῦ μέλλοντος ἐκ τοῦ πλήθους χιλιάδας πολ-
λὰς ἀπεθησαύριζεν ἑαυτῷ παρὰ τῶν ὑπηκόων δυσμένειαν ἀδιάλ-
λακτον. ἀπεδεκάτου δὲ καὶ τὰς στρατιωτικὰς ἐπιδόσεις, καὶ
πρὸς κινδύνους μεγάλους χωρεῖν τὸ ὁπλιτικὸν κατηνάγκαζεν, ὅπως
τῇ διαφθορᾷ τῆς Βαβυλωνίας δυνάμεως ἀστασίαστον αὐτῷ ὁ
C βασίλειος θρόνος σχοίη τὴν ἵδρυσιν. (17) περιβαλόμενος γοῦν
ὁ Ὁρμίσδας τὸ τῶν τυράννων διάδημα περιαυτίζεταί τε καὶ αὐ-
θαδίζεται, καὶ περικείρει τὸ εἰωθός, τὰ τῆς ἀναρρήσεως σή-
μαντρα ἀποστέλλειν ὥσπερ οὐκ ἀξιῶν Τιβερίῳ τῷ αὐτοκράτορι.
ὁ μὲν οὖν αὐτοκράτωρ ἀποκηρυκεύεται πρὸς Ὁρμίσδαν τὸν πόλε-
μον, τὴν εἰρήνην ἐν ἴσῃ μοίρᾳ ἑκατέροις γενέσθαι ἐξαιτούμενος·

malevolentissimus in subditos, potentissimorum quosdam aeternis vinculis ac cippo mandabat, quosdam gladio trucidabat, nonnullos in Tigrim demergebat, eratque sepulcrum fluvius quod non indueretur aut cooperiret: neque enim ab rege iniectos non publicabat. fertur autem Hormisdae responsum ab ariolis, ipsum seditione subiectorum adversus se excitata oppressum imperium amissurum, et cum probro potestatem atque gubernacula regni positurum. miseri et impii mortales, qui his auscultant. quae namque re ipsa forsitan non evenient, saepe ut monstra daemones praedicunt, ut propter huiuscemodi vaticiniorum formidinem consilia improbissimorum spirituum vaferrima calliditate meditata effectum sortiantur. hinc adeo factum ut in vulgus ferro saeviret Hormisdas, et futurorum metu perculsus multisque millibus de populo iugulatis inexpiabile omnium in se odium accenderet. praeterea commeatum restringens, militem ingentir adire pericula compellebat, ut militia Persica attrita et imminuta, thronus sibi regius nulla seditione concussam stabilitatem retineret. (17) suscepto igitur diademate regio Hormisdas superbia et contumacia elatus consuetudinem significandae inaugurationis negligit, ut qui Tiberium honore hoc non dignaretur. Tiberius illi bellum renuntiat, orans uti pax aeque ab utraque parte coleretur. Hormisdas legationem insolenti fastigio aspernatus, aperte Ro-

ὁ δ' ἐπὶ τῇ πρεσβείᾳ καταγαυρούμενος ἠξίου φορολογεῖσθαι ἐς τὸ φανερὸν τοὺς Ῥωμαίους, Ἀρμενίους τε καὶ Ἴβηρας ἐν ὑπηκόοις τελεῖν, Ῥωμαίων τοῦτο παρεχομένων αὐτῷ, τό τε Δάρας μὴ ἐπιζητεῖσθαι λοιπὸν ὑπὸ τοῦ Καίσαρος, καίτοι Χοσρόου τοῦ πατρὸς ἐπὶ τοῖς ἴσοις βουληθέντος τὰς διαλλαγὰς ἀντιδοῦναι τῷ Καίσαρι, τό τε Δάρας οὐκ ἀπαξιώσαντος ἀποκαταστῆσαι τῇ τῶν Ῥωμαίων ἀρχῇ. ἐπεὶ δὲ τὰ τῆς ἀλαζονείας Ὁρμίσδου καταφανῆ Τιβερίῳ τῷ αὐτοκράτορι γέγονε, θέρους ἐπιγενομένου πάλιν Μαυρίκιος τὰς δυνάμεις ἀθροίσας ἐνδημεῖ τῇ Περσίδι, ἐς P 86 τὸ ἀντιπέρας τοῦ Τίγριδος Ῥωμανόν τε καὶ Θεοδώρικον, ναὶ μὴν καὶ Μαρτῖνον πεπομφώς, τὰ ἐνδόμυχα τῆς Μηδικῆς κατασκάψοντας. οἱ μὲν οὖν εἰσβαλόντες ἅμα τῇ τοῦ στρατοπέδου πληθύϊ, καὶ τῶν Περσῶν ληϊσάμενοι τὸ γόνιμόν τε καὶ εὐθαλέστατον, καὶ πᾶσαν τὴν τοῦ θέρους ὥραν τοῖς Περσικοῖς ἐνδιατρίψαντες φόνοις, τὰ τῶν Μήδων ἔκειρόν τε καὶ διωλόθρευον λίαν ἐγκρατῶς. ὁ δὲ Ῥωμαίων ἡγούμενος χειμῶνος ἐπελθόντος εἰς τὴν Καππαδοκῶν Καισάρειαν γίνεται. θέρους δὲ περιιόντος αὖ- B θις κατὰ τὴν ἑῴαν ἀφίκετο εἴς τε Κιρκήσιον πόλισμα Ῥωμαίων πανστρατιᾷ. εἶτα διὰ τῆς ἐρήμου τὸ λοιπὸν τῆς Ἀραβίας εἰς τὴν Βαβυλωνίαν ἠπείγετο γῆν ἀφικέσθαι, εἶτα τὸν πόλεμον παρακλέψαι τῇ ἀγχινοίᾳ τοῦ ἐγχειρήματος. συνείπετο δὲ τούτῳ ὁ τῶν νομάδων βαρβάρων ἡγούμενος, Ἀλαμούνδαρος ὄνομα αὐτῷ· ὅν φασι κατάδηλον τῷ Περσῶν βασιλεῖ τὴν τῶν Ῥωμαίων ἐπιστασίαν ποιήσασθαι· ἀπιστότατον γὰρ καὶ ἀλλοπρόσαλλον τὸ Σαρακηνικὸν φῦλον καθέστηκε, πάγιόν τε τὸν νοῦν καὶ τὴν γνώμην πρὸς τὸ σῶφρον ἱδρυμένην οὐκ ἔχον. καὶ οὖν ἐκ τούτου ὁ C

manos tributa poscit, Armenios et Iberas Romanis annuentibus sibi subiectos cupit; Daram a Tiberio non repeti amplius, tametsi Chosroes pater aequis conditionibus cum Caesare in gratiam redire et Daram imperio Romano restituere non detrectaverit. ubi de arrogantia regis Tiberius comperit, aestate proxima Mauricius contractis iterum copiis Persidem ingressus ex adverso Tigridis castra locat, Romanumque Theodoricum et Martinum ad interiora regni divexanda dimittit. illi florentissimam agrorum copiam et universam aestatis amoenitatem depopulantes, ac caedibus grassantes, Persarum rebus vastitudinem pestiferamque cladem invexerunt. Mauricius sub adventum hiemis Caesaream Cappadociae discedit: aestate sequenti in Orientem rursus et ad Circesium Romanorum oppidum toto cum exercitu advenit. inde per Arabiae solitudinem in Persidem proficisci maturavit, ut sollerti ausu hostes falleret. eum Alamundarus Nomadum barbarorum dux comitatur, quem regi Persarum de Romanorum adventu indicasse perhibent; Saracena quippe natio infidissima iam huic iam illi solet adhaerescere, animumque stabilem

τῶν Περσῶν βασιλεὺς ἐπὶ Καλλίνικον πόλιν τὸν πόλεμον μετεφύτευεν, Ἀδορμαάνην χειροτονήσας τῆς ἐκτάξεως κηδεμόνα οὐκ ἀφυέστατον. ἐπεὶ τοίνυν ὁ Ἀλαμούνδαρος κηφῆνος δίκην τῆς μελίττης τοὺς σίμβλους ἠφάνισεν, εἰπεῖν δὲ ταὐτὸν τὰ Μαυρικίου ἐπίχειρα ἀνετρέψατο, ἀνόνητα γίνεται Ῥωμαίοις τὰ τῆς κατὰ Μήδων ἐπιστρατείας κινήματα· παλινδρομοῦσι γὰρ τὰς οἴκοι συμφορὰς ἀποσβέσοντες. καὶ δῆτα ὁ στρατηγὸς τὰς μὲν σιταγωγοὺς ὁλκάδας, αἳ κατὰ τὸν Εὐφράτην συνείποντο αὐτῷ ποταμόν, φλογὶ πυρὸς ἀνατέθεικεν· αὐτὸς δὲ σὺν τοῖς ἐκκρίτοις τοῦ στρατοπέδου ὡς τάχιστα γίνεται πρὸς τὴν πόλιν Καλλίνικον. εἰς χεῖράς τε τῶν συνταγμάτων γεγονότων τῶν Πάρθων, ὑπεροχὴν τὸ Ῥωμαϊκὸν ἀπεφέρετο δόρυ. φυγῆς τοίνυν τῶν Περσῶν γενομένης ἀνακωχὴν τὰ τῆς ἐπηρείας ἐλάμβανεν.

D
√ 195 18. Τῷ δ' ἐπιόντι ἐνιαυτῷ Ταμχοσρὼ ὁ τοῦ Μηδικοῦ στρατηγὸς μεγάλας τοῦ Περσικοῦ δυνάμεις περιαγόμενος πρὸς τῇ Κωνσταντίνῃ χωρεῖ. καττύεται δῆτα ἐν τούτῳ τῷ ἐνιαυτῷ μέγας καὶ ἐξακουστότατος πόλεμος Ῥωμαίοις τε καὶ Πάρθοις. ὁ μὲν οὖν τοῦ Μηδικοῦ στρατηγὸς ἐν τοῖς πρώτοις τῆς ἀγωνίας γενόμενος τὸν βίον κατέστρεψε δόρατι, πλημμελεῖ δὲ τὸ βάρβαρον καὶ νικῶσι Ῥωμαῖοι. οἱ δὲ βάρβαροι πείθονται ἐς τὴν ἑαυτῶν ἀποκλίνειν, ἅμα τῷ παθεῖν καὶ τὰ τῆς αἰσχύνης οἰκειωσάμενοι. καὶ οὖν ὁ στρατηγὸς τὰ καίρια τῶν ὀχυρωμάτων περι-
P 87 φραξάμενος ἐς Βυζάντιον ἄνεισι. τοῦ κοινοῦ δὲ τέλους συντετυχηκότος Τιβερίῳ τῷ αὐτοκράτορι τῆς Ῥωμαϊκῆς ἀρχῆς, ὥσπερ

12. ὑπερφέρετο IP.

et voluntatem probitate firmam constantemque minime gerit. tum rex ad urbem Callinicum molem belli transtulerat, et Adormaanem, natura ad id munus aptissimum, ducem creaverat. posteaquam igitur Alamundarus perinde ut fucus aliquis apum cellas depastus est et hoc ipsum nuntiando Mauricii consilia evertit, in nihilum recidit adversus Persas Romanorum expeditio, domesticas siquidem calamitates depulsuri recurrerunt. itaque naves frumentarias se per Euphratem sequentes exussit: ipse cum delectis cohortibus ad oppidum Callinicum properavit, ubi collatis signis res Romana longe superior fuit. quocirca Persis fugientibus hostium impetus conquievit.

18. Anno sequenti Tamchosro Persarum dux ingentes copias Constantinam admovit, quo maximo et fama admodum celebri praelio concursum est. ipse dux in prima acie pugnans occubuit, infeliciterque praeliati barbari Romanis victoriam concesserunt ac domos refugerunt. sic ad acceptam cladem etiam dedecus adiunxerunt. Mauricius, castellis quae munitione egebant communitis, Byzantium revertitur. cumque Tiberio Romanorum imperatori communis omnium huius lucis terminus

ἆθλον ἀριστείας εὐγενῆ καὶ περίδοξον τὸ βασίλειον κράτος ὁ στρατηγὸς ἔννομόν τε περιβάλλεται, καὶ τὴν δευτέραν ἀπημφίαστο τύχην. τὰ μὲν οὖν μετὰ τοῦτο πραχθέντα Ῥωμαίοις τε καὶ Πέρσαις ἀναγέγραφα ἐν τοῖς ἔμπροσθεν. οὐκοῦν ἰτέον ἐπὶ τὰ συνεχῆ τῆς διηγήσεως, τὴν ἱστορίαν ἔξω που μικρὸν διαθέουσαν εἰσκυκλήσαντες ἐπὶ τὴν ἀκόλουθον καὶ εὐσύνοπτον νύσσαν, ὅθεν καὶ πρὸς βραχὺ ἀπεκλίναμεν, τὰ περὶ τὸν Βαρὰμ κατ' ἐκεῖνο παρηκολουθηκότα καιροῦ προτιθέντες ἐν μέσῳ. ἀλλ' εἰρήσθω μὲν πρότερον ἥ τε πατρὶς καὶ τὸ γένος Βαρὰμ οἵ τε τῆς B τύχης βαθμοὶ αἵ τε κατ' ὀλίγον πράξεις διὰ βραχέων, ἵνα πάντοθεν ἐναρμόνιον εἴη καὶ ἐντελὲς τὸ περὶ τὴν ἱστορίαν ἀκρόαμα.

Ἤκουσά του λέγοντος ἀνδρὸς Βαβυλωνίου ἱερομνήμονος, μεγίστην ἐμπειρίαν ἀπειληφότος τῆς περὶ τὰς βασιλικὰς διφθέρας ἀναγραφῆς, ἀπὸ μὲν τῆς Ἀρζανηνῆς οὕτω καλουμένης ὁρμᾶσθαι μοίρας τὸν Βαράμ, οἰκαρχίας δὲ τῆς τοῦ Μιρράμου γεγονέναι τὸν Πέρσην ἐκεῖνον τὸν τύραννον, ὃς ἀφορμὴ τῆς καταλύσεως Ὁρμίσδᾳ τῷ τυράννῳ γεγένηται. δήμοις γὰρ παρὰ τοῖς C Μήδοις ἑπτὰ τῶν πράξεων τὰ ἀγχίνοά τε καὶ τιμιώτατα διανυομένοις, νόμῳ πρεσβύτῃ κληροδοτουμένοις, μὴ ἄλλους ἔχειν τὰ πράγματα ἔφασκε, καὶ τὸν μὲν Ἀρταβίδην ἐπιλεγόμενον δῆμον τὴν βασιλείαν κατέχειν, καὶ τοῦτον ἐπιτίθεσθαι τῷ βασιλεῖ τὸ διάδημα, ἕτερον τῆς πολεμικῆς προεστάναι συντάξεως, ἄλλον δὲ τὰς πολιτικὰς περικεῖσθαι φροντίδας, τὸν δὲ ἕτερον τὰς διαφο-

6. nonne εἰσκυκλήσαντας? 23. ἕτερον] immo τέταρτον.

adesset, Mauricius dux nobile inclitum et legitimum virtutis suae praemium, Romanum imperium, adipiscens inferiorem conditionem exuit. iam vero quae post haec inter Romanos Persasque acciderunt, supra a nobis litterarum memoriae commendata sunt. quamobrem ad ea quae a superiore narratione apta videntur regrediendum est, et historia ex mediocri digressione ad consequentem perspectuque facilem scopum reducenda; quaeque illo tempore circa Varamum amplius contigerunt, in medium proferenda. sed ante de patria illius, de genere, de felicitatis gradibus, de his quae paulatim patravit, quo historia undique connexa et absoluta sit, paucis explicemus.

Persam ego quendam a sacrarum memoriarum commentariis et in libris acta regia continentibus exercitatissimum memorantem audivi, Varamum tyrannum illum Persicum, cuius opera Hormisdas tyrannus interiit, in regione Arzanena principe domo Mirrhami oriundum fuisse. rerum enim graviorum et illustrissimarum administrationem apud Persas antiqua lege septem tribubus seu familiis sortito distributam esse, caeteras nihil negotii habere aiebat. familiam Artabisdae cognominatam habere ius regni et regi imponere diadema, aliam praeesse conficiendis exercitibus, aliam rebus urbanis, aliam seditiones et controversias diiu-

ρὰς διαλύειν τῶν περί τι καταστασιαζόντων καὶ διαιτητοῦ δεομένων, τὸν δὲ πέμπτον ἡγεῖσθαι τῆς ἵππου, τὸν δὲ μετὰ τοῦτον φορολογεῖν τὸ ὑπήκοον καὶ τῶν βασιλικῶν ταμείων ἔφορον πεφυ-
D κέναι, τὸν δ' ἕβδομον κηδεμόνα τῶν ὅπλων καὶ τῆς πολεμικῆς ἐσθῆτος ἐπιστατεῖν, Δαρείου τοῦ Ὑστάσπου τουτονὶ τὸν νόμον ἐν τοῖς βασιλείοις ἐκτεμενίσαντος. τὸν δὲ Βαρὰμ τῆς τοῦ Μιρράμου οἰκαρχίας γενόμενον, δήμου δ' Ἀρσακίδου, καταλεγῆναί φασιν ἐς τὸ πρότερον τοῖς τοῦ βασιλέως σωματοφύλαξι, μικροῦ δ' ὕστερον στρατιωτικῆς ἴλης ἡγησάμενον συστρατεῦσαι Χοσρόῃ τῷ Καβάδου παιδί, ὁπότε οἱ Βαβυλώνιοι τὸ Δάρας παρεστήσαντο, Ἰουστίνου τοῦ νεωτέρου τὴν Ῥωμαίων σκηπτουχίαν ἐπέχοντος. ὁ μὲν οὖν Βαρὰμ ἐσβαλὼν ἅμα Χοσρόῃ τῷ Περσῶν βασιλεῖ τῷ πρεσβύτῃ, καὶ εἰς τὰς ἁρμονίας αὐτὰς καὶ κατὰ τοὺς πολέμους ἐπιφανέστατος γεγονώς, στρατηγὸς μετ' οὐ πολὺ καὶ τοῦ Περσικοῦ χειροτονεῖται ἀθροίσματος. οὕτω δὲ κατ' ὀλίγον ἐξαιρούσης τῆς τύχης αὐτὸν ὡς καὶ δαριγμεδοὺμ τῆς βασιλικῆς ἀναδεῖξαι (ἔστι δὲ ὃν δὴ κουροπαλάτην Ῥωμαῖοι κατονομάζουσιν), ἐς μέγα ἀπονοίας ἐλήλακε, καὶ ἐπὶ ταῖς κατὰ Τούρκων νίκαις
P 88 V 196 μεγάλα καὶ ἀκάθεκτα πνέων τὰ τῆς τυραννίδος ὠδίνει κυήματα. ὁ μὲν οὖν ὥσπερ σπινθῆρα ἐν σποδιᾷ τὴν τοῦ βασιλέως Ὁρμίσδου ἀποκρύπτει τῆς λύπης ὑπόθεσιν, τὸ δὲ πλῆθος ἐξέμηνε φενάκῃ συσκευασάμενος ὡς οἷα δὴ κατὰ τοῦ ὁπλιτικοῦ τοῦ Περσῶν χαλεπαίνοντος βασιλέως, καὶ προσαπειλοῦντος καὶ φόνον τοῖς Βαβυλωνίοις στρατεύμασι διὰ τὰ περὶ τὴν Σουανίας τῆς συμπλοκῆς ἀτυχήματα. προσεφέρετο δὲ καὶ ἐπίπλαστα τοῦ Ὁρμίσδα

dicare atque componere, quintam praesidere equitatui, sextam tributa colligere et aerarium regium curare, septimam arma et vestitum militarem providere; et hanc legem inter alias leges regias Darium Hystaspis filium sacrosanctam condidisse Varamum vero in principe domo Mirrhami, familia autem Arsacidarum procreatum, principio e custodibus sive satellitibus regiis unum fuisse praedicant. paulo post cohortis ducem lectum Chosroae Cabadis filio militasse, cum Persae Daram Iustino iuniore Romani imperii sceptra tenente subigerent. is igitur cum Chosroe seniore in militia versatus, eiusque familiaritate intima et bello clarissimus, non multo post Persici exercitus imperator summus renuntiatur. cumque fortunae favor gradatim ita hominem evexisset ut etiam Darigmedum regiae faceret (quem Romani Curopalatam, hoc est palatii curatorem et praefectum appellant), in magnam prolapsus est vecordiam, ac propter reportatas de Turcis victorias incredibilem in modum sese amans dominatum invasit. velut scintillam igitur sub cinere Hormisdae exagitandi voluntatem occultans, milites veteratorie circumducit atque efferat, quasi rex illis succenseat et mortem minitetur, quia in Suania fusi fu-

προστάγματα, ἀποκολοβοῦντα τὰ κατὰ τὸ εἰωθὸς τοῖς συντάγμασι [τῶν] ὑπὸ τῶν βασιλικῶν πρυτανείων διανεμόμενα. κἀντεῦθεν παραδριμύττεται ἡ πᾶσα πληθύς, καὶ ἐς ἀνάστατον ἀπροσεξίαν ἐχώρησεν.

gatique sint. profert item commentitia Hormisdae mandata, quibus de annona e regio prytaneo praeberi consueta demi iubebatur. hinc totus exercitus exacerbatus omnia sursum ac deorsum miscuit atque confudit.

ΘΕΟΦΥΛΑΚΤΟΥ
ΙΣΤΟΡΙΩΝ
ΛΟΓΟΣ Δ'.

THEOPHYLACTI
HISTORIARUM
LIBER IV.

PONTANI ARGUMENTUM.

(1) *Varamus contra Hormisdam exercitum colligit. eius promissa illecebrosa. in Chubriadanem inspectorem regium Persarum immanitas. Nisibis diripitur. ibidem de Hormisda regno exuendo coniuratur. legati militum ad Varamum. Zaba fluvius. Varami in legatos benignitas. Hormisdae ex adverso casu ira et insania.* (2) *Varamus per hiemem castella oppugnat. Zadespras peculator carcere solutus ad hostes transfugit. Pherochanes regis dux Varamo cum precibus dona incassum offert. Varami inventum, quo copias adversarias ad se traducit, dum Hormisdam in summum apud eas odium inducit.* (3) *Pherochanes a suis occiditur; eius tentorium diripitur. e militum reliquiis Hormisdas custodes sibi facit. eivium per urbes regias super gestis admiratio. Bindoem, virum illustrem, frater e carcere eripit. Hormisdas in regia invaditur. eius ornamenta sumptuosissima. Bindois in illum maledicta. de throno abstractus in vincula datur. Chosroes filius periculi metu fugit: accepta fide in regnum redit. Hormisdas ad principes Persarum de republica dicendi facultatem exorat.* (4) *concio Hormisdae. de iniuria sibi facta expostulat. conditionem pristinam cum praesenti, illius delicias cum huius miseriis et squalore comparat. ingratos et impios in se illorum animos increpat. a tyrannis cavendum monet. Chosroen propter mores sceleratissimos regno excludendum, fratrem creandum statuit. acta sua commendat.* (5) *Bindoes orationem Hormisdae irridet, et in eum ut multimodis sceleratum dirius invehitur. refutat etiam ex quibus sese commendaverat. tandem capite puniendum pronuntiat.* (6) *conventus ira percitus in Hormisdam, ante oculos eius filium necat,*

reginam uxorem in frusta dissecat, ipsum pupillis adustis caecitate multat. per digressionem res Cabadae interseruntur, quemadmodum scilicet erepto sibi regno in carcerem missus, inde uxoris beneficio evaserit regnumque recuperaverit. (7) *Chosroes in solio cum acclamationibus locatur. eius in patre captivo alendo liberalitas; qui tamen omnia, addita verborum asperitate, reiicit. iussu filii usque ad necem fustibus contunditur. Hypocrisis Chosroae. Varamum donis et pollicitationibus frustra tentat, a quo per epistolam cum fastu scriptam de seditiosis in carcerem revocandis monetur.* (8) *rex ad procerum consessum de litteris Varami refert. ad iram ab iisdem extimulatur. eiusdem cautio. litterae Chosroae ad Varamum, quibus fastum eius excusat, culpam in scribam facete transfert, negat se facturum quae postulet, spiritus regios ostendit.* (9) *Chosroes contra Varamum delectus agit, duces praeponit. copiae fluvio separantur. frustra collocuti ad velitationes veniunt. Chosroae timiditas, Varami fidentia. Chosroes suspectos interficit. noctu invaditur. multa caedes editur. multi ad Varamum deficiunt. etiam ipse Chosroes fugam init.* (10) *consultat Chosroes quo se vertat. christianorum deum invocat. fraeno dimisso equi gressum sequitur. Circesii a Probo humaniter accipitur. Comentiolo duci eius adventus, et quid ab imperatore petat, significatur. mittitur cum epistola nuntius ad Mauricium, quem ingens inde laetitia occupat.* (11) *litterae Chosroae ad Mauricium. duo esse imperia omnium maxima, Romanum et Persicum. accusatio Varami, contra quem concitatur imperator et auxilium rogatur.* (12) *Persis proceribus blanditur Varamus: Chosroen quaeri ac vinctum sisti iubet. Bindoes vinculis adducitur. Varami in regno occupando astus. semet regem instituit. ad praesidiarios Martyropoli eius mandatum. a Mauricio per ducem Comentiolum Chosroes honoratur. eiusdem impostura.* (13) *Chosroes ut vafer et malae fidei reprehenditur: eum ad se venire Mauricius non vult. legati Chosroae ad imperatorem. principis legati oratio, qua interesse Romanorum, Persicum stare imperium, praeclara disputatione probat. multa de Alexandri Magni ambitione disserit, et imperatorem ad succurrendum regi vehementer incitat.* (14) *dicta placent, auxilium decernitur. Mauricii ingenuitas. captivos Chosroae remittit, eumque per Melitenensem et Antiochenum episcopos donis et solatio prosequitur. Chosroae ad Nisibenos de officio legati. Varami legati ad imperatorem cum promissis reiecti. Satrapae Varamo, eius moribus importunissimis irritati, necem struunt, et in palatium irruentes coepto frustrantur, misereque occiduntur.* (15) *Bindoes evadit; copias Andrabigano educit; Mystaconem de statu Chosroae docet, quem armis iuvandum imperator Mystaconi commendat. Varami casus cum laetitia narrantur et audiuntur. Bindoes regiam pecuniam in militem erogat. Nisibim obsidentes ad Chosroae partes accedunt. Arabia et urbes usque ad Tigrim Chosroae traduntur. Martyropolis Romanis opera Domitiani episcopi deditur. Chosroes ut ingratus castigatur. Sittas proditor ignibus crematur. perfidi Romani puniuntur. Domitianus festum diem indicit, concionem gratulatoriam habet.* (16) *festivissima Domitiani concio ob receptam Martyropolim, qua populus ad laetitiam invitatur, clementia imperatoris eximie commendatur, exemplum humanitatis Iesu Christi servatoris nostri inducitur, Persisque hostibus insultatur. applausus populi, et prae gaudio lacrimae erumpentes.*

D V 198 1. Ἐπεὶ δ' ὅρκοις τὰ τῆς τυραννίδος ἀπετειχίζετο καὶ σπον-
δαῖς ἡ στάσις ἐπῳκοδόμητο, ἐπαθροίζει συμμαχικὸν ὁ Βαράμ,
καὶ ὁ ἐπιχώριος Πέρσαις ἐκρατύνετο πόλεμος. ἐπεστρατολόγει
δὲ καὶ ἡ περὶ τὸν Ὁρμίσδαν δυσμένεια τῷ Βαρὰμ πρόσθετον καὶ
ἐπίκουρον δύναμιν· Πέρσαι γὰρ οἱ πρὸς τῇ Νίσιβι στρατοπε-
δεύοντες ἄρτι που ὑπὸ Ῥωμαίων καταπολεμηθέντες δημοσίᾳ ἐκτά-
ξει, τὰ περὶ τὸν Βαράμην ἀκηκοότες παράδοξα, ἀποκλίνουσι
πρὸς ἀπόστασιν, ἀδελφὰ τῶν ἐκείνῳ διεγχειρηθέντων ὑποζηλώ-
P 91 σαντες. τούτων δὴ ἀγγελθέντων τῷ Βαράμ, πρέσβεις ἀπὸ τῆς
περὶ αὐτὸν πληθύος ἐκπέμπεται πρὸς τὴν Νίσιβιν, καὶ τῷ ἐπα-
γωγῷ τῶν ὑποσχέσεων καρτερώτερος Μήδοις ὁ ἐμφύλιος κατατυ-
ρεύεται πόλεμος. οἱ μὲν οὖν τοὺς πρέσβεις δεξάμενοι πρὸς τὴν
πόλιν χωροῦσι τὴν Νίσιβιν. περὶ τὴν πύλην δὲ γεγονότες τοῦ
ἄστεος συνεκύρησαν Χουβριαδάνῃ, ὃς τῶν ἐν ἀξίαις τελούντων
παρὰ Πέρσαις ἐδόκει, ἐπόπτης τε τῶν δρωμένων κατὰ τὸν πόλε-
μον ὑπὸ Ὁρμίσδα προεκεχείριστο. τοῦτον καταβαλόντες τοῦ ἵπ-
B που ἀκροτομήσαντές τε τὸν δείλαιον, τὴν κεφαλὴν τῶν ἐν τῷ
τραχήλῳ σφονδύλων ἀποκοψάμενοι σύμβολα ταῦτα Ὁρμίσδᾳ
ἀδιαλλάκτου τινὸς παρέπεμπον στάσεως. κατεργασάμενοι δὲ τὸν
ἄνδρα δεινῶς, καὶ κατὰ τὴν πόλιν εἰσφρήσαντες, πρὸς διαρπα-
γὴν τῶν ἐκείνου χρημάτων ἐτράποντο. γίνεται τοίνυν κατὰ τὴν
Νίσιβιν διωμοσία καρτερὰ ἐφ' ᾧ τὸν Ὁρμίσδαν ἀποχειροτόνητον

1. Tyrannide sacramentis constabilita defectioneque foederis interpositi religione confirmata, Varamus auxilia conquirit, civileque bellum inter Persas ingravescit, cum ipsa quoque communis omnium adversus Hormisdam invidia ad eas copias accessionem subsidiumque afferret. etenim Persae prope Nisibim castra metantes et nuper aperto Marte a Romanis devicti, inopinatis super Varamo nuntiis exciti, deserta fide eius ausus imitandi studio concitabantur. id postquam ille rescivit, de exercitu suo legatos cum promissionum illecebris Nisibin mittit, quibus deliniti cives contra cives atrocius miscere et agitare arma coeperunt. admissis itaque legatis Nisibin procedunt. ad portam urbis ut venerunt, in Chubriadanem, unum de Persicis magistratibus, ut apparebat, incidunt, qui ab rege ad rem castrensem inspiciendam veniebat. huic ab equo deturbato summas corporis partes miserabiliter detruncant, caput resecant, et haec implacabilis odii sui argumenta Hormisdae transmittunt. cum hominem tam crudelem in modum confecissent oppidoque recepti essent, facultatibus eius diripiendis involant, coniurantque acer-

εἶναι καὶ ἰδιώτην ἀντὶ βασιλέως τεκταίνεσθαι. καὶ γοῦν τούτων οὕτως προκεχωρηκότων τοῖς πράγμασι, πρεσβεύονται Πέρσαι πρὸς Πέρσας καὶ ἡγεμόνας πρὸς τὸν Βαρὰμ ἀποστέλλουσι κατὰ τὴν τοῦ Ζαβᾶ διάβασιν διατρίβοντα. ποταμὸς δ' οὗτος, ὃς ἐκ C τῶν ὑπερανεστηκότων ὀρῶν ἐκχεόμενος καὶ ἀπὸ τῶν βορείων ἀρχόμενος οὐ πολύς ἐστι τὴν πρόοδον, εἶτα πρὸς νότον φερόμενος καὶ ὑπὸ πολλῶν χειμάρρων καταρδευόμενος ναυσίπορος γίνεται καὶ κοινωνοῦται τῷ Τίγριδι. ὁ δὲ Βαρὰμ τοὺς ἀγγέλους εἰσῳκίζετο, καὶ λαμπρᾷ τῇ φιλοφροσύνῃ τούτους περιαυτίζεται. προστάττει δὲ καὶ δεξιολάβοις δυνάμεσιν ἰχνηλατεῖν καὶ τὰς ἀτραποὺς πάσας κατασφαλίσασθαι, ὅπως μηδ' ἄγγελος Ὁρμίσδᾳ τῶν ἀτυχημάτων γενήσεται. ὁ δὲ βασιλεὺς χαλεπαίνων τε καὶ τετριγὼς τοὺς ὀδόντας, καὶ οὐκ ἔχων ὅπῃ αὐτοῦ τὰ τοῦ σκοποῦ σχοίη διέξοδον, ὑπὸ τῆς ἀπορίας παράφορος ἦν καὶ τοῖς δαιμονῶσιν ᾐκάζετο. (2) Κομεντιόλου δὲ τοῦ Ῥωμαίων στρατηγοῦ ἐν ταύ- D ταις δὴ ταῖς ἡμέραις τὸ Ἀκβᾶς φρούριον ᾑρηκότος καὶ ὥρᾳ χει- A. C. 592. μῶνος διαλελυκότος τὸν χάρακα, ὁ Βαράμης τὸ κατὰ μικρὸν τοῖς τῆς Μηδίας χωρίοις προσέβαλλεν. ὁ δὲ Ὁρμίσδας ἐκ τῶν περιοίκων δυνάμεις συναθροισάμενος αὐτοκράτορα τοῦ πολέμου προεστήσατο Φεροχάνην τὸν Πέρσην· τὸ δ' ὄνομα τὴν τοῦ μαγίστρου ἀξίαν τῇ Ῥωμαϊκῇ ἐνσημαίνεται γλώττῃ. ὁ μὲν οὖν Φεροχάνης ἠξίου τὸν βασιλέα Ζαδέσπραν, ὃν ἐν εἱρκτῇ δεδεμένον Ὁρμίσδας ἀπέθετο, τῶν δεσμῶν ἀφαιρεθῆναι καὶ συστρατεύειν αὐτῷ. τούτου δὲ καταδιαιτήσας ἐτύγχανεν ὢν ὁ Περσῶν βασι-

rime, Hormisdam regia dignitate spoliatum in ordinem redacturos. secundum haec Persae ad Persas, et quidem duces ipsos ad Varamum legant, qui tum ad Zabae fluminis transitum forte consederat. hic in septentrione ab excelsis montibus erumpens alveo labitur exiguo; deinde versus austrum procurrens multisque torrentibus auctus fit navigabilis, et Tigridi undas suas intermiscet. Varamus legatos in tabernaculum introductos omni benevolentia et humanitate complectitur, iubetque postmodum eos a stipatoribus suis deduci, et obsideri vias omnes, ut ne quem calamitatis suae nuntium Hormisdas possit accipere. qui furore et stomacho exardescens et dentibus stridens, nec reperiens qua tandem ratione consilia sua perficeret, prae angore animi de potestate mentis decedit, eorumque qui a daemonibus exagitantur similis evadit. (2) cum per illos dies Comentiolus dux Romanus arcem Acbas cepisset militemque in hiberna dimisisset, Varamus castella Persidis paulatim adoritur. Hormisdas e locis circumiectis manum conflat, cui Persam nomine Pherochanem (quo magistri apud Romanos dignitas exprimitur) praeponit. orat regem Pherochanes uti Zadespram, qui Martyropoli publicam pecuniam eamque grandem averterat, et ea de causa in custodiam et catenas

P 92 λεὺς τὴν φρουράν· κατάφωρος γὰρ οὗτος ἐγεγόνει χρήματα ἱκανὰ ἐκ τῆς Μαρτύρων ἐγκολπωσάμενος πόλεως. Ὁρμίσδου δὲ δυσανασχετοῦντος ἐπὶ τοῖς ῥήμασι, καὶ τοῦ Φεροχάνου καταλιπαίνοντος τὴν ἀξίωσιν, νικᾶται ὁ τοῦ βασιλέως σκοπὸς καὶ διαζεύγνυται τῶν χειροπεδῶν ὁ Ζαδέσπρας. συνεκστρατεύσας οὖν τῷ Φεροχάνῃ, καὶ τοῦ τυραννικοῦ πλησίον γενόμενος οὐ πόρρω τοῦ Ζαβᾶ ποταμοῦ, αὐτομολῶν παραυτίκα ὡς τὸν Βαράμην ἐχώ-
V 199 ρησεν, τὴν ἀντίδοσιν τῆς ἐν εἱρκτῇ κακώσεως ἀντιταλαντεύσας Ὁρμίσδᾳ. τούτου τοίνυν συντετυχηκότος ἤρθη ἐπὶ μέγα ὁ Βαράμ, καραδοκῶν καὶ ἅπασαν αὐτῷ τὴν ἀντίθετον προσχωρῆσαι στρατείαν. ὁ μὲν Φεροχάνης πρέσβεις πρὸς τὸν Βαράμην ἀπέ-
B στελλε, καὶ ἐζήτει τὴν γνώμην μεταβαλλόμενον ἀνάπαυλαν τῇ τυραννίδι παρέχεσθαι, κατελιπάρει δὲ τοῦτον καὶ δώροις βασιλικοῖς· οὕτω γὰρ προσετέτακτο ὑπὸ τοῦ Περσῶν βασιλέως. ὁ μὲν οὖν οὐκ ἐπρίατο τὴν ἔχθραν, ὁ δὲ μᾶλλον ἐντεῦθεν ἐξωνεῖτο τὸν τύραννον. τὴν τοίνυν διάβασιν προκατειληφότος Φεροχάνου τοῦ Πέρσου, καὶ τοῦ τυραννικοῦ ἐπὶ πολὺ τοῖς τόποις ἐνδιατρίβοντος, τὰ σιτία ἐξέλιπεν. ὁ μὲν οὖν Βαρὰμ παλαμώμενος τὰ τῆς ἐπηρείας κρατύνεσθαι οὐκ ἀναξιολόγῳ σοφίσματι τοὺς ἀντιτεταγμένους ὑπέκλεπτεν. ἐξέπεμπε γὰρ τῇ ἀντιθέτῳ δυνάμει ἀγγέλους διαγορεύοντας ὡς οὐ κατὰ σκοπὸν δρᾷ τὸ ἀντίθετον,
C ὅπλα κατὰ τῶν ἠδικημένων περιβαλλόμενον, ὑπομιμνήσκων τὸ Περσικὸν τῆς Ὁρμίσδου τραχύτητος, τό τε τῶν ἐγχειρημάτων αὐτοῦ χαλεπώτατον, τά τε τῆς δυσσεβείας ἀθέμιτα, παρεδήλου

ab rege datus erat, absolutum expeditionis socium et collegam sibi permittat. Hormisdas quanquam petitionem inique ferens, Pherochane magis magis urgente expugnatur, et Zadespras vinculis levatus cumque illo in expeditionem profectus Varami exercitu haud procul a Zaba fluminae conspecto, ad eum, Hormisdae pretium par pro vexatione carceris rependens, fuga transit. ea transitione Varamus elatus animo vehementer etiam totum adversariorum exercitum ad se transiturum confidebat. Pherochanes rogatum obtestatumque mittit ut istam mentem exuens tyrannidi finem imponat, et regia dona, quemadmodum a rege mandatum fuerat, insuper proponit. verum ille inimicum atque hostem placatum efficere nequibat; et hic ista occasione in tyrannide magis obdurabat. quoniam igitur Pherochanes fluminis transitum interceperat et hostes diu in locis illis sedentes annona deficiebat, Varamus maiora semper detrimenta bellica meditans, non incallida et memoratu digna ratione hostium animos subiit. misit quippe monitum, non recte eos facere qui arma contra se iniuria laesum capesserent, et Hormisdae morum saevitiem ipsis in memoriam revocabat. de facinoribus item eius immanissimis, de impietate nefaria, de summa perfidia admonebat, et omnino sce-

τε τούτου τὸ ἀπιστότατον, καὶ ἁπλῶς τῶν ἡμαρτημένων Ὁρ-
μίσδα μέγαν τινὰ καὶ πιθανώτατον κατάλογον συνετάττετο· ἐσαεὶ
γὰρ τὸ δυσμενές ἐστι φιλαίτιον, καὶ μικραῖς τισὶν ἀφορμαῖς με-
γάλας οἶδε κορυφὰς ἐγκλημάτων τεκταίνεσθαι. ἐπεὶ δὲ τούτων
τὰ περὶ τὸν Φεροχάνην ἠκηκόει στρατεύματα, τὴν γνώμην με-
τέθετο καὶ νεωτερίζειν ἐγλίχετο. καὶ ἀθετεῖ τὸ τιμώμενον, καὶ
γεραίρει τὸ κακιζόμενον. καὶ ἦν αὐτοῖς οὐκέτι λοιπὸν τὰ τῆς
τυραννίδος ἐγκλήματα, ἀλλ' ὥσπερ ἔννομός τις ἡ ἐγχείρησις,
ἀφορμὴν τῶν δρωμένων ἀπολαβοῦσα τὸ δίκαιον. (3) καὶ γοῦν D
ὁ Ζοανὰβ (εἷς δ' οὗτος τοῦ Διλιμνιτικοῦ ἔθνους ἡγούμενος), οὐ
μὴν ἀλλὰ καὶ Σαράμης ὁ νέος, τὸ τηνικαῦτα μὲν καιροῦ τοῖς δο-
ρυφόροις τοῦ στρατηγοῦ καταλεγόμενος, ὕστερον δὲ τῶν τοῦ
βασιλέως Χοσρόου σωματοφυλάκων ἐπιστατῶν, ἑτέρας ὀρεγόμε- P 93
νοι λήξεως τῆς τε μεταβολῆς τῶν πραγμάτων λίαν ἐκτόπως γλι-
χόμενοι συνωμοσίαν διέθεντο, ἐξαπιναίως τε ἐπελθόντες ἀναι-
ροῦσι τὸν Φεροχάνην νυκτός, ἀμύνοντος παντελῶς οὐδενός. οὗ
δὴ γεγονότος ἐς ἁρπαγὴν τῶν τοῦ στρατηγοῦ χρημάτων πάντες
ἐτράποντο. ἧκε γοῦν πέμπτῃ ἡμέρᾳ ἀγγελία τῷ Περσῶν βασιλεῖ
τούτων δὴ τῶν ἔναγχος συμβεβηκότων τῷ στρατηγῷ. καταπλα-
γεὶς τοιγαροῦν ἐπὶ τῇ τῶν κακῶν ἐπιδόσει Ὁρμίσδας ἀπῆρε τῆς
Μηδίας, ἐν ᾗ τὰς διατριβὰς ἐπεποίητο, καὶ τῇ Κτησιφῶντι
προσομιλεῖ. τάς τε περιλοίπους δυνάμεις ἀναλεξάμενος τῆς ἐς
αὐτὸν περιφρουρᾶς διετίθετο, ὡς ἐνῆν, τὴν φροντίδα. οἱ δὲ B
τῶν βασιλείων οἰκήτορες ἀστέων τούτων δὴ τῶν πεπραγμένων ἐν

3. τὸ deest IP.

lerum ipsius longum veroque maxime consentaneum catalogum contexebat. malevolentia enim semper querula est, et ex occasionibus parvis magnas accusationum moles construere consuevit. haec ubi Pherochanis exercitus audivit, mutato consilio res novas incipit; quodque honorem meretur, id reiicit et vilipendit, quod vituperationem, id amplectitur et veneratur; nec iam tyrannidem in crimen vocat, sed pro molimine legitimo ducit, quae iustitiam pro rerum agendarum occasione arripiat. (3) igitur Zoanab e ducibus Dilimnitarum, itemque Sarames iunior, qui tum in satellitibus Pherochanis numerabatur et postea Chosroae satellitum praefecturam obtinuit, alius sortis appetentes novique rerum status percupidi, conspirationem ineunt, ac de nocte Pherochanem omni defensione nudatum repente adorti obtruncant; moxque ad eius suppellectilem agendam ferendamque omnes convertuntur. caedis huius nuntius die quinto ad regem perfertur, qui hoc malo ad caetera nuper addito consternatus e Perside, ubi habitabat, Ctesiphontem petit, collectoque quidquid militum supererat, custodiam sui, ut dabatur, instituit. indi-

γνώσει γενόμενοι τὰς ψυχὰς ἐξεπλήττοντο, καὶ τῷ νεωτερισμῷ
τῶν πραγμάτων ἐς τὰ μάλιστα τεθηπότες οὐκ εἶχον ὅ τι καὶ δρά-
σωσιν· οἶδε γὰρ παράδοξον ἄκουσμα θολὸν ταῖς ψυχαῖς ἐξεργά-
ζεσθαι, καὶ τῇ ἀθρόᾳ ἐνδημίᾳ ταῖς ἀκοαῖς ἐνιέμενον ἅπασαν
ἀνατροπὴν λογισμῶν ἐμπορεύεσθαι. ἡμέρα δὲ τρίτη, καὶ Βιν-
δόην τὸν δέσμιον, τὸν Ἀσπαβέδου μὲν υἱόν, πρὸς γένος δὲ συν-
ημμένον Χοσρόῃ τῷ Περσῶν βασιλεῖ, ἐν χειροπέδαις τὴν εἱρ-
κτὴν ἐνοικοῦντα καὶ ὑπὸ Ὁρμίσδου εἰκῇ ποινηλατούμενον ὁ Βε-
στάμ, ὃς ἀδελφὸς τούτου ἐτύγχανεν ὤν, τῆς φρουρᾶς ὑπεξῆγεν,
C ὑπόντος οὐδενὸς τοῦ κωλύοντος. ἐπεὶ δὲ γαλήνη τῶν ἀτυχημά-
των γέγονε τῷ Βινδόῃ, πλῆθος ἐκ τῶν περὶ τῶν Φεροχάνην εἰσ-
βάλλει πρὸς τὰ βασίλεια τρίτῃ ὥρᾳ τῆς ἡμέρας, καὶ ἐντυγχάνει
V 200 Ὁρμίσδᾳ. οὗτος δὲ τὸν βασίλειον θρόνον περιεκάθητο, ἐσθὴς
δ' αὐτῷ τύραννος ὁμοῦ καὶ βαρύτιμος, ἥ τε τιάρα χρυσῆ τε καὶ
λιθοκόλλητος, ἐνέρσει ἀνθράκων ἀπολάμπουσα τῇ λαμπρότητι.
περιερρεῖτο δ' αὐτῇ καὶ ὁ μαργαρίτης εἰς τὸ δαψιλές τό τε κρά-
νος καταυγαζόμενος, τήν τε σμαραγδόχλοον ὥραν ἐκύμαινεν,
ὡς μικροῦ δεῖν συναπολιθοῦσθαι τὸν θεατὴν ὀφθαλμὸν τῷ ἀκο-
D ρέστῳ τῆς καταπλήξεως. ἀναξυρίδες δ' αὐτῷ χρυσοποίκιλοι,
ἔργον ὑφάντου χειρὸς μέγα τιμίας. καὶ τοσαύτην εἶχεν ἡ στολὴ
τὴν τρυφὴν ὁπόσην ἐβούλετο ἡ τῆς σοβαρότητος ἔφεσις. ἤρετο
οὖν ὁ βασιλεὺς Βινδόην ὅπως τε αὐτῷ ἡ τῆς φρουρᾶς ἀπήντησεν
ἀναχώρησις, τά τε τῆς τόλμης κινήματα, τῆς τε περικόλου δυ-

20. μεγάλης IP.

genae porro urbium regiarum his intellectis percelli, et novitate rerum attonitis animis quid sperent non habere. solet enim inexpectata auditio commovere mentem, et tota simul auribus infusa cogitationes omnes disturbare atque evertere. tertia luce Bindoem Aspabedi filium, Chosroae Persarum regi propinquitate iunctum, quem Hormisdas inconsulto poenae subdiderat et in carcerem compacto brachia vinculis astrinxerat, Bestamius frater eius nemine prohibente subducit. ubi ex rebus turbidis Bindoi serena tempestas est reddita, Pherochanis agmen hora diei tertia in regiam impetu facto in Hormisdam irruit. sedebat is in solio regali, veste regia et pretiosa coopertus. caput velabat tiara ex auro, gemmis distincta et insertorum splendore carbunculorum rutilans et unionibus florens largiter, qui et ipsam illustrabant et smaragdini viroris pulcritudinem candore suo perfundebant, ut propemodum ipsi quoque spectantium oculi prae insaturabili pretiosissimorum lapidum stupore collapidescerent. femoralia sumptuosa auri subtemine picturata cernebantur. tunica tam luxuriose delicata erat quam fastui ac superbiae collibuerat. percunctabatur itaque Bindoem rex, quinam e carcere evasisset; unde illi tanta audacia tamque subiti stipatorum greges. ille probris et maledictis regem coram liberrime et uberrime conscindere, quod

νάμεως τί ἂν εἴη τὸ αὐτοσχέδιον. ὁ δ' εἰς εὐήκοον τοῦ βασιλέως ἐλοιδόρει τε καὶ ἐβλασφήμει ἐς τὸν Ὁρμίσδαν, οὐκ ἐχούσης τὸ λοιπὸν πύλην τῆς γλώττης διὰ τὴν ἐκ τῆς ἀκοσμίας παρρησίαν ἀκίνδυνον. μηδενὸς τοίνυν κατασυρίττοντος Βινδόου, ἢ ὑπόντος τοῦ ἐπιπλήττοντος φειδοῖ τῆς βασιλικῆς τιμιότητος, ἤρετο τοὺς ἐν ἀξίᾳ τελοῦντας Ὁρμίσδας εἰ τούτοις ἥδεται τὸ παρεστηκός. πάντων δὲ καταβοώντων Ὁρμίσδου, ὁ Βινδόης ἑλόμενος τῆς χειρὸς τὸν Ὁρμίσδαν ἐξανιστᾷ τοῦ θρόνου, ἀπεγύμνου τε τὴν κεφαλὴν τοῦ διαδήματος, καὶ τοῖς σωματοφύλαξιν ἐς φρουρὰν παρεδίδου. καὶ οὕτως τῆς τύχης τῆς περὶ τὸν Βινδόην ἀντιμεταβαινούσης ὁ Ὁρμίσδας ἐξ ὧν ἔδρασεν ἔπασχε, μαθὼν ὡς P 94 οὐ δεῖ λυμαίνεσθαι τοὺς οὐδὲν ἀδικήσαντας. ὁ δὲ τούτου παῖς ὁ Χοσρόης καθαιρεθέντα τῆς βασιλείας τὸν Ὁρμίσδαν ἀκηκοώς, τοὺς ἠθάδας χώρους ἀπολιπὼν ἐπὶ τὸ Ἀδραβιγάνον τὴν ἀπόδρασιν ἐπεποίητο δέει τῶν συμβεβηκότων Ὁρμίσδᾳ κινδύνων, ὑποτοπάσας μή πού γε καὶ ἐς αὐτὸν τὰ τῆς συμφορᾶς σχοίη διάβασιν. ὁ μὲν οὖν Βινδόης ἐχνηλατεῖ τὰ τοῦ Χοσρόου κινήματα· ἐπεὶ δ' ἀνερευνωμένῳ κατὰ νοῦν ἐχώρει τούτῳ τὰ πράγματα τοῦ τε Χοσρόου γέγονε κάτοχος, ἠξίου ἐπαναζεῦξαι τὸν βασίλειον θρόνον B ληψόμενον. ὁ μὲν οὖν Χοσρόης ἐνέχυρον ὅρκου λαβὼν τῆς πιστώσεως ἐπανῆκεν ἐς τὰ βασίλεια. τῇ δ' ὑστεραίᾳ Ὁρμίσδας ἄγγελον ἐκ τῆς φρουρᾶς ἀποστειλάμενος παρεδήλου ὡς ἐθέλοι τὰ συνοίσοντα λέξειν τῇ Περσῶν πολιτείᾳ, τούς τε σατράπας ἠξίου ὡς αὐτὸν παραγενέσθαι καὶ τοὺς ἐν ἀξίαις τελοῦντας καὶ ὑπεροχαῖς, τούς τε τοῦ βασιλέως σωματοφύλακας ἅπαντας· μηδὲ γὰρ

20. an ὅρκους?

perturbatus rerum status tutam ei licentiam largiebatur. quem quia nemo interpellabat aut verbis castigabat pro tuenda regali excellentia, Hormisdas magistratus interrogat num qui astarent haec libenter audirent. illico omnium clamore coorto Bindoes eum a throno abstrahit, et ablata a capite tiara satellitibus in custodiam abducendum committit. sic afflicta Bindois fortuna vicissim ad alium migrante, Hormisdas facta sua luit, discitque non esse lacessendos, qui iniuriarum ipsi nihil fecerint. Chosroes filius, parentem regno motum accipiens, cum timeret, ne se quoque paterna calamitas involveret, e locis ubi habitare consueverat, Adrabiganum fugit: fugientem Bindoes sequitur. sed ubi secum de republica diligentius cogitavit, eumque est adeptus, ut in paterno solio collocando revertendum illi censuit. qui fide cum sacramento data pignori accepta, in regnum se recepit. postridie Hormisdas e carcere mittit, cupere se Persarum communi suadere salutaria, oratque uti satrapae, et qui fungantur honoribus, quique in altiore gradu sint, cu-

περὶ μικρὰν τῶν λόγων ὑπεῖναι αὐτῷ τὴν ὑπόθεσιν. τούτων τοιγαροῦν διαγγελθέντων τοῖς ἐξέχουσι τῶν βαρβάρων, ἐκκλησία πρὸς τὰ βασίλεια γίνεται. ὑπεξάγεται δὲ τῆς φρουρᾶς καὶ ὁ Ὁρμίσδας, ὅπως τοῖς ἐπηγγελμένοις αὐτῷ πέρας προθήσοιτο. τοῦ τοίνυν ξυλλόγου συγκεκροτημένου πρὸς τὰ ἀνάκτορα, Ὁρμίσδας ἐς μέσον ἑστὼς τῶνδε τῶν λόγων ἀπήρξατο.

C 4. "Ἄνδρες θεαταί, ἀλλ' εἴθε μὴ βασιλικῶν ἀτυχημάτων δημιουργοί μοι γεγόνατε· οὕτω γὰρ οὐκ ἂν ἐκληρώσασθε βασιλέα δημηγόρον ἅμα καὶ δέσμιον. ἄνδρες νυνὶ μὲν γαῦροι πολέμιοι, τὸ δὲ πρότερον ὑπήκοοι καὶ μετὰ δέους πειθήνιοι. ἄνδρες θεαταί, ἀλλ' εἴθε μὴ τηλικούτων κακῶν προήλθετε σήμερον ὑπηρέται καὶ μάρτυρες. εἰ συγχωρήσοι τὸ δάκρυον, φωνὴν ἀφήσω προξενοῦσαν αὖθις τὸ δάκρυον· ὁρῶ γὰρ ὑμᾶς ἐπεντρυφῶντας τοῖς ἀδικήμασι καὶ κροτοῦντας τὼ χεῖρε, τοῖς ὀδοῦσι δὲ
D τετριγότας, τοῖς δὲ προσώποις μυκτηριζομένους ὁμοῦ καὶ φενακίζοντας, ἐκχύτους τῷ γέλωτι, ἀσχέτους τοῖς ὀνειδίσμασι, καὶ εἰ μὴ σφάλλομαι, παιγνίων ὑπόθεσιν ἔχοντας βασιλείας νόμον αἰδέσιμον. πάρεστιν γὰρ ὑμῖν ἐν μέσῳ προκείμενος ὁ πρὸ μικροῦ καθάπερ θεὸς προσκυνούμενος αἰχμάλωτος ὑπὸ τῶν πολλῶν ῥαπιζόμενος, ὁ ταῖς ἁλουργίσι περιρρεόμενος νῦν σεσηπότα ῥάκη
V 201 περιβαλλόμενος, ὁ θρύψει χρυσοῦ καὶ μαργαρίτου κατακοσμούμενος νῦν σχοίνῳ σιδηροτεύκτῳ ταλαιπωρούμενός τε καὶ κακουχούμενος,
P 95 ὁ τὰς τρίχας εὐθετιζόμενος καὶ τοῖς μύροις καταπνεό-

stodes etiam regii universi ad se conveniant: non enim de re parvi momenti verba facturum. haec ubi barbarorum principibus nuntiata sunt, conventus fit in regiam, educitur e custodia Hormisdas, promissa praestiturus. coetu igitur in palatium coacto, stans in medio, sic est profatus.

4. "Viri spectatores (utinam vero mihi regi vestro harum calamitatum non etiam architecti fuissetis, sic enim regem concionatorem, et eundem vinctum non habuissetis.) viri, nunc superbi hostes, paulo ante subditi, et non sine timore obedientes. viri spectatores (utinam vero tantorum malorum etiam auctores mihi, atque testes hodie non essetis) nisi vocem lacrimae intercludant, vocem mittam, quae rursum provocet lacrimas. video enim vobis nihil esse iucundius, quam iniuste laedere, et plaudere manibus, et frendere dentibus, et subsannare simul ac ludificari, et effuse irridere, et impotenter maledicere: ac, nisi fallor, pro lusu puerili veneranda regni legitima ducere. adest enim nunc in medio vestrum captivus, et ab infimis fuste mactatus, qui paulo ante tanquam deus adorabatur. qui purpura induebatur, nunc pannis putrescentibus tegitur. qui auro et margaritis in deliciis collucebat, modo in catena ferrea aerumnam exigit. qui capillum scite eleganterque componebat, et

μενος νῦν αἴσχιστως σκληραγωγούμενος καὶ τῷ ῥύπῳ καὶ τῇ κόνει
τῇ τε λήμῃ τῶν ὀμμάτων καὶ τῇ συμπλοκῇ τῶν βοστρύχων κατη-
γριώμενος τὴν πρόσοψιν, ὁ τοῖς μυρίοις γένεσι τῶν ἐδεσμάτων
κολακευόμενος νῦν ἀπόσιτος καὶ μικροῦ δεῖν καὶ τῶν τυχόντων
σπανιζόμενος ἄρτων, ὁ τοῖς χρυσοφόροις θαλάμοις ἐνδιαιτώμε-
νος κλίναις τε χρυσαῖς ἐμβλακευόμενος καὶ σισύραις λαμπραῖς ἐν-
τρυφῶν καὶ ἐφεστρίσι μεγαλοπρεπέσιν ἐγκαλινδούμενος νῦν ἐν
εἱρκτῇ στενοχωρούμενος καὶ πρὸς τοὔδαφος κατερριμμένος, μήτε
λείψανα εὐτελῶν ἀμφιασμάτων περιφερόμενος. ὁρῶ δὲ καὶ τῶν
προπατόρων τὸ κλέος προπηλακιζόμενον σήμερον ἐξ ὧν εἰς ἡμᾶς B
ἀνοσιουργοῦντες ἐδράσατε, οὓς ἐχρῆν ἀθανάτων τιμαῖς θερα-
πεύεσθαι ἐκ τῆς περὶ τοὺς ἀπογόνους ἰσοθέου δορυφορίας προσα-
γομένης ὁσημέραι. ἐπεὶ δὲ καὶ φύσεως παρ' ὑμῖν θεσμὸς ἀνα-
τέτραπται καὶ νόμοι κράτους ἠθέτηνται καὶ τάξις μοναρχίας κα-
ταπεπάτηται καὶ δίκης ἠφάνισται πρυτανεύματα καὶ ἀντίδοσις
τῶν βεβιωμένων φροῦδος καθέστηκεν, οὐκ ἐπιλήσομαι τῆς βα-
σιλικῆς ἀρετῆς, ἀλλ' εὐνοίᾳ τῆς τοῦ γένους συστάσεως τὰ συνοί-
σοντα τῇ Περσῶν πολιτείᾳ διέξειμι. ἄνδρες σατράπαι, καὶ ὅσοι
περὶ τὸν βασίλειον τουτονὶ συνηθροίσθητε χῶρον, κοινὰ κατὰ C
τῆς τυραννίδος στρατολογήσατε δόγματα, μὴ περιορῶντες ἐς τὸ
λοιπὸν ἐπηρεάζεσθαι βασιλείαν ὑπερφυᾶ τε καὶ δυνατωτάτην,
πρεσβῦτιδά τε καὶ φοβερωτάτην τοῖς τὴν οἰκουμένην οἰκοῦσιν ἀν-

unguenta spirabat, nunc tractatur foedissime et durissime, sordibusque ac pulvere, et oculis lacrimarum ac pituitae profluentia pene concretis, et implicatione crinium totus horridus et efferatus redditur. qui mille ferculorum generibus fovebatur, nunc victu caret et tantum non cibario pane eget. qui in thalamis versabatur inauratis et in lectis iacebat aureis molliter, gaudebatque stragulis fulgentibus, et enervabatur in sumptuosis amiculis, nunc in carcere coartatur, humi cubat, nec illi saltem vilium vestimentorum frusta ad velandum corpus suppeditant. quia etiam maiorum meorum decus et gloriam hodie per ea, quae in nos impie designastis, contumeliose despici video, quos honoribus colere sempiternis oportebat, ut eorum nepotibus quotidiana et augusta satellitum atque custodum praesidia constitueretis. sed quanquam apud vos et naturae ius eversum est, et potestas legum nihil valet, et status monarchiae sub pedes subiectus et iustitiae profligata administratio et rerum in vita bene gestarum relegata remuneratio, non obliviscar tamen virtutis regiae, sed benevolentia et amore erga Persici generis universitatem impulsus, quae communiter in rem fore intelligo, iam nunc explicabo. viri principes, et quotquot in hanc domum regiam pedem attulistis, communia adversus tyrannidem decreta sancite, nec regnum longe nobilissimum, potentissimum, vetustissimum, totique terrarum orbi in primis formidabile ullis de caetero damnis et incommodis vexari sustinete. alioqui principatum eximium destruetis, multorum triumphorum monumenta con-

θρώποις. εἰ δὲ μή, μεγάλην ἀρχὴν καταλύσητε, καὶ πολλῶν τροπαίων ὑπόθεσιν ἀνατρέψητε, καὶ μεγίστης δόξης ἀκρώρειαν καταβάλητε, μοναρχίαν τε δυσκαταγώνιστον διαρρήξητε, κἀντεῦθεν τῆς εὐδαιμονίας στερηθήσεσθε Πέρσαι, τῆς ἐξουσίας ἀναιρεθείσης ὑμῖν, τῶν περὶ τῆς βασιλείας νόμων ἀθετηθέντων διὰ τὸ τύραννον. ἀταξίας γὰρ στάσις πέφυκε πρόοδος, τὸ δ'
D ἄτακτον ἄναρχον, ἀναρχία δὲ λύσεως ἀφορμή, ἐκ τυραννίδος λαχοῦσα τὴν γένεσιν. αὕτη τὴν πολυαρχίαν ὠδίνουσα τὰ προϋπηργμένα καλῶς κακῶς διατίθησι, καὶ τῷ ἀνωμάλῳ τοῦ κράτους τῷ τε ἀσυμφώνῳ τῆς στάσεως τὸ ἑνιαῖον καὶ σύντονον τῆς ἀρχῆς διαλύσασα πάντα πάσχειν ἢ δρᾶν τοὺς φιλοτυράννους ἠνάγκασε. βασιλείας γὰρ σκάφος πολλοῖς τοῖς πηδαλίοις οἰακιζόμενον μικρά τις σπιλάδος ἐπιδρομὴ κατεβάπτισε, περισχιζομένης τῆς κυβερνήσεως πρὸς τὰς τῶν πολλῶν ἀντιθέτους ἐπιβολάς, ἄλλοτε ἄλλου
P 96 πρὸς τὸν οἰκεῖον σκοπὸν ἐπειγομένου κυβερνᾶν τὸ ἀκάτιον. οὐκοῦν εἰ μὴ τοὺς τυράννους ἀπολικμήσετε, τὴν βασιλείαν δουλαγωγήσετε καὶ παίγνιον τοῖς ἔθνεσιν ἔσεσθε, τῷ ἀσυμφώνῳ τῆς τοῦ βίου διαγωγῆς κατακληρωσάμενοι τὸ εὐάλωτον. ἔτι Βαρὰμ ἐν ποσίν, ἔτι τοῖς ὅπλοις ἀκκίζεται, ἔτι τῆς ὕβρεως ἔχεται, στρατεύσας κατὰ τῆς Περσίδος τὴν μάχαιραν. τεθνάτω παρανάλωμα θηρίων γενόμενος. μὴ τιμάσθω ὁ τούτου νεκρὸς τῇ ταφῇ, ἵνα μὴ ταῖς λαγόσι τῆς γῆς σηπεδόνα ψυχῆς βδελυρᾶς

9. τῷ deest IP.

velletis, et amplissimae gloriae altissimum fastigium deiicietis, monarchiamque pene invictam dissipabitis. hinc adeo felicitatem vestram amittetis, cum per tyrannum legibus de regno abrogatis potestatem in posterum nullam obtinebitis. seditio enim est ad confusionem et tumultum via. ubi confusio, ibi contumacia et imperii detrectatio. detrectare autem imperium, et nolle agnoscere dominum, rerum labefactationem producit, a tyrannide sumpto principio, quae ipsa multorum dominationem pariens bene habentia corrumpit, et imperii inaequabilitate seditionisque discordia unitatem et continuum perpetuumque tenorem principatus dissolvens tyrannidem arripientes omnia facere aut pati compellit. navim quippe regni multis gubernaculis gubernatam saxum aliquod non magnum e mari prominens occursu suo fractam demergit, divisa gubernatione ac propter multorum oppositos inter se flexus alio aliter, pro suo scopo, in eius rectionem animum intendente. quocirca nisi tyrannos contriveritis, servitute regnum mutabitis et gentibus ludibrio eritis, cum vos propter dissimilia vitae instituta subactu faciles praebebitis. adhuc Varamus ante pedes est; adhuc armis lascivit; adhuc districto in Persidem gladio male facere perseverat. moriatur ac belluis devorandus obiiciatur. ne sepulcro honestetur, ne in viscera terrae detestabilis animae

καταςπείρητε. ἀπογυμνούσθω τὴν κεφαλὴν καὶ Χοσρόης τοῦ
διαδήματος. οὐκ ἔστι βασιλικὸς τὴν ψυχήν, οὐκ ἀρχικῇ διανοίᾳ B
κεκόσμηται, οὐκ ἐξουσιαστικὸν τούτου τὸ φρόνημα. ἀκάθεκτός
ἐστι ταῖς ὁρμαῖς, λυσσώδης πέφυκε τὸν θυμόν, ἀφιλάνθρωπον
αὐτῷ περικέχυται βλέμμα, οὐκ οἶδε νόμοις προνοίας σεμνύνεσθαι,
τὸν τρόπον ἐστὶν ἀγέρωχος, τὴν ὄρεξιν φιλήδονος πέφυκε, πάντα
δεύτερα τίθεται τοῦ βουλήματος, οὐ καραδοκεῖ τὸ συνοῖσον,
τὴν εὐβουλίαν οὐκ ἐναγκαλίζεται, τὸ φιλότιμον ἀποπέμπεται, τῇ
φιλοχρηματίᾳ προσπλέκεται, φίλερις ὢν καὶ φιλοπόλεμος καὶ τῆς
εἰρήνης ἀνόρεκτος. χειροτονήσω δὲ τῷ λόγῳ βασιλέα σήμερον
ὑμῖν τὸ μειράκιον, ὃς παῖς ἐμὸς πέφυκεν ἀγαθός, ἀδελφὸς Χοσ- C
ρόου τὴν φύσιν, ἀλλ' οὐκ ἀδελφὸς τὴν προαίρεσιν. ἢ οὐκ εἰς V 202
μέγα τὰ Περσῶν περιήγαγον τάξεως, τῷ τῆς μεγαλοφροσύνης
οἴακι τὸ Βαβυλώνιον διιθύνων πολίτευμα; βάσανος δὲ τῶν λό-
γων Τοῦρκοι φορολογούμενοι, οἱ Διλιμνῖται καταθέντες κατὰ
τῶν ὅπλων τοὺς αὐχένας ἡμῖν, Ῥωμαῖοι πόλεις ἐπιφανεῖς ἀποβαλ-
λόμενοι καὶ τὰς δευτέρας τύχας τῇ ἐκπτώσει τῶν πρώτων δα-
κρύοντες. ταῦτα μὲν ἐγὼ ὁ πάντα δράσας καὶ πεπονθὼς διὰ τὸ
τῆς τύχης εὐμετάβολόν τε καὶ ἄστατον. ὑμῖν δὲ ἐν ἐξουσίᾳ τὸ
ἔχεσθαι τὴν τοῦ συνοίσοντος ἔφεσιν, ἢ καταμελήσαντας τοῦ κα-
λοῦ τὰς δευτέρας φροντίδας ἀποδοκιμάζειν, καὶ τῷ μεταμέλῳ D

15. μετὰ interpres. 20. καταμελετήσαντας IP.

putidum cadaver condatur, et Chosroae caput ne cingatur diademate. non est in eo regius animus, non ingenium principe dignum, non imperatorii spiritus. cupiditatum est incontinens, ira et rabie furit; truculento est aspectu, ad providentiae praescriptum graviter se gerere nescit, moribus superbus, in voluptates praeceps, voluntatem suam rebus omnibus anteponit; quod profuturum videatur, non expectat; consilia bona non amplectitur, laudis et honoris studium aversatur. avaritiae est implicitus, litigiosus, belli cupidus, pacis inimicus. decernam autem verbo vobis regem hodie adolescentem, eundem filium meum, praestabili probitate praeditum, qui cum sit natura Chosroae frater, non est frater etiam studiis ac voluntate. an vero ego cum magnitudine animi regnum Persicum administrans bello magna non gessi? vera me loqui testes sunt Turcae, qui nunc tributa nobis pendunt. testes Dilimnitae, qui cum armis cervices quoque nobis submiserunt. testes Romani, qui praeclaris urbibus amissis felicem sortem in adversam sibi conversam lamentantur. haec ego sentio, qui propter fortunae mutabilitatem inconstantiamque feci et passus sum omnia. in vestro situm est arbitrio id expetere quod cum rei publicae emolumento coniunctum existimabitis, aut neglecta utilitate secundas curas meas reiicere, et peccati poeniten-

τῶν ἡμαρτημένων πρὸς τὰ ἐν ποσὶν ὅ τι καὶ πράξετε διηπορηκότας ὀδύρεσθαι."

5. Ὅτε τοίνυν ἀπέρρει Ὁρμίσδα τὰ τῆς διαλέξεως νουθετήματα, Βινδάης ὁ Πέρσης βρασματώδη συστησάμενος γέλωτα ἀπεσκοράκιζεν Ὁρμίσδου τοῦ διαλόγου τὴν ἔκθεσιν, ἐς μέσον δὲ ἀνιστάμενος τάδε που τῷ ξυλλόγῳ παρέθετο.

P 97 "Ἄνδρες ὁμόφυλοι καὶ σύμμαχοι καὶ μισοτύραννοι, ἀλλ' εἰ μὴ νομοθετούντων ἔτι τυράννων ἀνέχεσθε. ἀδικεῖ καὶ νῦν ἰδιωτεύων ὁ τύραννος. ἔτι τῶν λόγων τὸ κράτος ἀμπέχεται, καὶ προστάττειν διεγχειρεῖ, καὶ βασιλεύει δημηγορῶν, καὶ θεσμοθετεῖ ἐπὶ βήματος, καὶ κατηγορεῖ στρατηγῶν, ἀποδοκιμάζει τε βασιλείαν, καὶ χειροτονεῖ τὸν μοναρχήσοντα, καὶ πάντα πάρεστιν αὐτῷ ἐν ποσὶν ὁπόσα οὐδὲ τὸ τῶν ἐνυπνίων φιλότιμον δωρεῖσθαι τοῖς ἀπατωμένοις δεδύνηται, μήτε τοσοῦτον ἐννοηθῆναι δυνάμενος, ὡς οὐ πέφυκεν ἐν συμβούλων μοίρᾳ γνωρίζεσθαι τοὺς μὴ τὰ περὶ ἑαυτῶν διαθεμένους ἐπιδεξίως τοῖς πράγμασι. πόθεν
B οὖν ἡμῖν ἐνέχυρον τῆς εἰσηγήσεως καταθήσει λίαν ἑδραῖον καὶ ἀξιόχρεων; ἢ τὴν ἑαυτοῦ τύχην κατεγγυᾶν ἡμῖν ἐσοφίστευσεν, ἐθέλων ἡμᾶς συνδεσμίους θεάσασθαι καὶ τῶν αὐτῶν παθημάτων κοινωνοὺς ἀνευθύνους; οὐ γὰρ τῶν ἐκείνῳ πεπλημμελημένων μετέσχομεν τυραννούμενοι. πῶς δὲ κατὰ τυραννίδος γλῶτταν κεκίνηκεν ὁ μηδένα νόμον Περσῶν καταλιπὼν ἀτυράννητον, ὁ λη-

12. μοναρχήσαντα IP.

tis ductos, quia quid faciendum esset in rebus manifestissimis dubitaveritis, in luctum vos dare."

5. Ubi Hormisdae admonitio finem habuit, Bindoes immodico risu diffluens Hormisdam cum sua concione in malam crucem abire iussit. ipse in medium surgens concilium sic est affatus.

"Viri cives atque socii et tyrannidis osores (si tamen tyrannos etiam nunc vobis leges imponere conantes non toleratis), etiam privatus nobiscum iniuste agit tyrannus iste. adhuc imperiose loquitur, et iubere audet, et concionando regnat, et quasi e tribunali leges praescribit, duces accusat, statum regni improbat, monarcham creat, et omnia ei prompta ac parata sunt quae nec somniator ullus unquam per quietem sibi falso donata videre potuit. nec istuc saltem apud se cogitare potest, non solere pro consiliariis agnosci qui res suas ipsi male procuraverunt. quod igitur suasionis suae pignus adeo firmum et idoneum daturus est? fortunamne suam sponsione obstringere nobis veteratorie meditatus est, volens nos una secum vinculis oneratos eorundemque casuum socios quanquam innocentes aspicere? nec enim cum eius tyrannidi subessemus, paria cum illo delicta conscivimus. quomodo autem adversus tyrannos linguam movere non dubitat, qui nullam Persarum legem tyran-

στρικώτερον ἄρξας, καὶ τὴν ἐξουσίαν κιβδηλεύσας τῇ βίᾳ, ἐπομβρήσας δὲ τοῖς φόνοις παρὰ πάντα τὸν τῆς ἡγεμονίας καιρόν, καὶ μικροῦ δεῖν τὸν Τίγριν ἀποχερσώσας τοῖς σώμασιν, ὁ τοῖς τάφοις εὐθηνίαν πραγματευσάμενος, καὶ τοῖς αἵμασι καταπιαίνων τὴν μάχαιραν, καὶ σπάνιν ἀνθρώπων ἐκπορευόμενος, ἵνα τὴν C κακίαν ἐξ ὀλιγανδρίας ὠχυρωμένος ἀθάνατα τὰ τῆς τυραννίδος ἀποκληρώσηται. παίδων γνώμης ἐκδιαιτητὴς ὁ μὴ ταῖς ἑαυτοῦ πράξεσι δεδικακὼς τὰ συμφέροντα. ἄπαγε τῆς ἀτοπίας, Ὁρμίσδα. οὐ σοφιστεύουσι μετὰ καθαίρεσιν τύραννοι· οὐ νομοθετοῦσι γεγονότες ὑπήκοοι· οὐ συμβουλεύουσι κατακριθέντες τὸν θάνατον. ἐπεὶ τοίνυν τῶν ὑπηκόων οὐ πρόσεστί σοι τὸ λοιπὸν τυραννεῖν, ἐπήρειαν κατὰ τῶν παίδων ὁ δείλαιος ἐμμελετήσας ἀδικεῖν τῷ νεωτέρῳ τὸν πρεσβύτερον εἵλου, ἵνα μὴ σχοίη ποτὲ D τὰ τῆς σῆς ἀδικίας ἀνάπαυλαν. τὸ Τουρκικὸν ὑποφόρους τελεῖ. ἀλλ' οὐ τῆς σῆς ἀγχινοίας ταῦτα πέφυκε μελετήματα· ταῦτα προνοίας ἔργα καὶ θανατῶντες Πέρσαι ἀρεταί τε στρατηγῶν καλῶς ἐτεκτήναντο. πόλεις καὶ ἄστεα τὸ Ῥωμαϊκὸν ἀπεδύσατο. ἀλλ' οὐ πεισθήσονται Πέρσαι· οὐ γὰρ τὰ πράγματα τοῖς λόγοις συνδιατίθενται. ἢ οὐχὶ θυραυλοῦσιν ἡμῶν τὸν πόλεμον παίζοντες, καὶ φιλεπίδημον φόνον κατασπιλάζοντες περὶ τὴν Περσικὴν ἀναχέονται φάραγγα, καὶ τὸ κωλῦσον οὐκ ἔστι διὰ τὸ σὸν φιλοπόλεμον; V 203 πλήρεις οἱ σοὶ θησαυροὶ τοῦ χρυσοῦ. ἀλλὰ καὶ τῶν

nidis suae expertem reliquit? qui regnavit ut latro, potestatemque violentia corrupit ac depravavit. qui per omne regni sui spatium caedibus multo creberrimis debacchatus, Tigrin iniectis a se iugulatorum corporibus propemodum innavigabilem effecit. qui sepulcris omnia replere contendit, gladium sanguine pinguefaciens et raritatem hominum importans, ut ex paucitate vivorum quaesito improbitati suae tutamento tyrannidem exercere immortaliter posset. filiorum indolem mentesque diiudicat, qui quid ipse utiliter agere deberet iudicare omisit. apage, Hormisda, cum ista tam insolenti novitate. non philosophantur post abdicationem tyranni; non dant leges ipsi redacti sub leges; non dant consilium damnati capitis. et quia posthac cives iniquo imperio discruciare non potes, adversum filios tuos, miser, contumelias comminisceris. in seniorem per iuniorem iniurius esse voluisti, ne unquam a scelere vacares. Turcas tributa pensitare fateor, verum non hic industriae solertiaeque tuae labor est. haec providentiae opera et Persae ferro corpora sternentes et duces virtute sua moliti sunt. urbes et oppida Romani perdiderunt. atqui ut istud credant Persae, sero adducentur: nec enim cum verbis res ipsa consentit. an non foris in stativis permanent, arma nostra irridentes, atque a stragibus hostium in sua provincia edendis refugientes castra Persica circumfundunt, quique eos propter divinum tuum bellandi studium prohibeat, nemo est? thesauri auro pleni sunt tibi: sed et ple-

ὀδυρμῶν αἱ πόλεις τε καὶ οἱ θάλαμοι ἀγροί τε καὶ αὐλῶνες καὶ P 98 γήδια. καὶ μιᾶς συμφορᾶς πᾶσα κεκοινώνηκε τύχη, ἵνα δυστυχεστάτης αὐτὸς εὐδαιμονίας ἐμφορηθείης, ὑπὸ τῶν χρημάτων καταρδευόμενος. ἄπιθι λοιπὸν ἐκποδών, τῶν σῶν ἀδικημάτων παρασχόμενος δίκην. ἑνὸς ἀνθρώπου φθορὰ σωφροσύνης ἔστω διδάσκαλος, καὶ τοῦτο νόμος ἔστω λίαν ἐπιεικὴς τοῖς μετὰ ταῦτα καὶ σωτήριος· οὐ γὰρ ἀλαζονείας τρυφήν, ἀλλ' ἀνεπονειδίστου οἰκονομίας ὑπεροχὴν ἡ τῆς βασιλείας ἀναγόρευσις ἐπαγγέλλεται."

B 6. Ὁ μὲν οὖν ξύλλογος κατεκελάδει Ὁρμίσδου, ὑβρίζοντες ἐς αὐτόν, καὶ τῶν λόγων τὴν παρρησίαν ἀπεφαυλίζοντο, ἐτράποντο δ' ἐς τὰ μάλιστα ἐς θυμόν, κυνοφθαλμιζόμενοί τε παρεδριμύττοντο, τοῦ θράσους ἀγάμενοι τὰ φυσήματα. καὶ πολλῇ τῇ ἐκχύσει τοῦ ἐρεθίσματος ἄγουσιν εἰς μέσον τὸν παῖδα Ὁρμίσδου, τὸ μειράκιον ἐκεῖνο τὸ δύστηνον, εἶτα ἀποσφάττουσί τε ὁρῶντος Ὁρμίσδου, πάντα τῇ ὀργῇ χαριζόμενοι. ἀτὰρ μὴ μέχρι τούτου τοῖς κακοῖς ὑπόθεσιν παρεχόμενοι, καὶ τοῦ Ὁρμίσδου τὸ γύναιον ἐς μέσον παραστησάμενοι ἀπὸ τῆς κύστεως τεμαχίζουσι, κακῶς δικαζούσης τῆς μαχαίρας τοῖς μέλεσι. τὸ μὲν C οὖν γύναιον ἅμα τῷ κατηθλιωμένῳ παιδὶ οὕτω τὸν βίον ἐν ἐπισήμῳ θεάτρῳ καταστρεψάμενον τραγῳδίας ὑπῆρχεν ὑπόθεσις· ἐπεὶ δὲ τῆς δυστυχοῦς ἱστορίας γέγονεν Ὁρμίσδας ἀπαράγραφος μάρτυς, κληροδοτεῖται τὴν τύφλωσιν, καὶ τοῦτό πως ἦν αὐτῷ τῶν συμφορῶν ἐπιμύθιον. περόνας γὰρ σιδηρᾶς ἀνθρακεύσαν-

nae lamentorum urbes, thalami, rura, convalles, agelli. et ut tu pecuniis coacervatis infelicissima felicitate ingurgitarere, fortuna et status omnis unam et communem calamitatem accipere debuit. quamobrem te hinc aufer, tuorumque scelerum poenas persolve. unius hominis interitus caeteros sapere doceat; et hoc in legem posteris aequam valde et salutarem esto, siquidem non delicatam arrogantiam et ostentationem, sed administrationis omni probro vacantis excellentiam regum declaratio pollicetur."

6. Concilium igitur contra Hormisdam tumultuari, voces ignominiosas iacere, eius sermonis libertatem flocci pendere ac pro nihilo ducere. succenduntur ira incredibili, et irreverenter plane virum intuentes exacerbantur, tam inflatos confidentiae spiritus admirantes. deinde filium ipsius adolescentulum illum miserum, certatim capto illudentes, in medium adducunt, et omnimode furori suo gratificantes in conspectu patris morte afficiunt, ultraque saevitia progressi coniugem producunt et ab imo ventre in partes haud aequas dissecant. ita mulier cum miserando filio in celebri theatro vita cum sanguine finita tragoediae argumentum praebuit. Hormisdas postquam calamitosi spectaculi testis omni exceptione maior factus est, utroque lumine orbatus hoc suorum casuum auctarium habuit. nam acus ferreas in mediam prunam coniectas et igni-

τες καὶ μάλα καρτερῶς ταύτας συνουσιάσαντες τῷ πυρὶ ἐπὶ τὰς κόρας τῶν ὀμμάτων ἐπέβαλλον, οὕτω τε τῷ ὑδρῳ τὸν Ὁρμίσδαν μετὰ βασάνων τιβίζοντες, νύκτα κατ' αὐτοῦ τὸ λοιπὸν διὰ παντὸς ἐψηφίζοντο, ὑποτοπάσαντες μή πως διαδράσειε καὶ πράγματα παράσχοιτο τῇ Περσῶν πολιτείᾳ, ἔναυλον τὴν μνήμην κατέχοντες τῶν ὑπὸ Καβάδου τελεσιουργηθέντων, ὁπηνίκα τὰ Περ- D σικὰ σκῆπτρα κατέθετο. ὁ Καβάδης γὰρ οὗτος πατὴρ μὲν ἐγεγόνει Χοσρόου τοῦ πάλαι Περσῶν βασιλεύσαντος, ἐπεὶ δὲ παλαμναῖός τις ἦν τήν τε ἐξουσίαν πρὸς βίαν περιεβάλετο καὶ ἐς τυραννίδα τὰ τῆς βασιλείας μετέβαλε, τῆς ἀρχῆς αὐτὸν παραλύουσι Πέρσαι, ἐν εἱρκτῇ τε ἐναποθέμενοι τοῖς τῆς ταλαιπωρίας τιθηνεῖσθαι κόλποις παρέδοσαν. τούτου τὸ γύναιον τὰς εἰσόδους παρ' αὐτὸν θαμά τε καὶ συχνῶς ἐπεποίητο ὁσημέραι, ἐθεράπευέ τε διακονούμενον, καὶ ταῖς εἰσηγήσεσιν ἐψυχαγώγει ἐμφρόνως φέρειν τῆς ἀπαισίου τύχης τὰ δράματα. ὁ μὲν οὖν ἐφεστηκὼς P 99 τοῦ φρουρίου, ὃς ταγματάρχης τε ἦν καὶ στίφους στρατιωτικοῦ ἐπιστασίαν ἐκέκτητο, τοῦ γυναίου καταπίπτει ἐς ἔρωτα. ὁ οὖν Καβάδης τοῦτο ἀκηκοὼς παρενεγγύα τῇ γυναικὶ ἐς ταὐτὸν εὐνῆς τῷ φρουράρχῃ γενέσθαι καὶ φέρειν τῆς τύχης ἅπασαν σπιλάδα προσπίπτουσαν. οὗ δὴ γεγονότος ἔκλυτος ἦν ἡ φρουρά, τό τε σύντονον τῆς διαφυλακῆς ἐκεχαύνωτο, καὶ δουλαγωγεῖται τῇ ῥαθυμίᾳ τὸ ἄγρυπνον. ἐντεῦθεν ὁ Καβάδης μεταβολὴν τῶν ἐνοχλούντων ἐμπορευσάμενος, καὶ τὴν ἐσθῆτα τοῦ γυναίου ἀμφιασάμενος, τῆς εἱρκτῆς ἐξεχώρησε, καταλείψας τὸ γύναιον τὴν στολὴν αὐτοῦ ἀμπεχόμενον. Σεώσην τοίνυν δοκιμώτατον φίλον B

tas pupillis cum cruciamento intruserunt, nocteque perpetua illum damnaverunt. timebant enim ne forte aufugiens Persarum rei publicae negotium facesseret, cum adhuc alta mente repostum maneret, quid Cabades sceptrum Persicum deponere coactus perpetrasset. Cabades namque hic Chosroae olim Persarum regis pater fuit. quoniam autem homo sanguinarius erat et potestatem vi occuparat tyrannicisque moribus regnum deformabat, principatu deiectum Persae custodia claudunt et aerumnae alumnum donant. ad quem uxor saepius quotidie ventitans officiose marito inserviebat, et ad tristis fortunae ludum sapienter perferendum admonitionibus suis permovebat. hinc castelli idemque turmae militaris praefectus mulieris amore captus, eam ut sibi obsequeretur rogavit. quod ubi Cabades ex ea cognovit, hortatur uti quamcunque a fortuna labem ne recuset et hominis complexum admittat. re perfecta et custodia fit solutior, languescunt excubiae, et insomniae vigiliarum socordia dominatur. itaque Cabades incommodis suis mutationem inveniens, vestem uxoris indutus, illamque sua vicissim veste indutam relinquens, e custodia egreditur, et ascito Seose amico probatissimo ad Hunnos acce-

παραλαβὼν τοῖς ἔθνεσι τῶν Οὔννων προσομιλεῖ, οὓς Τούρκους
πολλαχοῦ που ἡ ἱστορία ἐγνώρισεν. εἶτα ὑπὸ τοῦ βασιλέως τῶν
Ἐφθαλιτῶν φιλοφρονώτατα ξενισθείς, δυνάμεις τε ἀξιολογωτά-
V 204 τους περιβαλόμενος, μάχῃ τῶν ἀντιπάλων κεκρατηκὼς ἀπολαμ-
βάνει τὸ κράτος, ἀναζεύξας πρὸς τὰ βασίλεια. ὁ μὲν οὖν Κα-
βάδης ἀντιταλαντεύων Σεώσῃ τῷ τῆς φιλίας θεσμῷ τὴν ἀντίδο-
σιν ταῖς ὑπεροχαῖς τῶν ἀρχῶν τοῦτον ἐλάμπρυνε, δίκας ὑπὸ τῶν
ἠδικηκότων ὠμότατα εἰσπραξάμενος. ταῦτα γοῦν, ταῦτα οἱ
τῶν Περσῶν σατράπαι διανοούμενοι ἐκκοραΐζουσι τὸν Ὁρμί-
C σδαν. (7) ὅτε γοῦν τῷ ξυλλόγῳ ἅπαντα τὰ πρὸς ὀργὴν ἐπεπέ-
ραστο, ἀνάγεται Χοσρόης ἐπὶ τὸν βασίλειον θρόνον, τῇ τε ἀψῖδι
τῇ χρυσῇ παρεστώς, ὡς ἔθος Πέρσαις ἀναγορεύεσθαι, προσε-
κυνεῖτο βασιλικώτατα καὶ ταῖς εὐφημίαις τὰ ὦτα περιεκλύζετο.
ὁ μὲν οὖν ἄχρι τινὸς τὸν πατέρα περὶ τὴν φρουρὰν ἐφιλοφρονεῖτο
παρηγορούμενος, τῆς τε βασιλικῆς ἑστιάσεως μέτοχον ἐπεποίητο,
πέμπων ὡς αὐτὸν ἐν λεκανίσι χρυσαῖς μυττωτοὺς καὶ κῶλα θή-
D ρας βασιλικῆς, βουβαλίδων τε καὶ δορκάδων καὶ ὄνων ἀγρίων
τῶν μελῶν τὰ ἐπίσημα, ἀνθοσμίας τε οἴνους καὶ ποικίλων προ-
πομάτων κατασκευάς, ἄρτους τε εὖ πεπεμμένους καὶ γάλα καὶ
λάχανα, καὶ ὁπόσα ἄλλα γαστριζομένοις τυράννοις δορυφορεῖται
ἐς τραπέζης πανήγυριν. ὁ δ' Ὁρμίσδας ἀπεδοκίμασε τὸ τοῦ βα-
σιλέως φιλότιμον, καὶ λίαν κενταυρικῶς ἐλοιδορεῖτο τοῖς διακο-
νουμένοις αὐτῷ· ὠβέλιζε γὰρ εἰκότως οἰκτιρμὸν ἐπονείδιστον,

3. νεφθαλιτῶν IP.

dit, quos esse Turcas multis locis monuimus. ab Ephthalitarum rege benevolentissime acceptus copiisque instructissimis adiutus victis certamine inimicis regnum postliminio recepit, et in regiam reversus ex amicitiae legibus pares gratias retulit, cum eum summis honoribus illustravit: de persecutoribus poenas crudelissime sumpsit. hoc igitur, hoc, inquam, Persarum satrapae formidantes Hormisdam oculis privandum censuerunt. (7) postquam conventus per omnia iram suam explevit, Chosroes in thronum regium extollitur, stansque sub fornice aureo, ut apud Persas more receptum est cum reges proclamantur, adoratur regalissime, et omnium aures fausta acclamantium vocibus circumsonant. hic aliquandiu patrem in carcere solatiis mulcet amanter et regio victu sustentat, mittens ad eum intrita in patinis aureis, ac de venatione regia bubulorumque caprearum et agrestium asinorum partes praecipuas, vina item odorata et propinamenta variorum generum, panes praeterea exquisite coctos, lac, olera, et quaecunque alia regibus ventri et abdomini deditis ad mensam panegyricam subserviunt. caeterum Hormisdas studium regis erga se contemnens, ut Centaurus aliquis (id est, ferum et agrestem in modum), quae sibi ministrabantur vituperabat. non imme-

ἀποπομπούμενος ὕβριν ὑποκριναμένην εὐσέβειαν. τοῦτό τοι καὶ ἀποτερματίζει τῷ Ὁρμίσδᾳ τὸν θάνατον· τυμπάνοις γὰρ κατὰ P 100 τῶν λαγόνων παιόμενος καὶ ῥοπάλοις τοὺς ἐν τῷ τραχήλῳ σφονδύλους συνθλώμενος καταλύει τὸν βίον πικρότατα. ὁ δὲ Χοσρόης τηλικούτῳ μύσει τὰ τῆς βασιλείας βεβηλώσας προαύλια ἐπιβατήρια τοῦ κράτους ἐπανηγύρισε, χρυσῷ τε πολλῷ ἐφιλοτιμεῖτο τοὺς ἐπιφανεστάτους τῆς Περσῶν βασιλείας, τῆς τε φρουρᾶς ὑπεξῆγε τὰ πλήθη, κατειρωνευόμενος ἐντεῦθεν οὐκ ἔσεσθαι τῆς πατρῴας ἀπανθρωπίας διάδοχος. ἕκτῃ δ' ἡμέρᾳ, καὶ δι' ἐπιστολέως μετεπέμπετο Βαρὰμ γενέσθαι ὡς αὐτόν, καὶ δώροις βα- B σιλικοῖς μεγατιμίοις ἐπιθάσσευε τοῦτον καταθέσθαι τὸ τύραννον. ὑπισχνεῖτο δὲ καὶ τὴν δευτέραν τοῦ κράτους ἀπονεῖμαι ἀξίαν αὐτῷ, τοῖς τε προημαρτημένοις διαλύσασθαι, ἐνέχυρόν τε τῆς ὁμολογίας ὅρκον μεσίτην παρέχεσθαι. ὁ δὲ Βαρὰμ ταῖς βασιλικαῖς ἐντετυχηκὼς συλλαβαῖς τοῖσδε τὸν Χοσρόην ἠμείψατο γράμμασιν. ἤδη γὰρ παραθήσομαι καὶ αὐτὴν τὴν τοῦ Βαράμου ἐπὶ λέξεως σύμφρασιν.

"Βαρὰμ φίλος τοῖς θεοῖς, νικητής, ἐπιφανής, τυράννων C ἐχθρός, σατράπης μεγιστάνων, τῆς Περσικῆς ἄρχων δυνάμεως, ἔμφρων, ἡγεμονικός, δεισιδαίμων, ἀνεπονείδιστος, εὐγενής, εὐτυχής, εὐεπήβολος, αἰδέσιμος, οἰκονομικός, προνοητικός, πρᾶος, φιλάνθρωπος Χοσρόῃ τῷ παιδὶ Ὁρμίσδου. τὰ γραφέντα παρὰ τῆς ἐλλειποῦς ὑμῶν καὶ μικροτάτης συνέσεως ἐδεξάμην, καὶ τὰ σταλέντα παρὰ τῆς σῆς τολμηρᾶς ἐγχειρήσεως οὐκ ἀπεδεξάμην·

rito autem misericordiam illaudabilem aversabatur, et simulatam pietatem ut apertam iniuriam excludebat; id quod exitium ei peperit: fustibus enim in ilia impactis et collo ictibus clavarum confracto acerbissime vitam exuit. Chosroes cum tam inexpiabili scelere primordia regni sui contaminasset, pro adepto imperio laetitiam publicam instituebat, et in Persarum nobilissimos quosque largitiones auri prodige faciebat: catervas e carcere dimittebat, quo a paterna crudelitate longius abfuturus crederetur. die sexto per epistolam accitur Varamus, donisque pro magnificentia regia ad tyrannidem abiiciendam invitatur. proximi item ab rege honores in regno, admissorum condonatio, pactique huius pignus iusiurandum intercessurum, promittuntur. Varamus lecta regis epistola hunc in modum rescribit ad verbum.

"Varamus deorum amicus, victor insignis, tyrannorum inimicus, satrapa megistanum sive procerum, Persicarum copiarum imperator, sapiens princeps, religiosus, inculpabilis, nobilis, beatus, voti compos, venerandus, oeconomicus, providus, mitis, humanus, Chosroae Hormisdae filio. quae ab imperfectione parvissimaque prudentia tua mihi scripta sunt, recepi, munera confidenter abs te missa repudiavi: nam ne-

ἔδει γὰρ μήτε γράμμασι μήτε δωρήμασι βασιλικοῖς χρήσασθαι ὑμᾶς πρὸς ἡμᾶς, καὶ μάλιστα οὕτως ἀτάκτου τῆς σῆς χειροτο-
D νίας προελθούσης κατὰ τὴν Περσικὴν πολιτείαν, καὶ μήτε τῶν εὐγενῶν καὶ ἀξιολόγων συμψήφων γενομένων τοῖς ἀτακτοτέροις καὶ δυσγενεστέροις ἀνθρώποις. ἵνα μὴ οὖν τοῖς πατρῴοις ἐπι-
V 205 πέσῃς κινδύνοις, τὸ μὲν διάδημα ἐν ἱεροῖς ἀποθέμενος τόποις τῶν βασιλικῶν τόπων ὑπέξελθε,· τοὺς δ' ἐπὶ πταίσμασιν ἑαλωκότας ἐν εἱρκτῇ αὖθις ἀποθέσθαι τοὺς τὰ ὅμοιά σοι τετολμηκότας ἀναγκαῖον· οὐδὲ γὰρ μετὰ τῆς σῆς δυνάμεως ἴδιον ἀνεξετάστως τοὺς κακούργους ἀνθρώπους παραλῦσαι τῆς πρεπούσης αὐτοῖς παρὰ τῶν νόμων ἐπεξελεύσεως. ταῦτα δὲ ποιήσας ἐλθὲ πρὸς ἡμᾶς, καὶ κλιματάρχης τῆς Περσικῆς πολιτείας παραυτίκα γενήσῃ. ἔρρωσο, φρονῶν τὰ συμφέροντα. εἰ δὲ μή, προγονικῶς διαφθάρηθι."

P 101 8. Τοῦ δὲ γραμματοφόρου συντόνῳ κινήσει τινὶ θᾶττον παραγεγονότος εἰς τὰ βασίλεια καὶ τὸ πυκτίον τῶν ὑπὸ Βαράμου συγγεγραμμένων τῷ βασιλεῖ παρακομισαμένου, τῇ ἐπαύριον ἅπαντας εἰσκαλεσάμενος ὁ τοῦ Περσικοῦ βασιλεὺς εἰς ὑπήκοον τῶν συνεληλυθότων παρεγύμνου τὰ ὑπὸ Βαρὰμ σοβαρῶς γεγραμμένα. οἱ δὲ σατράπαι καὶ οἱ ἄλλοι ταῖς τῶν ἀξιωμάτων τύχαις καταλαμπόμενοι ἐδεινοπάθουν ἐπὶ τοῖς ἐκτόπως τετολμημένοις τῷ Βαράμ, τὸν δὲ βασιλέα πρὸς ὀργὴν ἐξεβάκχευον, κοινὸν τῆς Περσίδος τύραννον ἐς τὸ φανερὸν ἐκεῖνον αὐτὸν τὸν Βαρὰμ γρά-
B φοντες. ὁ δὲ βασιλεὺς ὁ Βαβυλώνιος δεδιὼς μὴ ταῖς ἀπειλαῖς τῶν λόγων ἐκτραχύνῃ τὸν τύραννον πρὸς τὸ ἀπειθέστερον, κρύ-

que litteras neque dona regalia ad nos mittere conveniebat, cum praesertim te rege creando tanta sit in rem publicam Persarum invecta perturbatio, et neque nobiles neque alicuius pretii homines cum turbulentis illis ac plebeis societatem coiverint. ne igitur paterna te calamitas excipiat, deposito in sacris locis diademate regia excede. qui porro deliquisse convicti sunt, qui, inquam, paria tuis sceleribus ausi sunt, eos de integro in carcerem trudi oportet. non enim potestatis tuae est homines maleficos citra discrimen legum poenis eximere. haec ubi feceris, te ad nos confer, et statim climatarcha Persidis (hoc est, tractus alicuius terrarum seu regionis praefectus) creabere. vale, et conducibilia fac cogites. sin minus, cum patre tuo male peri."

8. Cum tabellarius magnis itineribus celeriter in regia affuisset tabellasque a Varamo conscriptas regi tradidisset, die postero convocatis ad unum optimatibus magistratuumque honore illustribus ad se Varamo superbe scripta commemorat. illi inusitatam viri audaciam graviter et iniquo animo ferunt, regique faces irarum subiiciunt, Varamum communem Persidis tyrannum esse palam decernunt. rex metuens ne verborum

πτει μὲν παρ' ἑαυτῷ τὸ δοκοῦν, καὶ ὥσπερ ὑπὸ παραπετάσματι τῷ ἐπιπλάστῳ τῆς κολακείας τὴν τοῦ Βαρὰμ ὑποκλέπτων δευτέραις ἀξίωσιν καθυφεῖναι τοῦ ὄγκου τὸν ἀντιπράττοντα, τάδε πως ἐν βιβλίῳ ἐγχαράξας αὐτῷ. οἶμαι δ' οὐκ ἀναξιόλογον καὶ αὐτὴν τὴν συνθήκην προθεῖναι τῆς λέξεως, ἵνα τῷ ἀμεταμόρφῳ τῆς τῶν πραγμάτων ἐκθέσεως ἀθόλωτα τὰ τῆς ἀληθείας ἀρύσοιντο οἱ ξένων καὶ ἀκορέστων ἀφηγημάτων κατορεγόμενοι.

"Χοσρόης βασιλεὺς βασιλέων, δυναστευόντων δεσπότης, κύριος ἐθνῶν, εἰρηνάρχης, τοῖς ἀνθρώποις σωτήριος, ἐν θεοῖς C μὲν ἄνθρωπος ἀγαθὸς καὶ αἰώνιος, ἐν δὲ τοῖς ἀνθρώποις θεὸς ἐπιφανέστατος, ὑπερένδοξος, νικητής, ἡλίῳ συνανατέλλων καὶ τῇ νυκτὶ χαριζόμενος ὄμματα, ἐκ προγόνων ἐπίσημος, βασιλεὺς μισοπόλεμος, χαριστικός, ὁ τοὺς Ἄσωνας μισθούμενος καὶ τὴν βασιλείαν Πέρσαις διαφυλάττων, Βαρὰμ στρατηγῷ Περσῶν, ἡμετέρῳ δὲ φίλῳ. ὑπομνηστικὸν τῆς πολυθρυλλήτου ὑμῶν ἀνδρείας ἐδεξάμεθα, καὶ γνόντες ὅτι ὑγιαίνετε, ἐχαροποιήθημεν. τινὰ δ' ἐν τῇ ἐπιστολῇ ῥήματα παρετέθηκας, ἃ ἐκ τῆς σῆς οὐκ D ἐγεννήθησαν καρδίας. ἀλλ' ἴσως ὁ τοῦ γράμματος ὑπουργὸς οἴνῳ πολλῷ μεθυσθεὶς καὶ ὕπνῳ ἀμέτρῳ περιβληθεὶς μάταια καὶ ἀλλόκοτα ἐνύπνια συνεγράψατο. ἀλλ' ἐπειδὴ τὰ δένδρα ἐν ταῖς ἡμέραις ταύταις τὰ ἱμάτια ἀπεδύσαντο καὶ οὐκ ἰσχύουσι τὰ ἐνύπνια, διὰ τοῦτο οὐκ ἐταράχθημεν. ἡμεῖς δὲ καὶ τὸν βασίλειον θρόνον καλῶς ἀπελάβομεν, καὶ τὰ νόμιμα Πέρσαις οὐκ ἀνετρέ-

17. an παρετέθηκας?

minis tyrannum exasperatum ad officium praefractiorem redderet, sententiam suam occultam habet, et ficto velatoque blandimento eum captans, ut ad secundam saltem petitionem de arrogantia remitteret, hunc ei libellum scribit; quem ad verbum apponere, non alienum fore opinor; quo expositione rerum nihil variata veritatem puram ac liquidam hauriant, qui novarum narrationum delectatione satiari non possunt.

"Chosroes rex regum, dominantium dominus, gentium dominus, princeps pacis, hominum salus; inter deos quidem homo bonus et aeternus, inter homines autem deus illustrissimus; victor longe gloriosissimus, cum sole exoriens, nocti oculos (stellas) largiens, a maioribus nobilis, rex belli osor, bene merens de omnibus, Asonas mercede conducens et regnum Persis custodiens, Varamo Persarum duci, amico nostro. schedam multorum sermonibus praedicatae fortitudinis vestrae suscepimus, intellectoque vos bene valere gavisi sumus. repcriebantur autem verba quaedam intexta epistolae, quae ab animo tuo haud profluxerunt: sed fortasse amanuensis probe appotus altoque somno demersus vana et monstrosa somnia sua litteris exaravit. quoniam vero diebus istis arbores suas vestes (frondes) deposuerunt et somnia non valent, ideo res nihil nos perturbavit, qui in sedem regiam heneste successimus, et Persarum

ψαμεν, τοὺς δ' ἐκ φυλακῆς διασωθέντας πάλιν φυλακῇ οὐκ ἐπιθῶμεν· οὐ γὰρ πρέπει βασιλέως δωρεὰν χηρεύειν δυνάμεως. τὸ μὲν οὖν διάδημα ἐπὶ τοσοῦτον τεθαρρήκαμεν μὴ ἀποτίθεσθαι,
P 102 ὡς ἐλπίζειν ἡμᾶς, καὶ εἴπερ ἄλλοι εἰσὶ κόσμοι, κἀκείνων βασιλεύειν. ἐρχόμεθα δὲ πρὸς σὲ βασιλικώτερον, ἢ λόγοις πείσοντες ἢ τοῖς ὅπλοις καθυποτάξαντες. ἐὰν θέλῃς εὖ ἔχειν, φρόνει τὰ δέοντα. ὑγίαινε, ἐσόμενος ἡμῶν ἄριστος σύμμαχος."

B 9. Ὅτε γοῦν ταῦτα ἐπεπόμφει ὁ βασιλεὺς τῶν Μήδων
V 206 τῷ τυράννῳ Βαράμ, αἱ δυνάμεις πάντοθεν ἠρανίζοντο. συλλέγει τε τὸ ὁπλιτικὸν τούς τε περὶ τὸ Ἀδραβιγάνων, τούς τε ἐπικαθημένους τοῖς μέρεσι τοῦ Ζαβᾶ ποταμοῦ. οὐ μὴν ἀλλὰ καὶ τοὺς ἀνὰ τὴν Νίσιβιν στρατοπεδευομένους ἀνελέξατο ὡς τάχος. καὶ δῆτα ὁπηνίκα τὰς ἐπισωρευθείσας αὐτῷ δυνάμεις εἰς ἕνα ἐπεστοίχισε χῶρον, χρήμασι φιλοφρονησάμενος, ταῦτ' ἄρ' ἡγεμόνας προΐστησι, τὸν μὲν Σαράνην τοῦ δεξιοῦ ἐπιστατεῖν παρακελευσάμενος στίφους, Ζαμένδην δὲ τοῦ εὐωνύμου κλίτους προστάττει ἡγήσασθαι, τὸν δὲ Βινδόην τὴν μέσην περιβάλλεσθαι
C φάλαγγα τῶν τε ὀπισθοφυλάκων ἀντέχεσθαι παρεκελεύετο. ἀπάρας τοίνυν ἐκ τῶν βασιλείων ὁ Περσῶν βασιλεὺς προσομιλεῖ πεδίῳ τινί, ἐν ᾧ ποταμὸς περιεκέχυτο ἑκατέρας δυνάμεως διαρρέων μεσαίτατος. ἐπὶ τῶν ὄχθων τοίνυν τοῦ ποταμοῦ ἑκατέρας στρατιᾶς ποιησαμένης τὴν σύστασιν, καὶ πολλῶν λόγων ἀπό τε Χοσρόου καὶ Βαρὰμ διαπορθμευομένων ἀπὸ πρώτης ἕω μέχρις

iura non evertimus, et custodia liberatos iterum non includemus: debent enim regis dona vim et robur obtinere. diadema denique nos adeo non deposituros confidimus, ut potius, si alii mundi extant, eorum nos fore reges speremus. veniemus autem ad te regaliter, ut aut verbis tibi persuadeamus aut armis te subigamus. si bene vis habere, recta sape. vale, futurus socius noster optimus."

9. Hac epistola ad tyrannum delata copiae undique corrogantur, et miles ex Adrabiganis et ex accolis Zabae fluminis conscribitur. ad Nisibim quoque castrametati sine mora aggregantur. ergo postquam contractas a se copias unum in locum conduxit, distributo benigne congiario duces praeficit. Saranem cornu dextrum, Zamendem sinistrum curare iubet: Bindoi medios et triarios committit. profectusque e regia in planitiem quandam venit, quam fluvius interlabens utrumque exercitum dividebat. super ripas igitur utrisque constitutis, ac multis sermonibus ultro citroque a principio diei usque in vesperum habitis, mandatisque et colloquiis in ventum effusis, et nulla ex parte ullo modo pace composita, praelium capessitur et pugna ingentia mala parturit. excursiones fiebant, et missilibus res praetentabatur; quae solent esse certaminum militarium praeludia. Varamus vallum circumdat, et alia ad suos

ἑσπέρας ἐπιστολῆς, καὶ τῆς διαλέξεως εἰς ἀέρα χυθείσης καὶ μηδαμῇ μηδαμῶς εἰρηναίων λήξεως κληρωσαμένης ἀποπεράτωσιν, ὁ πόλεμος ἐκαττύετο ἥ τε μάχη ἐκυοφόρει μεγάλων κακῶν ἐπιφοίτησιν. τοίνυν ἐκδρομαί τε ἤδη ἐγίνοντο ἀκροβολισμοί τε, καὶ ταῦτα δὴ ταῦτα τὰ τῆς παρατάξεως προπύλαια φιλοπόλεμα. D
ὁ μὲν οὖν Βαράμης τάφρον περιεβάλετο, τά τε ἄλλα τὰ εἰς ἀσφάλειαν τῆς μαχίμου δυνάμεως ἐτεκταίνετο· ὁ δὲ Χοσρόης οὐ θαρρῶν χάρακα ἐν πεδίῳ περιστοιχώσασθαι, ἡμέρας μὲν διατελούσης πολεμησείων ὥσπερ πως ὑπεφαίνετο, νυκτὸς δ᾽ ἐπιούσης εἴσω τῆς πόλεως τὰς δυνάμεις περιεφρούρει συγκλείσας. ἐντεῦθεν οὐκ εἰς ὀλίγην καταπεπτώκει ἀθυμίαν τὰ περὶ τὸν Χοσρόην στρατεύματα. ὁ δὲ Βαράμ, ὅτε κατάδηλος ἡ τῆς ἀντιθέτου δυνάμεως γέγονέ που δειλία, ἐθάρρησε λοιπὸν μὴ κλέψαι τὸν πόλεμον· οὓς γὰρ ἐνῆν βιάσασθαι ἐς τὸ φανερόν, τούτους οὐκ ἐδοκίμαζε τὴν ἀπάτην καταιτιάσασθαι καὶ θολὸν τοῖς θριάμβοις διὰ τὸν δόλον παρέχεσθαι. ὁ δὲ Χοσρόης ὑπολαβών τινας συντιθεσθαι τοῖς ὑπὸ τοῦ τυράννου διεγχειρουμένοις φόνῳ διεχρήσατο τούτους. δευτέρᾳ δ᾽ ἡμέρᾳ τὰς περὶ αὐτὸν δυνάμεις καταβεβλημένας τὰς ψυχὰς ἑωράκει. διά τοι τοῦτο πρὸς ἀπόδρασιν εἶδε, τήν τε ἀποφυγὴν τοῖς ἀμφ᾽ αὐτὸν γυναίοις προκατειργάζετο. οὕτω δὴ τῶν πραγμάτων διακειμένων, ἑβδόμῃ ἡμέρᾳ ὁ Βαρὰμ οὐκ ἐθέλοντος Χοσρόου πρὸς παράταξιν ἀπαντῆσαι νυκτομαχίαν ἐν σκοτομήνῃ συνίστησιν, ἐπιπίπτει τε τοῖς περὶ P 103
τὸν Χοσρόην στρατεύμασι. φοβερᾶς τοιγαροῦν οὔσης τῆς καταπλήξεως, μεγάλου τε θορύβου ἐξαπιναίως φοιτήσαντος, τῆς τε θραύσεως πρῶτα τοῖς νωτοφόροις ζώοις ἐπιφερομένης ὑπὸ τῶν πολεμίων, εἶτα καὶ πρὸς τοὺς συμμάχους Χοσρόου μετα-

1. an ἐπιστολαῖς?

tutandos molitur. Chosroes exercitum vallo cingere in campo non audens die quidem toto bellaturire videbatur, adventante autem nocte copias in urbe securitatis ergo claudebat; ex quo milites ponebant animos. Varamus ex hostium timiditate factus animosior de caetero tectius agendum non putavit: quos enim vi aperta liceret devincere, ab iis fraudem sibi obiectari ac triumphis suis propter dolum adhibitum maculam aspergi, probare non poterat. Chosroes ratus quosdam e suis tyranno favere, eos vita privat. die sequenti copias suas desperatas animadvertens praemissis uxoribus ad fugam spectat. rebus sic affectis, luce septima Varamus, Chosroe conflictum detrectante, nocturnis tenebris impressionem facere instituit. stupore igitur horribili ac trepidatione desubito ingruente, primumque iumentis onerariis occisis, deinde ad milites ipsos

βεβηκότος τοῦ φόνου, πολλῶν τε ἀναιρεθέντων, μετατίθεται
τὴν γνώμην τὸ μάχιμον, αὐτομολεῖ τε πρὸς τὸν Βαρὰμ καὶ ταῖς
ἀμφ' αὐτὸν δυνάμεσιν ἀναμίγνυται. ὁ μὲν οὖν Χοσρόης τὴν
ἀκρώρειαν τῶν δυστυχημάτων φέρειν οὐκ ἔχων, ᾗ ποδῶν εἶχε
δυνάμεως, διαδιδράσκει τὸν μέγαν τοῦτον καὶ παραδοξότατον
B κίνδυνον μετά τινων εὐαριθμήτων ὑπασπιστῶν. (10) καὶ οὕτω
V 207 τῆς βασιλείας ἐκπεπτωκώς, τὴν Κτησιφῶντά τε καταλιπὼν καὶ
τὸν Τίγριν διανηξάμενος ποταμόν, διηπορεῖτο ὅ τι καὶ δράσειε,
τῶν μὲν πρὸς τὸ Σκυθικὸν τὸ ἑῷον, οὓς Τούρκους λέγειν εἰώ-
θαμεν, γενέσθαι εἰσηγουμένων αὐτῷ, τῶν δ' ἐν τοῖς Καυκα-
σίοις ἢ Ἀτραποϊκοῖς διασώζεσθαι ὄρεσιν. οὕτω μὲν οὖν ἠμηχά-
νει ἐκεῖνος ἐπὶ τῇ βασάνῳ τῶν παραινέσεων. τοιγαροῦν κομιδῇ
ἐπιεικῶς ἀνατίθησι τῷ ἐπὶ πάντων θεῷ τὰς ἡνίας τῆς ἀποδρά-
σεως· εἴς τε τὸν οὐρανὸν ἀποβλέψας καὶ τοῦ δημιουργοῦ εἰς ἔν-
C νοιαν γεγονώς, ἀγνωμονῶν τε τοὺς ἐπιπλάστους θεούς, τῷ τε
Μίθρᾳ μηδέν τι τῆς ἐλπίδος προσενεγκάμενος, εἰκότως ἠμαύ-
ρωσε τὸ τῶν κινδύνων ὀξύρροπον, καὶ τὴν πίστιν μεταβαλλόμε-
νος μεταβάλλει καὶ τὴν τύχην πρὸς δεξιότητα. τῷ μὲν οὖν χα-
λινῷ χαίρειν εἰπών, τάς τε εὐθετιζομένας ἡνίας παρακρουσάμε-
νος, ἠξίου ὑπὸ τῆς ἵππου ἰθύνεσθαι τόν τε ἐπιβάτην ὑπὸ τοῦ
ἐποχοῦντος κυβερνᾶσθαι πρὸς τὰ συμφέροντα, θεῷ καὶ ἵππῳ
τὰς κρίσεις πεπιστευκὼς τῶν ἐκβάσεων· οὕτω γὰρ εὐδόκησεν ὁ
καιρός, μεγάλην ἀποσχεδιάσαι τῷ κόσμῳ πραγμάτων ὑπόθεσιν.
D ἡ μὲν οὖν ἵππος ἐκείνη ἡ βασίλειος ἦγε τὸν ἐπιβάτην φυγάδα
ἀνὰ τὴν ἔρημον. ταύτην δὲ διανύσας, καὶ τὸν Εὐφράτην ποτα-

progressa caede, nec paucis interfectis, reliqui mutata mente cum Varamo sese coniungunt. Chosroes huic gravissimae cladi perferendae impar, summa usus celeritate cum paucis quibusdam satellitibus magnum et inexpectatissimum discrimen effugit. (10) cum sic regno excidisset, Ctesiphontem reliquisset Tigrimque traiecisset, pendebat animi quo se verteret, consulentibus aliis uti ad Scythas Orientales, quos Turcas nominare solemus, proficisceretur, aliis, ut Caucaseis aut inviis montibus salutem suam mandaret. sic ille rationum momenta examinans perplexus haerebat. itaque supremo omnium deo aequissime arbitrium fugae suae permittit, sublatisque in coelum oculis et opificis universorum recordatus, deosque commentitios abominatus ac de Mithra (sole) omni spe abiecta, merito impendens capiti suo periculum amolitus est, et cum religione fortunam quoque feliciter mutavit. itaque dimissis habenis scite compositis, equi gressum ultroneum sequi, atque ab eo ipse rector, deo et animanti commisso eventus iudicio, ad utilitatem suam dirigi voluit. sic enim visum est tempori, magnum ex tempore mundo praebere admirationis argumentum. equus igitur ille regius sessorem suum fugitivum

μὸν παραμείψας, τῶν Ἀβορέων καὶ Ἀνόθων πλησιάζει φρουρίοις· ταῦτα δ' ὑπὸ τὸ Περσικὸν ἐφορολογεῖτο πολίτευμα. ἀπάρας δ' ἐντεῦθεν Χοσρόης ἀφικνεῖται ἐπὶ τὰ Κιρκησίου ἐχόμενα πόλεως. δέκα δὲ σημείοις ἀγραυλιζόμενος ἀπεκπέμπει ἀγγέλους εἰς τὸ Κιρκήσιον, παραδηλῶν τὴν ἄφιξιν καὶ τὰς νεωτέρας τύχας καὶ τὴν ἐς τὸν Καίσαρα καταφυγήν, τήν τε ἐς τὰ οἴκοι κάθοδον ἐξαιτούμενος ἠξίου συμμαχικὸν ἀπὸ Ῥωμαίων ἀποίσεσθαι. P 104 τρίτῃ γοῦν φυλακῇ τῆς νυκτός, καὶ οἱ ἄγγελοι πρὸς ταῖς πύλαις ἐχώρησαν. ἐπεὶ δὲ τοῖς πυλωροῦσι τὰ τοῦ τειχίου διεξοδευόμενα ὑπὸ τῶν πρέσβεων διεγνωρίζετο, ὑπὸ τὸν ἡγεμόνα θᾶττον τῆς πόλεως οἱ τὴν φρουρὰν τῶν πυλῶν ἐγχειρισθέντες προήεσαν, τῷ τε ἡγεμόνι μετὰ συντόνου σπουδῆς τὴν περιπέτειαν ἀνετίθεσαν. τῷ δὲ φρουράρχῃ ἦν ἄρα Πρόβος ὄνομα. ὁ μὲν οὖν Πρόβος ἐξ ἑωθινοῦ τὸν Χοσρόην πρὸς τὸ ἄστυ εἰσάγει, δεξιότητι δὲ καὶ φιλοφροσύνῃ τοῦτον ἐξένιζε. τὰ δὲ τούτου γύναια, παῖδας ὑπομαζίους περιαγόμενα, λίαν εἰς τὰ μάλιστα φιλανθρωπίας ἠξίου. τούς τε ὑπασπιστὰς καὶ περιπόλους (τριάκοντα δ' ἄρα τῷ Χοσρόῃ ὑπῆρχον) εὖ ἐποίει χάρτα ἐπιεικῶς. δευτέρα δ' ἡ- B μέρα, καὶ Χοσρόης ὁ τῶν Περσῶν βασιλεὺς ἐζήτει τὸν Πρόβον διὰ γράμματος πρεσβεύειν παρὰ τὸν Καίσαρα, καὶ ἐγχαράξας βασιλείους κεραίας διὰ Πρόβου τῷ αὐτοκράτορι ἔστελλε. τῇ δ' ὑστεραίᾳ Κομεντιόλῳ τῷ στρατηγῷ κατὰ τὴν Ἱερὰν πόλιν ἐνδιατρίβοντι κατάδηλον τὴν Χοσρόου ἐνδημίαν ὁ Πρόβος πεποίηται, πέμψας ὡς αὐτὸν καὶ τὰ παρὰ Χοσρόου ἐν ἀξιώσει γεγραμμένα τῷ Καίσαρι. ὁ δὲ Κομεντίολος τῶν ὑπὸ τοῦ Πρόβου διαγνω-

25. an διαγωρισθέντων?

per solitudinem et iuxta Euphraten ad Aboreorum et Anathorum castella Persis tributaria perducit. inde discedens in fines Circesiorum defertur, et adhuc ad decimum lapidem distans, nuntium in urbem super adventu suo recentique calamitate ac deliberato ad Caesarem perfugio mittit, cuius adiutus auxiliis redire domum desideret. tertia noctis vigilia nuntii ad portas affuerunt; qui ut custodibus de ingressu significarunt, illi continuo ad urbis ac praesidii praefectum accedunt, de conversione rerum certiorem faciunt. Probus (hoc praefecto nomen erat) Chosroen mane in urbem introductum urbane et humaniter tractat, eiusque mulieres, quae lactentes adhuc infantes gestabant, satellites quoque et custodes, qui triginta numerabantur, habet benignissime. die sequenti Probum Chosroes orat ut per eum litteras ad Caesarem mittere sibi liceat. annuit epistolamque regis transmittendam suscipit. postero die Comentiolo duci Hierapoli degenti Chosroen ad se venisse scribit, et epistolam quam ille imperatori supplicem conscripserat adiungit. his sibi a Probo significatis, Comentiolus uni de cursoribus Hierapolitanis

σθέντων αὐτῷ κατὰ τὴν Ἱερὰν πόλιν τοῖς ταχυδρομοῦσιν ἄγγελον
παρεδίδου ἥξοντα ἐς βασιλέα. ὁ δ' αὐτοκράτωρ Μαυρίκιος τού-
C των ἀκηκοὼς περιγάννυται, καὶ ταῖς κρείττοσιν ἐλπίσι κατάκο-
μος ἦν. τά τε σήμαντρα τὰ Περσικὰ περιελόμενος, ὅ τι ἂν
καὶ ταῖς δέλτοις ἐνεκεχάρακτο, διηρευνᾶτο ἀνελέσθαι τε καὶ ἀνα-
γνῶναι. ἡ δὲ τῆς ἀξιώσεως τοῦ τῶν Περσῶν βασιλέως ἐν τού-
τοις που συνετέτακτο· ἐπὶ λέξεως γὰρ προθήσω τὴν πρέσβευσιν,
ἀκαλλώπιστον φράσεως, ὅπως τῇ ἀμαθίᾳ τῆς λέξεως τὸν νοῦν
τῆς ἀξιώσεως ἀνεπίπλαστον ἐνοπτρισώμεθα.
V 208 11. "Χοσρόης Περσῶν βασιλεὺς τῷ ἐμφρονεστάτῳ βα-
D σιλεῖ τῶν Ῥωμαίων, ἀγαθοποιῷ, εἰρηνικῷ, δυνάστῃ, φιλευ-
γενεῖ, καὶ τοῖς ἀδικουμένοις σωτῆρι, εὐεργετικῷ, ἀμνησικάκῳ
χαίρειν. δύο τισὶν ὀφθαλμοῖς τὸν κόσμον καταλάμπεσθαι πάντα
ἄνωθεν καὶ ἐξ ἀρχῆς τὸ θεῖον ἐπραγματεύσατο, τουτέστι τῇ δυ-
νατωτάτῃ τῶν Ῥωμαίων βασιλείᾳ καὶ τοῖς ἐμφρονεστάτοις σκή-
πτροις τῆς Περσῶν πολιτείας· ταύταις γὰρ ταῖς μεγίσταις ἀρ-
χαῖς τὰ ἀπειθῆ καὶ φιλοπόλεμα ἔθνη λικμίζονται καὶ ἡ τῶν ἀν-
θρώπων διαγωγὴ κατακοσμεῖται καὶ κυβερνᾶται διὰ παντός. καὶ
ἔστι λαβεῖν τὴν τῶν πραγμάτων ἀκολουθίαν τοῖς ἡμετέροις ῥή-
μασι συμφωνοῦσαν. ἐπεὶ τοίνυν σκαιοί τινες καὶ πονηροὶ ἐν τῷ
κόσμῳ ἐπιπολάζοντες δαίμονες πάντα τὰ ὑπὸ τοῦ θεοῦ καλῶς
P 105 συντεταγμένα συγχεῖν μὲν ἐπείγονται, εἰ καὶ μὴ ἔκβασιν ἡ τού-
των λαμβάνει ἐγχείρησις, πρέπει τοὺς θεοφιλεῖς καὶ εὐσεβεστά-

11. post φιλευγενεῖ Exc. καὶ μισοτυράννῳ, ἐπιεικεῖ, δικαιοκρατεῖ.

nuntium ad imperatorem perferendum iniungit. qui ex auditione mirifica voluptate perfusus, melius de caetero res ituras vehementer confidebat, detractoque signo Persico, quid tabulae continerent, legendo scrutabatur. continebant autem petitionem regis, quam ego, ut est, inornatam et simplicem hic subiiciam, quo in imperitia dictionis sinceritatem petitionis ceu in speculo contemplemur.

11. "Chosroes Persarum rex imperatori Romanorum sapientissimo, benefico, pacifico, potenti, nobilitatis amanti, inique afflictorum liberatori, ad bene de omnibus merendum propenso, iniuriarum immemori salutem. duobus quibusdam oculis universum mundum illustrari, iam olim et ab initio deus optimus maximus curavit, hoc est, Romanorum imperio potentissimo et prudentissime temperata Persarum re publica. his namque principatibus amplissimis rebelles et Mavortiae gentes compescuntur, humanaeque instituta vitae ornantur et reguntur semper. quarum rerum consequentiam verbis nostris suffragantem videre licet. quoniam ergo infausti quidam perversique daemones, inter homines vagantes, omnia a deo recte constituta confundere ac perturbare connituntur, tametsi eorum conatus nihil proficiunt, deo caros pietatique deditissimos

τους ἀνθρώπους τούτοις ἀντιστρατεύεσθαι, ἔχοντας ἀπὸ τοῦ θεοῦ σοφίας θησαυρὸν καὶ δικαιοσύνης βραχίονα καὶ ὅπλα. κατὰ τοίνυν ταύτας τὰς ἡμέρας οἱ βλαπτικώτατοι δαίμονες κατὰ τῆς Περσῶν ἐπιφοιτήσαντες πολιτείας δεινὰ κατειργάσαντο, καὶ δούλους κατὰ δεσποτῶν ἐπεστράτευσαν, κατὰ βασιλέως οἰκέτας, κατὰ τῆς τάξεως τὴν ἀταξίαν, κατὰ τοῦ καθήκοντος τὸ μὴ πρέπον, καὶ πᾶσι τοῖς ἐναντίοις τῶν ἀγαθῶν ἐχορήγησαν ὅπλα. Βαρὰμ γὰρ ὁ κατάπτυστος δοῦλος ὑπὸ τῶν ἡμετέρων προγόνων αὐξηθεὶς καὶ διαλάμψας καὶ μὴ χωρήσας τῆς δόξης τὸ μέγεθος B πρὸς ὄλεθρον ἀπεσκίρτησε, καὶ βασιλείαν ἑαυτῷ μνηστευόμενος πᾶσαν διετάραξε τὴν Περσῶν πολιτείαν, καὶ πάντα καὶ πράττει καὶ διεγχειρεῖ, ἵνα μέγαν ὀφθαλμὸν ἀποσβέσῃ δυνάμεως, καὶ λάβωσιν ἐντεῦθεν ἔθνη ἀνήμερα καὶ κακοπραγέστατα παρρησίαν καὶ δύναμιν κατὰ τῆς ἡμερωτάτης τῶν Περσῶν βασιλείας, εἶτα λοιπὸν ἐντεῦθεν τῷ χρόνῳ καὶ κατὰ τῶν παρ' ὑμῶν φορολογουμένων ἐθνῶν κράτος ἄσχετον καὶ πολλῆς λύμης οὐκ ἄμοιρον. πρέπει τοίνυν τῷ εἰρηνικῷ τῆς προνοίας ὑμῶν στηλιτευομένῃ βασιλείᾳ καὶ ὑπὸ τυράννων βιαζομένῃ παρασχεῖν χεῖρα σωτήριον, συστήσασθαί τε μέλλουσαν ἀρχὴν καταλύεσθαι, καὶ τῆς σωτη- C ρίας τὰς αἰτίας ὥσπερ τρόπαια οἰκουμενικὰ ἐν τῇ Ῥωμαίων πολιτείᾳ ἱδρύσασθαι, ἀναγορευθῆναί τε ὑμᾶς κτιστὰς καὶ σωτῆρας καὶ ἰατροὺς τῆς Περσῶν πολιτείας. πάντα γὰρ τὰ τῷ δικαίῳ

5. βασιλέας IP, βασιλείας Exc. 15. ὑμῖν Exc. 17. ληστευομένῃ Exc.

mortales, a deo sapientiae thesaurum iustitiaeque brachium et arma habentes, iis obviam ire et contra pugnare decet. his itaque diebus perniciosissimi daemones in regnum Persicum sese inferentes atrocia designarunt, et servos adversum dominos, famulos adversum reges, confusionem adversus ordinem, indecorum contra decorum, et omnia demum bonitati contraria et inimica suppeditatis armis instruxerunt. Varamus etenim, servus ille detestandus, a maioribus nostris evectus et honoribus illustratus, cum magnitudinem gloriae non caperet, ad pestem et perniciem nobis machinandam prosiluit; et regni habenas sibi despondens, universam Persarum rem publicam conturbavit; agitque et tentat omnia, ut magnum potentiae oculum extinguat, indeque nationes agrestes et ad malefaciendum promptissimae imperium Persarum mansuetissimum lacerandi licentiam potestatemque, ac tempore procedente contra vestras quoque gentes stipendiarias robur inexpugnabile et in primis exitiosum nanciscantur. erit igitur honestum pacificae vestrae providentiae, regno omnibus mortalibus notissimo et a tyrannis oppresso manum salutarem porrigere, ac principatum interitui proximum confirmare denuo atque constabilire, salutisque nostrae causas ut tropaea universalia in re publica Romana figi, vosque rei publicae Persicae conditores servatores

συμβαίνοντα πρέπει τοῖς δυνατωτάτοις βασιλεῦσι διὰ παντὸς ἀπεργάζεσθαι, καὶ ἐντεῦθεν τῆς μεγαλονοίας τὰ ἐγκώμια καὶ τοῦ τῆδε κόσμου μεταναστεύουσιν ἔχειν διὰ παντὸς ἀδιάφθαρτα, παράδειγμά τε συστήσασθαι ὡς οὐ δεῖ κατὰ δεσποτῶν δραπέτας ὁπλίζεσθαι. τὸ τοίνυν ἀνώμαλον νῦν τῶν πραγμάτων τῆς Περ- D σικῆς πολιτείας προσήκει παρ' ὑμῶν κυβερνᾶσθαι· λαμπροτέραν γὰρ ἐντεῦθεν οἱ Ῥωμαῖοι τὴν εὔκλειαν δι' ὑμῶν ἀπολήψονται. ταῦτα Χοσρόης ἐγώ, ὡς παρών, γράφων προσφθέγγομαι, Χοσρόης ὁ σὸς υἱὸς καὶ ἱκέτης· οὐ γὰρ διὰ τὴν τύχην τῶν συμβεβηκότων ἀθετήσεις τῆς ἀξίας ἢ τῆς προσηγορίας τὸ πρόσφορον. οἱ δοτῆρες τῶν ἀγαθῶν ἄγγελοι τοῦ θεοῦ ἀνεπονείδιστον καὶ ἀτυράννητον ὑμῖν τὴν βασιλείαν διαφυλάξωσιν."

P 106 V 209 12. Ἐν ὅσῳ δὲ τὰ τῆς πρεσβείας κατεξητάζετο παρὰ τὸν Καίσαρα, ὁ Βαράμης τούς τε σατράπας καὶ τοὺς περιβλέπτους τῆς Βαβυλωνίας ἐφιλοφρονεῖτο θεραπείας τε ἠξίου, ἀναλαβών τε τὴν βασιλικὴν πᾶσαν ἀποσκευήν, ὅσην Χοσρόης ὁ τῶν Περσῶν ἐπεσύρετο βασιλεύς, ἀφικνεῖται πρὸς τὰ ἀνάκτορα· διακρίνας τε ἐκ τοῦ ὁπλιτικοῦ ἄνδρας εἰς ἔκταξιν λογάδας ἀνερευνᾶσθαι Χοσρόην προσέταττε δέσμιόν τε ὡς αὐτὸν παραστήσασθαι. οἱ μὲν οὖν διητυχηκότες τῶν ὑπὸ τοῦ Βαρὰμ προστεταγμένων αὐτοῖς Βινδόῃ περιτυγχάνουσιν, ὃς ἔχαιρεν ἐς τὰ μάλιστα Χοσρόῃ τῷ Περσῶν βασιλεῖ. τοῦτον δεσμοῖς καθυβρίσαντες ἄγουσι B παρὰ τὸν Βαρὰμ ἑβδομαῖον. ὁ δὲ Βαρὰμ τὴν Περσῶν βασι-

et medices proclamari. omnia quippe iustitiae consentanea perpetuo praestare iustissimos imperatores convenit, atque hic quidem excelsi animi praeconia, hinc autem emigrantes immortalia bona in omne aevum adipisci, exemplumque statuere, ne posthac fugitivi in dominos arma expediant. nunc igitur perturbatum Persidis statum a vobis regi et corrigi par est, ex quo per vos Romanorum gloria splendescet magis. haec ego Chosroes, tanquam praesens praesentem alloquens, Chosroes filius et supplex tuus. non enim quia me miserum fortuna finxit, tu quoque hanc mihi conducibilem seu dignitatem seu appellationem denegabis. angeli dei, bonorum largitores, imperium vestrum probro et tyrannis liberum custodiant."

12. Interea dum super petitione regis consultatur, Varamus satrapas et alios de Persis eminentiores comitate et beneficentia ad suas partes allectat, susceptoque comitatu et apparatu omni, quem post se Chosroes trahebat, ad palatium regale concedit; delectisque de exercitu bellatoribus egregiis, Chosroen indagari et sibi vinctum sisti imperat. qui mandatis frustra parentes, in Bindoen regis Persarum praecipue studiosum incidunt, eumque contumeliose vexatum cum vinculis die septimo ante Varamum statuunt. Varamus regnum Persicum sibi vendi-

λείαν σφετεριζόμενος, καὶ τῷ ταύτης καθάπερ πολούμενος ἔρωτι, ἐς τὸ φανερὸν τὰς τῆς ψυχῆς ἐπιβουλὰς οὐ παρεδείκνυε, δεδιὼς μὴ τοὔγε ἕνεκα φωραθείη τέως τὴν ὅλην τῶν πεπραγμένων αὐτῷ ὑπόθεσιν συστησάμενος. ἤρα δὲ δόγματι συγκλήτου τὴν ἀρχὴν ἐμπορπήσασθαι, καὶ τὴν ἀνάρρησιν τοῦ κράτους περιβαλέσθαι σὺν νόμῳ, οὐ βίᾳ τινί, ἐντεῦθεν τὴν μὲν βασιλείαν ἀνεπονείδιστον, τὴν δ' αὖ πάλιν ἐγχείρησιν ἀνεπιβούλευτον ἑαυτῷ σοφιζόμενος. ἐπεὶ δὲ πάντα ῥᾳδιουργῶν καὶ παλαμώμενος ἀπίθανος C ἦν σοφιστὴς τοῦ βουλήματος, ἐχαλέπαινέ τε τοῖς μάγοις τἀναντία φρονοῦσι. τῆς τοίνυν ὀρέξεως αὐτῷ μηδαμῶς ἀπολαβούσης τοῦ σκοποῦ τὴν βαλβῖδα, χωρεῖ ἐς τὸ φανερόν. τῆς μεγάλης τοιγαροῦν καὶ ἐπιφανοῦς ἐνδημούσης αὐτοῖς ἑορτῆς, ἣν ἑορτάζειν οὐρανῷ παλαιὸς καὶ πρεσβύτης νόμος Πέρσαις ἐθέσπιζε, τὸ βασιλικὸν διάδημα ἀνελόμενος ἀνηγόρευεν ἑαυτὸν βασιλέα, τῇ τε χρυσῇ κατηυγάζετο κλίνῃ, τοῖς τε κατὰ τὴν Μαρτύρων ἀναστρεφομένοις βαρβάροις ἔχεσθαι ἐγκρατῶς τῆς φρουρᾶς ἐγκελεύεται καὶ ἥκιστα τὸν νοῦν Χοσρόῃ παρέχεσθαι. τοῖς τοίνυν D τὸ ἄστυ πολιορκοῦσι Ῥωμαίοις ἡ τοῦ Βαρὰμ διαγόρευσις δῆλος γίνεται· ἥλω γὰρ ὁ τὰ προστάγματα τοῦ τυράννου περιφερόμενος. μενοῦν γε Χοσρόης ἐπὶ τὴν λεγομένην Ἱερὰν πόλιν ἀφίκετο, A. C. 593. οὐδὲ μὴν Κομεντίολος ὁ στρατηγὸς ἀγέραστον καταλέλοιπε τὸν τέως τῆς βασιλείας χηρεύοντα· οὕτω γὰρ ἔδοξε Μαυρικίῳ τῷ αὐτοκράτορι, καὶ τὸ δόγμα μετεχώρει πρὸς πρᾶξιν. οὐκοῦν ἐπὶ τὸ Βεδάμας, οὕτω χωρίον λεγόμενον, ἐς συνάντησιν γίνεται

care nitens, et eius cupiditate nimia quasi expugnatus, quas animo coquebat insidias, haudquaquam prodebat, metuens ne quae egisset hactenus, omnia huius rei gratia egisse deprehenderetur. verum consilii decreto sibi imponi et illigari quodammodo principatum, et legitima renuntiatione, non vi aliqua successionem in regno capessere desiderabat. ita et regnum sibi non probrosum et molitionem tutam fore homo versipellis ratiocinabatur. sed ubi nihil non nefarie moliens, quod volebat, artificio suo persuadere non potuit, dominandique libido qua fervebat propositum minime tenuit, et magis quoque diversum sentientibus succensuit, in apertam audaciam prorupit. quamobrem magno et illustri die festo, cuius celebritatem Persis vetus et veneranda lex de coelo sanxerat, sumpto diademate semet ultro regem declarat, lectoque aureo insignis praesidiariis apud Martyropolim barbaris mandatum mittit, uti urbem constanter teneant et Chosroen neutiquam audiant. Romanis oppidum obsidentibus intercepto internuntio res patefit. porro Chosroes Hierapolim venit; nec Comentiolus tunc regno viduatum non honoravit, quando id Mauricius fieri iusserat, iussaque opere ipso praestabantur. quare ad oppidulum usque Bedamas appellatum venienti prodit obviam,

Κομεντίολος Χοσρόῃ, τήν τε παρασκευὴν βασίλειον αὐτῷ συ-
στησάμενος ἐδορυφόρει μεγαλουργῶς. ἐννάτῃ δ' ἡμέρᾳ, καὶ
τοῖς ἐν Μαρτυροπόλει φρουροῦσι Πέρσαις ἄγγελον ὁ Χοσρόης
P 107 ἐξέπεμπεν ἄνδρα σατράπην Μυραγδοῦν, οὕτω λεγόμενον, τάς
τε νεωτέρας τύχας καταδηλῶν, καὶ ὡς οὐ μετὸν αὐτοῖς τῆς πό-
λεως ἔχεσθαι, τῆς τοῦ αὐτοκράτορος μεγαλονοίας ἀπομάχους καὶ
φίλους Πέρσας μεταπλαττούσης. Βεστὰμ δὲ τῶν παρὰ Πέρ-
σαις διαφανῶν κατὰ τὴν Ἀρμενίαν ἀπέστελλεν ἐς τὸ Ἀνδραβιγα-
νὸν ἐγκελευόμενος γενέσθαι καὶ τοὺς αὐτόθι ἐνδιατρίβοντας Πέρ-
σας ὑπηκόους αὐτῷ καταστήσασθαι. καὶ ταῦτα μὲν οὕτω ἐς τὸ
B V 210 φανερὸν διεπράττετο. (13) οἷα δὲ κέρκωψ πεφυκὼς τὴν διά-
νοιαν καὶ πάντα τοῦ δόλου τιθέμενος δεύτερα, τὸν τῆς φιλοξε-
νίας ἀθετήσας θεσμὸν καὶ τοὺς ἅλας τῆς φιλοφροσύνης ὑπὸ τὰς
πτέρνας καταβαλόμενος, πεμπταῖον ἐξέπεμπεν ἄγγελον τοῖς τὴν
Μαρτύρων πόλιν περικαθημένοις Χαλδαίοις, ἐγκελευόμενος ἔχε-
σθαι τῆς φρουρᾶς κάρτα κομιδῇ καὶ τοῖς ἐς τὸ φανερὸν προσ-
ταττομένοις αὐτῷ μὴ προσέχειν τὸν νοῦν· φαῦλον γὰρ τὸ Περ-
σικόν, καὶ βίος αὐτῷ δόλος καὶ κόμπος ἀνέκαθεν. ἀναβολῆς
τοίνυν τῆς περὶ τὴν βασιλείαν καθόδου τέως ἐγγινομένης αὐτῷ,
ἐνεχείρει ἐς βασιλέα γενέσθαι Ῥωμαίων. ὁ μὲν οὖν Μαυρίκιος
C τὴν Χοσρόου ἔφεσιν διαγνοὺς γράμμασι βασιλείοις τὴν ἐς αὐτὸν
ἐνδημίαν ἐνέκοπτε, δόξης ὑπερορῶν, τήν τε τοῦ συνοίσοντος
ἐπίδοσιν Χοσρόῃ πραγματευόμενος· διενοεῖτο γὰρ ὡς οὐ δεῖ

11. πεφυκὼς Exc. κεκυφὼς IP.

omnia regia illi constituit, magnificamque comitantium catervam attribuit. die nona etiam Chosroes satrapam Myragdum vocabulo ad praesidium Martyropolim mittit, per quem fractas et abscissas res suas indicat, et monet uti urbem dedant, quando imperator magnanimus Persas bellicis viribus destitutos in amicitiam receperit. Bestamum vero, inter Persas virum honoratum, Andrabiganum in Armeniam ire morantesque illic Persas sibi subiicere iubet. et haec quidem palam acta sunt. (13) caeterum ut cercops, hoc est, homo fraudulentus ac veterator, et ingenio pravo, fallaciis agere palmarium ducens, et hospitalitatis legibus multam salutem dicens, benevolentiaeque salem pedibus conculcans, quinto die per certum hominem praesidiariis Martyropolim edictum mittit, uti urbem summo studio et quam diligentissime custodiant, quaeque palam ipsis mandaverit, ea non curent. nequam est genus Persicum, cui vita dolus et iactantia, inde usque a prima origine. interea dum reditus in regnum differtur, ad Romanorum imperatorem proficisci aggreditur. cuius voluntate cognita, Mauricius litteris imperatoriis eum venire prohibet, honorem suum in eo negligens et commodis Chosroae adaugendis prospiciens. sic enim statuebat, non oportere illum longius

πόῤῥω τῆς Περσῶν πολιτείας μεταχωρῆσαι Χοσρόην, ἵνα μὴ τῷ Βαρὰμ πάγιον ἐντεῦθεν τὸ τῆς τυραννίδος καθιδρυσθείη ἐγχείρημα. ἦρος δ' ἀρχομένου ὁ Χοσρόης πρέσβεις ἐς βασιλέα ἐξέπεμπεν. ὁ μὲν οὖν αὐτοκράτωρ βασιλικῶς ἐκκλησίαν τρίτῃ συγκροτήσας ἡμέρᾳ ἐπιφανῶς προσκυνεῖται ὑπὸ τῶν πρέσβεων. σιωπῆς τοίνυν δαψιλευομένης τῷ συνεδρίῳ, καὶ τοῦ βασιλέως ἄδειαν λόγων ἐκθέσεως ἀποδεδωκότος τοῖς Πέρσαις, ὁ τῶν D πρέσβεων ἐπιφανέστερος προπιαίνων τῷ δακρύῳ τὸν λόγον, κἀντεῦθεν τοὺς βασιλικοὺς οἰκτιρμοὺς ἀποθηρώμενος, τῶνδε τῶν λόγων ἀπήρξατο.

"Εἰ μὲν παρὰ τῶν προσφιλεστάτων ἦν ἡ ἀξίωσις, τρισμέγιστε βασιλεῦ, εἶχεν ἂν τὸ μὲν πρόσφορον ὁ καιρός, ὁ δὲ τρόπος τὸ εὔλογον, ὁ δὲ λόγος τὸ πείθειν, τὸ πάθος τὸν ἔλεον, τὴν πρόφασιν ἡ ὑπόθεσις, ἡ ἀνάγκη τὸ τῆς ἐπικουρίας ὀξύῤῥοπον, τὸ δ' αἰδέσιμον ἡ πρεσβεία, καὶ ἁπλῶς εἰπεῖν, τοσούτους εἶχον τοὺς οἰκτιρμοὺς τὰ παθήματα ὁπόσας καὶ τὰς συμφορὰς ᾠκειώσατο. ἐπεὶ δὲ καὶ τούτων πάντων μετὰ τῶν ἄλλων ἡ Περ- P 108 σὶς διητύχησε, λείπεται ἢ φιλανθρωπίαν ἐκ τῆς σῆς ἀρετῆς περιγεῖσθαι Χοσρόῃ, ἢ Μήδους ὑπὸ τυράννων μεγάλην ἀρχὴν καταστρέψασθαι. φαίη δ' ἄν τις, εὖ οἶδα, τῶν μὴ συνέσεως μεμυημένων μυστήρια, λυσιτελεῖν τῇ Ῥωμαίων ἀρχῇ τὸ Βαβυλώνιον καὶ ἡμέτερον φῦλον μακρὰν οἰμώζειν ἐς κόρακας, βασιλείαν καὶ κράτος καὶ ῥώμην μεγάλην ἀποβαλλόμενον, καὶ ἀνταγωνίστῳ ἡσυχίᾳ τινὶ τὸ Ῥωμαϊκὸν κράτος καταλιπαίνεσθαι, κα-

a Perside discedere, ne hinc tyrannici conatus Varami robustiores evaderent. vere ineunte, Chosroes oratores ad imperatorem adveniunt; qui more imperatorio tertio die conventu coacto, a legatis publice adoratur. silente igitur consessu dataque fandi copia princeps legationis, lacrimis orationem praecondiens indeque imperatoris misericordiam captans, sic disserere occoepit.

"Siquidem, ter maxime imperator, homines tibi gratissimi et carissimi petitum advenirent, haberet commoditatem tempus, rationem mos, misericordiae commovendae vim oratio, occasionem argumentum, auxilium celerrimum necessitas, reverentiam legatio; atque ut summatim dicam, tot haberet fortuna nostra miserationes quot habet calamitates. quoniam vero cum aliis etiam his omnibus Persia fraudata est, restat ut vel tua virtus et humanitas Chosroen complectatur, vel adeo latum et magnum Persarum imperium a tyrannis evertatur. dixerit quispiam, sat scio, ex imprudentibus, expedire Romanorum imperio Persicam adeoque nostram nationem diu plorare et ad corvos ire, amisso regno cum potentia et viribus ingentibus, illos autem quiete, nullo obturbante, quodammodo pinguescere ac saginari, nesciens utique quid Romanae poten-

κῶς εἰδὼς τὸ μὴ συνοῖσον τῇ Ῥωμαίων δυνάμει. οὐ γὰρ τὰς
ἀπείρους φροντίδας τῆς περὶ τὸν κόσμον συντάξεως μίαν που
B μοναρχίαν δυνατὸν ἐγκολπώσασθαι, καὶ ἑνὶ πηδαλίῳ καρδίας,
ὅσην ἥλιος ἐφορᾷ, διιθύνεσθαι κτίσιν. οὐ γὰρ καθάπερ τὸ
ἐνιαῖον τῆς θείας καὶ πρώτης ἡγεμονίας ἔνεστι πώποτε καὶ τὴν
γῆν ἀπενέγκασθαι, ἀντιθέτως ἔχουσαν τῆς ἄνω ταξιαρχίας κα-
τάστασιν, ὑπ' ἀνθρώπων τὴν μὲν φύσιν ῥευστῶν, τὴν δὲ γνώ-
μην ἀδοκιμωτάτων διὰ τὴν πρὸς τὰ χείρονα σύννευσιν, ἄλλοτε
ἄλλως κυβερνωμένην πρὸς τὸ ἐπίσαλον. οὐκοῦν εἰ καὶ Πέρσαι
τοῦ κράτους καθαιρεθείησαν, μεταβήσεται παραυτίκα πρὸς ἑτέ-
ρους τὸ κράτος· οὐ γὰρ ἀνέξεται χηρεύειν ἡγεμόνος τὰ πράγματα,
ἢ ἡ τηλικαύτη τύχη τοῦ ἐπιβαίνοντος. ὡς γὰρ λογισμῶν οὐκ
C ἔσονται φροντίδες ἀπόκοιτοι, οὕτως οὐδ' αἱ μέγισται τῶν περὶ
τὸν κόσμον ἡγεμονίαι ὀρφαναί που ἔσονται τοῦ κυβερνήσοντος.
ἢ οὐκ ἐκ Βαβυλωνίων Μῆδοι, ἐκ δὲ Μήδων οἱ Πέρσαι, μετὰ
δὲ τούτους οἱ Πάρθοι ὥσπερ τινὶ ἀκολουθίᾳ διαδοχῆς τὴν Χαλ-
V 211 δαίων εὐδαιμονίαν ἐκτήσαντο; ὅτι γε οὐ μιᾷ τινὶ σύριγγι νόμιον
μέλος πνεούσῃ οὐχ ἅπαν ποιεῖ τὸ ποίμνιον, ποιμέσιν ὁμοῦ καὶ
αἰπόλοις προὖπτον τοῦτο καθέστηκε. τοιοῦτό τι καὶ τοῖς ἀν-
θρωπίνοις πράγμασι συμβαίνειν φιλεῖ. ἱκανὴ δὲ τεκμηριῶσαι
Μακεδονικοῦ παιδαρίου τινὸς ἡ μαινολὶς καὶ παράλογος ἔφεσις.
D τύχης γὰρ Ἀλέξανδρος ἄωρον γενόμενος παίγνιον, καὶ μικρὸς
παρ' αὐτῆς κατ' εἰρωνείαν ἱλαρυνόμενος, Εὐρώπης κρατεῖν

tiae conducere videatur. haud enim fieri potest ut una monarchia innumerabiles orbis terrarum rite atque ordine administrandi curas in se recipiat, unoque velut temone mentis, quantum hominum sol aspicit, gubernetur. non enim licebit unquam terrae quoque supernis ordinum principatibus similitudine quadam respondentem statum et unitatem divini primique principatus, qualis in coelo est, consequi, cum ab hominibus natura fluxis et ob propensionem ad deteriora sequenda mente corruptissimis aliter alias, propter rerum mobilitatem inconstantiamque procuretur. quocirca etiamsi Persae imperio depulsi fuerint, ad alios mox devolvetur: duce enim ac rectore tanta rerum fortunarumque moles carere nequibit. nam sicut cogitationes nunquam seiungi a ratiocinatione poterunt, ita nec amplissima mundi imperia, a quo administrentur, unquam desiderabunt. an non e Babyloniis seu Assyriis Medi, ex Medis Persae, ex his Parthi quasi quadam consequenti successione Chaldaeorum opes acquisierunt? et pastoritium melos una cantatum fistula gregem totum non facere, opiliones et caprarios haud latet. tale quiddam et in rebus humanis solere contingere, Macedonici cuiusdam adolescentis furiosa et insipiens cupiditas satis superque probaverit, fortunae siquidem immaturum factus ludibrium Alexander, paulumque ab ea simulate exhilaratus, de Europae ditione superbiebat, maris imperium ad se tra-

ἐβρενθύετο, θαλαττοκρατεῖν ἐγχειρῶν, καὶ Βαβυλωνίων ἤρα σκήπτρων ἀντέχεσθαι, τοῦ τε Ἰνδικοῦ κράτους ἐγλίχετο, Λιβύην δ' ὑπακούειν ἠπείλει, καὶ ἐς τοσοῦτον αὔξειν τὰ τῆς ἀρχῆς ἐβιάζετο, ἐς ὅσον μὲν χεῖται ἀήρ, ἡλίου δ' ὄψεις ταῖς βολαῖς τῆς μαρμαρυγῆς καταυγάζουσιν. εἰς ἑνιαῖον τὸ κράτος καὶ μοναδικὸν τὸν ὑπὸ σελήνην κόσμον δουλαγωγεῖν κατωρέγετο. ἀλλὰ τούτου θᾶττον ἀπέσβη μετὰ τῆς ἐξουσίας ἡ ὄρεξις, καὶ πρὸς τὴν πολυτύραννον ὡς ἔπος εἰπεῖν ἡγεμονίαν διαιρούμενα πάλιν προσεχώρει τὰ πράγματα· οὐ πέφυκε γὰρ συμφύεσθαι τοῖς ἀσυμφώνοις ποτὲ τὸ ὁμόλογον. εἰς τί τοιγαροῦν εὐδαιμονίας Ῥωμαίων περισταίη τὰ πράγματα, Περσῶν μὲν καθαιρουμένων P 109 δυνάμεως, ἑτέρῳ δὲ παραπεμπόντων φῦλα τῷ τυράννῳ; εὐδοξίας δὲ τίνα χαρακτῆρα τὸ Ῥωμαϊκὸν περιβάλλοιτο γένος, ἱκέτην ἀπαναινόμενον βασιλέα τῶν ἁπάντων γῆς ἐπιφανέστατόν τε καὶ ἀλκιμώτατον; ἢ ποίαν εὐσεβείας ἀκρόπολιν ἕξετε, τοὺς ἠτυχηκότας ἐξουθενήσαντες; πότε δέ, βασιλεῦ, τοὺς ὑπὲρ δικαιοσύνης ἀγῶνας ἀράμενος ὅπλα κινήσεις πρὸς πόλεμον, ταύτης που χηρεύων τῆς ὑποθέσεως; πότε δέ σοι τὸ τῆς θρησκείας κάλλος ὡραϊσθήσεται, εἰ μή γε ἐν τῷ παρόντι καιρῷ; νῦν ἢ τοῖς πράγμασι τὴν προσηγορίαν κυρώσατε, ἢ τοῖς ἀδικήμασι τῆς κλήσεως τὴν ψευδωνυμίαν κληρώσησθε. τί δὲ δείξεις τούτου βασιλικώτερον παρὰ πάντα τὸν τῆς σῆς ἡγεμονίας καιρόν; τοιάδε B τίς ἄλλη τοῖς Ῥωμαίοις μεγαλαυχημάτων ἀφορμὴ κατασταίη; τί

hebat, sceptra Persica sibi asserebat, Indiae regna appetebat, Africae iugi sui minas intentabat, et imperium eo usque proferre nitebatur, quousque spirabilis haec natura diffunditur et solis oculi coruscam radiorum lucem proiiciunt. ad unicum et singularem dominum totum infra lunam imperium redigere concupiscebat. verum cito evanuit eius cum potestate desideratio, et in multos dominatus, ut uno verbo dicam, res divisae rursum concesserunt: nam quod consentaneum est, cum dissentaneis coalescere et coagmentari nunquam solet. Persis igitur potentia sua spoliatis et alteri tyranno nationes suas permittentibus, quam, quaeso, felicitatem consequetur Romana res publica? quam autem gloriae celebritatem Romanum genus inveniet, si regem omnium orbis regum et clarissimum et fortissimum sibi supplicantem reiecerit? aut ad quam arcem pietatis confugietis, si infortunatos ac miseros despexeritis? quando tandem, imperator, susceptis pro iustitia certaminibus arma ad pugnam movebis, si occasione modo non uteris? quando religionis decus novo decore cumulabis, si hoc tempus praetermiseris? nunc aut inclitum nomen vestrum re ipsa ratum facietis et confirmabitis, aut iniuste factis falsum vos nomen praeferre ostendetis. iam vero quod hoc tempore magis imperatorium tempus per omne imperii tui spatium habere poteris? quaenam huic par gloriandi materia Romanis unquam dabitur? tibi au-

δέ σοι, βασιλεῦ, τῆς σῆς ἐπιεικείας ἐνέχυρον ἔσται τοῖς ἔθνεσι τούτου σεμνότερον; νῦν ἀρύσῃ διὰ μικρᾶς συμμαχίας τὴν εἰρήνην ἀθάνατον, καὶ ἃ τοῖς μυρίοις ἀγῶσι τῷ τε τῶν φροντίδων ἀπείρῳ καὶ τῷ ἐκχύτῳ τῆς τῶν χρημάτων καταβολῆς Ῥωμαίοις μήπου κατείργασται, νῦν διὰ ψυχῆς ἀρετήν, ὑπὸ μὲν τοῦ καιροῦ ζητουμένην, οἰκονομουμένην δὲ βασιλικῶς, ἀπραγματεύτως ἀποίσῃ, καὶ καρπώσῃ τὴν ἀλύπην ἠρεμίαν πόνων ἐκτός· οὗ τί ἂν γένοιτο Ῥωμαίοις λυσιτελέστερον; μηδέν τι τῆς Ὁρμίσδου κακίας τὴν σὴν κατοικείτω καρδίαν. ἔμαθεν, ἐξ ὧν ἔπαθε, C *μὴ τὴν εἰρήνην βδελύττεσθαι. οὐκ ἔστι Χοσρόης τῶν πατρῴων ἀδικημάτων διάδοχος· οὐ κληρονομοῦσι μετὰ τῆς οὐσίας οἱ παῖδες καὶ τῆς πατρῴας πάντως που προαιρέσεως. ἐκεῖνος δυσμενής, οὗτος νῦν εὐμενής, οὐσιωμένην αὐτῷ τὴν σὴν εὐεργεσίαν περιαγόμενος, ἧς ἀμνημονεῖν αἰσχυνθήσεται, πολλοὺς τῆς εὐσεβείας κεκτημένος τοὺς μάρτυρας. μὴ κρατείτωσαν τύραννοι, ἵνα μὴ καθέξῃς τὸ παράδειγμα. ἢ οὐχὶ τὸ κακὸν τοῖς πολλοῖς ἐστὶ περίζηλον, καὶ πρὸς τὰς τῶν χειρόνων ἐφέσεις ἡ τῶν ἀνθρώπων καθέστηκε φύσις, δυσανάγωγον πρὸς τὸ κρεῖττον τὴν ὁρμὴν* D *κεκτημένη; ἀκηκόαμεν καὶ τὸν τύραννον πρέσβεις ὡς ὑμᾶς διαπέμψασθαι, ἕξειν κοινωνὸν ἀξιῶντα τὸν οὐδὲν ἠδικηκότα τοῦ πλημμελήματος, νεωτερίσαι τε δεσπότην μετὰ δραπέτου μονονουχὶ σοφιζόμενον. οὗ τί ἂν γένοιτο Ῥωμαίοις ἀδοξότερόν τε καὶ ἀπευκτότερον; ποίαν δέ σοι πίστεως κρηπῖδα ὑποστηρίσει ταῖς*

tem quodnam pignus aequitatis ac bonitatis tuae apud omnes gentes hoc uno esse queat augustius? nunc si opem modicam tuleris, aeternam pacem redimes; quaeque mille praeliis, curis infinitis, profusa innumerabili pecunia nondum a Romanis effecta sunt, ea nunc per animi tui virtutem ab alienis temporibus requisitam et abs te pro dignitate imperatoria impensam ac dispensatam nullo negotio assequere, quieteque omni moerore soluta citra laborem perfruere. quo quid Romanis utilius accidere possit? ne quid mens tua Hormisdae improbitatem in filio reformidet? docuerunt eum mala sua pacem non aversari. non est scelerum patris sui successor Chosroes: neutiquam enim cum facultatibus etiam institutorum paternorum hereditas ad filios pervenit. ille malevolus, hic benevolus, tuam beneficentiam pro divitiis ac fortunis suis circumferens; cuius memoriam deponere, cum pietatis erga se tuae testes adeo multos habeat, erubescet. ne dominentur tyranni; ne quo modo exemplum proponas, multi siquidem malum facile aemulantur, et propter deteriorum appetitiones natura humana ad meliora difficile impellitur. audivimus et tyrannum legatos ad vos misisse, et innocentem delicti sui socium facere voluisse, dominumque cum fugitivo pariter res novas molitum nequiter decere conatum quodammodo; qua auditione nihil Romanis indignius aut fugiendum magis. quale porro fidei suae apud te funda-

ὑποσχέσεσιν ὁ μεγίστης ἀγνωμοσύνης ἔχων ὑπόθεσιν καὶ κατὰ τῶν εὐεργετησάντων συστησάμενος φάλαγγα, ὁ πᾶσαν ἰδέαν κακίας περιβαλόμενος, ἵνα δεσπότην μηδὲν ἠδικηκότα βασιλείας καθέλῃ; οὐ πέφυκε κακίας ὑπόθεσις φιλίας διασώζειν ὑπόσχεσιν. ἀφιλόσοφος ἔναρξις καὶ τὸ πέρας ἕξει πάντως ἀσύμφορον· τοῖς P 110 *σπέρμασι γὰρ ἡ βλάστησις οὐκ ἐναντίαν ἔχει τὴν πρόοδον. δώροις ἀγκιστρεύειν τὸ μὴ δίκαιον ἴσως ὁ Βαρὰμ ἐγχειρήσειεν· ἀλλὰ κακῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα ἤκουσά του λέγοντος τῶν παρ'* V 212 *ὑμῖν ἐπὶ κομψείᾳ σοφῶν. οὐκ οἶδε παροινίας μισθὸς καρπίζεσθαι τὴν ἀπόλαυσιν, οὐκ οἶδε κέρδος ἀδικίας φυόμενον αὔλαξιν ἀμεταμέλητον ἔχειν γεώργημα. πρὶν γὰρ ἡδῦναι, λυπεῖ, καὶ πρὶν περιθέλξαι, πρὸς ἀνίαν ἐκκλίνει· ἐξεχώρησε γὰρ τῶν ἐραστῶν προσαφαιρούμενα καὶ ἃ μὴ κακῶς τις ἐκτήσατο. ἡμεῖς δὲ* B *τὴν Μαρτύρων πόλιν ἀνταποδώσομεν, τό τε Δάρας προῖκα παρέξομεν, τόν τε πόλεμον ταφῇ καθιδρύσομεν, ἀπόμισθοι τὴν εἰρήνην οἰκοδομήσαντες, τῇ τε Ἀρμενίᾳ χαίρειν εἰπόντες, δι' ἣν ὁ πόλεμος τὴν παρρησίαν δυστυχῶς τοῖς ἀνθρώποις ηὐτύχησε. καὶ εἰ μὴ τῆς ἀνάγκης ἐπάξια τὰ δωρήματα πέφυκεν, ἀλλ' οὖν τοῦτο κάλλιστόν ἐστιν ἡμῖν, τὸ μέτρῳ φιλοσοφεῖν τὴν ὑπόσχεσιν, ἢ μεγάλαις ἐπαγγελίαις τὴν ἀκοὴν ἐκλιπάναντας τῷ ἀτελεσιουργήτῳ τοῦ συμπεράσματος ἀθάνατον τὴν διαβολὴν ἐπιφέρεσθαι, μεγάλας κακῶν ἀφορμὰς τῇ τῆς εἰρήνης ἐσύστερον εὐε-* C *ξίᾳ κακῶς θησαυρίσαντας. ἱκανῶς ὑπὲρ τοῦ συνοίσοντος Ῥω-*

mentum promissis substruxerit, qui extremae iniquitatis convincitur et adversus bene meritos comparavit exercitum, qui omne malum facinus est ausus, ut immerentem dominum regno spoliaret? non consueverunt improbi, ut amici, servare promissa. principium fatuum finem quoque penitus inutilem sortietur: quale enim semen, tale germen. donis fortasse Varamus iniusta impetrare contendit. atqui improborum dona non esse dona nec utilia, audivi quendam dixisse de vestris scriptoribus, quos elegantia et festivitas orationis commendat. non sentit fructum voluptatis amentiae merces, nec lucrum sulco iniquitatis enascens absque poenitentia colonem dimittit. nam priusquam delectet, contristat, et priusquam demulceat, moerore afficit. abeunt enim a cupidis, simul ablata, etiam quae non malis rationibus quaesiverant. nos autem Martyropolim restituemus, et Daram gratuito reddemus, bellum nulla mercede composita pace sepeliemus, Armeniaque cedemus, cuius causa bellum tanta licentia grassatum est. quodsi maior est necessitas nostra quam ut ei haec dona respondeant, tamen hoc vobis summae laudi erit, moderatas potius promissiones sapienter amplecti, quam magnis pollicitis delinitos fini imperfecto labem perennem aspergere, et non leves incommodorum perferendorum occasiones bona in posterum pacis habitudine

μαίοις τε καὶ Πέρσαις ἀπολελόγημαι. εἰ δέ τι τῶν ἐντελεστέρων παρεῖται, σύνες, ὦ βασιλεῦ, τὸ λειπόμενον. πολλὰ γὰρ ἀπὸ τῆς ἀγωνίας τὸν λογισμὸν ἀποδιδράσκειν φιλεῖ· οὐκ οἶδε γὰρ ἀνάγκη μελέτης ἀνέχεσθαι ἢ φροντίδος ἐπιβολαῖς πειθαρχεῖν ἀεί, διαπορθμευούσης τὸν νοῦν τῷ ταράχῳ τῆς συγκυρήσεως."

D 14. Τούτων οὕτω διαλαληθέντων ὑπὸ τῶν πρέσβεων, καὶ τῆς ἀξιώσεως τὸ πιθανὸν καὶ ἐπίχαρι κληρωσαμένης τῇ εὐροίᾳ τοῦ λόγου, ὑπό τε τῆς βουλῆς καὶ τοῦ αὐτοκράτορος δογματίζεται ἐπικουρήσειν τῷ Χοσρόῃ Ῥωμαίους, τῷ δὲ Βαρὰμ κάρτα κομιδῇ παρασκευάζεσθαι πόλεμον, ἀνάξιον Λατινίδος ἀρχῆς τοῦ αὐτοκράτορος κρίναντος ὅπλα τοῖς ἀδικοῦσι παρέχεσθαι καὶ προκινδυνεύειν τοῦ μὴ καλοῦ διὰ τὸν ὄγκον τῆς ὑποσχέσεως, καὶ Ῥωμαίους αἰσχίστην ἀναδεξαμένους ὑπόθεσιν ἀθανάτοις ὀνείδεσι διὰ παντὸς στηλιτεύεσθαι. τὰ μὲν οὖν τοῦ δόγματος ἐπ' ἐκείνῃ P 111 τῇ ἡμέρᾳ περὶ τὸ βασίλειον ἄστυ ἐξηχεῖτό τε καὶ ἐπεπόλαζε· πεμπταῖοι δ' οἱ πρέσβεις εἰσφρήσαντες πρὸς τὸν Καίσαρα καὶ δώροις διακοσμηθέντες βασιλικοῖς ἐν γράμμασι τὸ παρὰ τοῦ βασιλέως ἀποφέρονται ψήφισμα. ἐπὶ τούτοις δὲ τόν τε Σαμὲν καὶ Χοσροπερόζην, τούς τε ἄλλους οὓς ἤδη πρότερον κατὰ τὸν τοῦ πολέμου καιρὸν ᾑρήκει τὸ Ῥωμαϊκόν, ὁ αὐτοκράτωρ ἐς Χοσρόην ἅμα τοῖς πρέσβεσιν ἐξαπέστειλεν. ὁ μὲν οὖν Χοσρόης τὰ ἐν τῷ βιβλίῳ τοῦ Καίσαρος διαναγνούς, τήν τε τῶν Ῥωμαίων ἀγασθεὶς

7. εὐροίᾳ Exc. εὐνοίᾳ IP. 8. καὶ add. Exc. 19. τοὺς δὲ IP.

quasi in thesaurum collectas habere. quid Romanis iuxta atque Persis profuturum arbitrarer, satis a me demonstratum est. si quid alicuius momenti praetermisi, tu id per te, imperator, intelliges. multa enim anxii cogitationes fugiunt, cum necessitudo meditationis impatiens sit, neque incursanti curae semper obtemperet, ubi accidens quippiam mentem perturbatam alio avocarit."

14. His ita dictis a legato, cum orationis gravitas fidem et gratiam petitioni conciliasset, benevole a senatu imperatoris Chosroae auxilium et in Varamum maximum gravissimumque bellum decreto sancitur, quod Latino imperio foedum iudicaret imperator arma sceleratis sumministrare, et propter magnitudinem promissorum pro turpitudine propugnare, Romanosque ignominiosissimo suscepto negotio sempiterna apud omnes infamia flagrare. decretum igitur illius diei per urbem imperatoriam omnium ora pervagabatur. ad Caesarem die quinto introducti et muneribus ornati diploma auferunt. posthaec Samen, Chosroperozen, alios item a Romanis belli tempore captos ad Chosroen cum legatis remittit. Chosroes libello perlecto virtutem Romanorum suspiciens, Hie-

ἀρετήν, τὴν μὲν Ἱερὰν πόλιν καταλιπὼν ἅμα Κομεντιόλῳ ἐς Κωνσταντῖναν τὸ ἄστυ ἀφίκετο. μικροῦ τε ὕστερον καὶ ὁ τῆς Μελιτηνῆς προεστὼς (Δομετιανὸς δ' ἄρα οὗτος) βασιλικαῖς ὑπο- B θήκαις γίνεται πρὸς Χοσρόην, ὃς πρὸς γένος συνῆπται τῷ βασιλεῖ Μαυρικίῳ, τὴν τιμὴν ἱερεύς, τὴν δὲ περὶ τὸν βίον κατασκευὴν ἱερώτερος, τὸν λόγον ἡδύς, τὴν πρᾶξιν ταχύς, τὴν συμβουλὴν ἐμφρονέστατος. συνείπετο δ' αὐτῷ ὅ τε Γρηγόριος ὁ τῆς Ἀντιοχέων τοῦ ἱερατικοῦ ἐξηγούμενος· ἔδοξε γὰρ καὶ τοῦτο τῷ βασιλεῖ, καὶ κατεφοίτα πρὸς τὴν πρᾶξιν ὁ λόγος. παραγενηθέντες γοῦν οἱ ἱερεῖς ἐς Κωνσταντῖναν αὐτὴν λόγοις καὶ δώροις παρηγόρουν Χοσρόην, ἐπιτεύξεις ἐλπίδων ἀθυμουμένῳ διατιθέμενοι. ὁ μὲν οὖν Χοσρόης ἀνὰ τὴν Νίσιβιν πρέσβεις ἀπέστελλεν, ἀναμιμνήσκων Πέρσας τῆς εὐνοίας τῆς ἐς τὸ βασίλειον C γένος, παρακαλῶν τῷ ἠπίῳ τῆς παραινέσεως ὡς οὐ δεῖ τυράννων ἐξουσίας ἀνέχεσθαι καὶ καθυβρίζειν νόμον ἀρχαῖον καὶ πάτριον, καλῶς γεγηρακότα τῇ Περσῶν βασιλείᾳ καὶ μηδέ ποτε V 213 τῷ νεωτέρῳ τῆς καθαιρέσεως ἀπενεγκάμενον τὸ ἀδόκιμον. τῷ δὲ Βαρὰμ ἐπεὶ κατάδηλον γέγονεν ὡς διεσώθη μὲν ὁ Χοσρόης, ὅπως τε Ῥωμαῖοι φιλοφρόνως αὐτὸν ἀνεδέξαντο, τὸ δ' αὐτὸ καὶ παρὰ τοῦ αὐτοκράτορος διὰ τῶν πρέσβεων ὡμολόγητο, πρέσβεις ἐξέπεμψεν, ἀξιῶν τὸν αὐτοκράτορα μηδαμῶς ταῖς Χοσρόου τύχαις ἐπικουρεῖν, διισχυριζόμενος Νίσιβίν τε πόλιν παραδιδόναι Ῥωμαίοις καὶ τὰ ἄχρι Τίγριδος ποταμοῦ. ὁ μὲν οὖν Βαρὰμ τηνάλλως ἐπλανᾶτο· οὐ γὰρ οἷός τ' ἦν διαφθείρειν τὴν τοῦ βα- D σιλέως ὁσιότητα. οὐ πολλαῖς δὲ ἡμέραις καὶ τὸ σαβαρὸν ἐξογ-

rapoli relicta una cum Comentiolo Constantinam petit. paulo post et Melitenes praesul Domitianus, genere Mauricium attingens, et cum honore sanctus (sacerdos) tum vitae instituto sanctior, sermone suavis, actione solers, consilio prudentissimus, auctoritate imperatoria ad Chosroen contendit; quem Gregorius Antiochenus antistes comitatur: nam et hoc imperatori placuerat, et voluntati eius re satisfiebat. hi Constantinam ingressi alloquio et donis Chosroen consolantur, afflictumque ad bene sperandum exsuscitant. is legatos Nisibim mittens, Persis memoriam veteris benevolentiae in genus regium redintegrat, leniter eos admonens ne tyrannicam potestatem patiantur, neve antiquam et patriam legem, quae probe in regno Persico senuerit et nunquam iuniori regem veterem loco movendi ius permiserit, cum insolentia abrogent. Varamus ut Chosroen servatum et a Romanis benigne exceptum didicit, idque ipsum ei imperator missis legatis confessus est, missis et ipse legatis rogat ne inclinatam atque iacentem Chosroae fortunam ullo modo respiciat, paciscens se Nisibim, et quantum esset inde locorum ad Tigrim, Romanis daturum. sed fallebatur multum: nec enim poterat imperatoris

κωσάμενος, τοὺς μὲν συμμάχους ἀθετούμενος κατάφωρος ἦν, τῷ δὲ Περσικῷ φορτικός τε ὑπῆν καὶ ταῖς ἐπιβολαῖς ἀκατάσχετος, πρὸς τὸ χαλεπώτερον ἐξαγριαίνων τὸ τύραννον. καὶ οὖν οἱ ἀξιολογώτατοι σατράπαι τῆς τούτου δυνάμεως ὑποσυρρέουσι συσκευήν, ὅπως δολοφονηθείη Βαράμ. οἱ μὲν οὖν ἔξαρχοι τῆς περὶ τὸν Βαρὰμ συσκευῆς ὅ τε Ζαμένδης καὶ Ζοάμβρης ὁ Πέρσης· προσεταιρισάμενοι γοῦν οὗτοι καὶ ἑτέρους τῆς Βαβυλωνίας πληθύος λογάδας, ὡς ἐνῆν, τὰ τῆς ἐπιβουλῆς ἐξελίπαινον. ὑποτοπάσαντες δὲ καὶ Βινδόην πρὸς κοινοπραξίαν αὐτοῖς εἶναι λυσιτελέστερον (οὗτος δὲ ὑπὸ τοῦ Βαρὰμ κατῴκει εἱρκτὴν) ἀναπληροῦσιν ἔργῳ τὸ βούλημα, καὶ ἀθρόον εἰς τὴν φρουρὰν εἰσπηδήσαντες, τῶν δεσμῶν τὸν Βινδόην διαλυσάμενοι ταγματάρχην P 112 τε λόχου χειροτονήσαντες, οὔσης νυκτὸς εἰς τὰ βασίλεια τῷ Βαρὰμ ἐπιτίθενται. ὁ μὲν οὖν Βαρὰμ δευτέρᾳ φυλακῇ τῆς νυκτὸς τῆς συσκευῆς ἐν γνώσει γενόμενος, ἐξοπλίσας τοὺς φύλακας σιδηροφορεῖν ἐγκελεύεται, τούς τε ἔναγχος ἐκ τῶν ἐθνῶν προσκεχωρηκότας αὐτῷ παρασκευασάμενος τοῖς ἐμπεσοῦσιν ἐς τὸ καρτερὸν ἀντετίθετο. καὶ τῆς νυκτομαχίας ἰσχυρᾶς γενομένης ὑπερίσχε Βαράμ, καὶ ζωγρήσας τοὺς πατέρας τοῦ ἐγχειρήματος ἡμέρας ἤδη λαμψάσης ἀρθροτομεῖ τῶν μελῶν τούτων τὰ πρακτικώτερα, εἶτα ὑποστορέσας τὰ λοιπὰ σώματα τοῖς ἐλέφασιν εἶα πατεῖσθαι καὶ τὸν πανώλεθρον τοῦτον ἐκείνοις ἀποφέρεσθαι θάνατον.

22. ἐκείνους praestat.

sanctimoniam corrumpere. non multi effluxerunt dies, cum superbia turgidus socios manifeste aspernari coepit, molestusque et odiosus esse Persis, nec impetus cohibere, et ad tyrannidem crudeliorem efferari. quare principes satrapae de eius exercitu occulte coeunt, et insidias ei occidendo instruunt. harum antesignani Zamendes et Zoambres, ascitis insuper ad communionem facinoris quibusdam aliis de Persarum numero, eas ut poterant confirmabant; ratique Bindoem, quem Varamus in carcerem dederat, coepto communi fore idoneum, deliberata opere complent, confertimque in custodiam irrumpentes solutum vinculis cohortis suae ducem creant, eademque nocte Varamum in regia occupant adoriri. qui secunda iam vigilia insidiis sibi apertis, custodibus arma imperat. praeterea qui nuper ex gentibus ad eum accesserant, eos quoque obarmat, et ita irruentibus summa ope resistit. totis viribus de nocte confligitur: Varamus vincit, captisque coepti huius auctoribus lucente iam sole membra actuosiora frustatim praecidit, reliquum corpus elephantis ad mortem crudelissimam inferendam substernit.

15. Ὁ μὲν οὖν Βινδόης ἅμα τοῖς σὺν αὐτῷ διαδιδράσκει B τῆς συμφορᾶς παραδόξως τὸν κίνδυνον, καὶ ἐπὶ τὸ Ἀδραβίγανον ὡς τάχιστα γίνεται. ἐκεῖσε γοῦν στρατοπεδευσάμενος πλείστους τοῦ Περσικοῦ ἐπηγάγετο, καὶ τὰ Χοσρόου φρονεῖν τοὺς ἀφεστηκότας πως ἐτιθάσσευε. δεκάτῃ δὲ ἡμέρᾳ, καὶ ὡς τὸν Ἰωάννην, ὃν Μυστάκωνα Ῥωμαίοις ἔθος ἦν κατονομάζειν, ἀπέστελλεν ἄγγελον, τὰ νεώτερα δράματα γνωρίζων αὐτῷ, ἀξιῶν τε μαθεῖν ὅπως τῷ Χοσρόῃ ἀπήντησε τῆς εἰς Ῥωμαίους προσχωρήσεως ἡ ἐγχείρησις. ὁ μὲν οὖν Ἰωάννης γράμμασι τὸ ἄκουσμα παραπέμψας C τῷ αὐτοκράτορι τοὺς ὑπὸ Βινδόου πρέσβεις παρακατεῖχε, καραδοκῶν τί ἂν παρασταίη παρὰ τῶν ἐγνωρισμένων τῷ αὐτοκράτορι. ὁ δὲ βασιλεὺς Μαυρίκιος τῷ Ἰωάννῃ προσέταττε τοῖς ταὐτὰ τῷ Χοσρόῃ φρονοῦσι συμμαχεῖν τε ἐκθύμως καὶ πᾶσαν αὐτοῖς καλοκαγαθίας πίστιν παρέχεσθαι, ὅπως πρὸς τὸ ἀσθενέστερον ἴδοι τοῦ Βαράμου τὸ τύραννον. τῇ δὲ προτεραίᾳ ὁ Βεστὰμ ὁ παρὰ τοῦ Χοσρόου ἐς τὰς Ἀρμενίας σταλεὶς ἀφικνεῖται παρὰ τὸν Ἰωάννην. ὁ μὲν οὖν Ἰωάννης τήν τε Βινδόου παρουσίαν D τῷ Βεστὰμ παρεδήλου, τά τε τῷ Βαρὰμ συντετυχηκότα ὡς V 214 ἀξιαφήγητα λίαν περιχαρῶς παρετίθετο. καὶ οὖν ὁ Βεστὰμ περιγάννυται τοῖς ἀκροάμασι, καὶ ἐς Χοσρόην ἐξέπεμπεν ἄγγελον ταῦτα δὴ γνωρισόμενον. ὁ δὲ Βινδόης πάλιν ἐγγελῶντα τὰ πράγματα τῷ Χοσρόῃ θεώμενος μέγα περιβάλλεται θάρσος, καὶ χρήμασι βασιλικοῖς ἐντυχὼν τοῖς ἀμφ' αὐτὸν διανέμει, ὡς εἶχεν ἑκάστῳ εὐνοίας ἀλκῇ. ἐπεὶ δ' οἱ τὴν Νίσιβιν περικαθήμενοι φίλον τὸν αὐτοκράτορα Χοσρόῃ διέγνωσαν, συμμάχους τε αὐτῷ δυνά-

15. Bindoes cum suis discrimine calamitatis praeter opinionem liberatus Andrabiganum properato venit; unde magnam Persarum manum in expeditionem educens, desertores Chosroae ad officium praestandum bonis verbis reducit. die decimo ad Ioannem cognomento Mystaconem mittit, qui nuper acta eidem exponat, et vicissim discat quo pacto Chosroae conatus sese cum Romanis coniungendi processerit. Ioannes per litteras imperatori audita perscribit, legatum apud se retinet, imperatoris de iis rescriptum exspectat. Mauricius Ioanni praecipit uti a Chosroa stantes prompte alacriterque iuvet, et ad enervandam ac debilitandam Varami tyrannidem integerrimam eis fidem praestet. pridie porro Bestamius, quem Chosroes in Armeniam legarat, ad Ioannem venit; cui Ioannes tum adventum ad se Bindois, tum quae Varamo evenerint, ut dignissima narratu, mira cum voluptate explanat. Bestamius et ipse maiorem in modum recreatus ad Chosroen super iis litteras facit. cernens Bindoes fortunam Chosroen iterum fulcire, ingenti impletur fiducia, pecuniamque regiam suis pro benevolentia in unumquemque dilargitur. ad Nisibim sedentes, ut imperatorem Chosroae amicum esse eique magnas

P 113 μεις μεγάλας κατεπομβρίσαντα, γίνονται εἰς Κωνσταντῖναν τὴν γνώμην μετακοσμήσαντες. ὁ δὲ πολιοῦχος ὑπὸ Χοσρόου λιπανθεὶς ταῖς ὑποσχέσεσι, καὶ ταῖς ἐλπίσι χαριζόμενος πάντα, ἅπασαν Ἀραβίαν τάς τε μέχρι Τίγριδος ποταμοῦ πρὸς τὸν Χοσρόην, ὡς ἔστιν εἰπεῖν, μετατίθησιν. οἱ δὲ τῆς Μαρτύρων ἐχόμενοι πόλεως, καίτοι τῆς πολιορκίας ὑπὸ Ῥωμαίων ἐπιστατούσης, τοῖς ἐν παραβύστῳ τοῦ Χοσρόου προστάγμασι πειθήνιοί πως γινόμενοι οὐκ ἐδίδοσαν τὴν πόλιν Ῥωμαίοις, ἀλλὰ καὶ μάλα καρτερῶς ἀντετάττοντο. τοιγαροῦν ὅτε κατάφωρος πανουργῶν γέγονεν ὁ Χοσρόης, Δομετιανὸς λογισμοῦ ἀγχινοίᾳ δυσκαταμάχητον ἀντι-
B στρατεύσας βουλὴν τοῦ Περσικοῦ δόλου δίκην πομφολύγων ἐκφύσεως διαλύει τὸ ὕπουλον. μεταπεμψάμενος γὰρ ὡς ἑαυτὸν τοὺς ἀξιολογωτάτους τῶν περιφρουρούντων τὸ πόλισμα, οὓς μὲν ὑπήγετο λόγοις, οὓς δ' ἐξωνεῖτο τοῖς δώροις, ἀναμιμνήσκων τήν τε τῶν Ῥωμαίων ἐπιστασίαν ἐσκειμένην τῇ πόλει, τόν τε Χοσρόην τῆς τοῦ βασιλέως ἐπικουρίας δεόμενον, τόν τε Βαρὰμ ἀμφίβολον περικείμενον τύχην. καὶ τοσαύτην εἶχεν ὁ λόγος τὴν δύναμιν ὥς διαιρεθῆναι ταῖς γνώμαις τοὺς τὴν Μαρτύρων πόλιν κατέχοντας ἑκὼν ἀέκοντι θυμῷ· ἔστω γάρ μοι νῦν τῆς ἐκείνου γνώμης ζωγράφος ὁμηρίζουσα γλῶττα. καὶ δῆτα εὐνοῦχον τῶν εἰς
C τὴν βασιλικὴν δορυφορίαν συντεταγμένων αὐτῷ τὸν κορυφαιότατον, ὃν πραιπόσιτον εἴθισται Ῥωμαίοις ἀποκαλεῖν, ἀνὰ τὴν Μαρτύρων πόλιν ἐξέπεμψε, παρακελευόμενος Πέρσαις τὸ ἄστυ

20. τῶν deest IP.

submisisse copias intellexerunt, immutati animis Constantinam procedunt. praefectus autem Nisibenus pollicitationibus Chosroae inescatus, et spei per omnia gratificans, universam Arabiam omnesque urbes ad Tigrim usque (prope dixerim) Chosroae transcribit. caeterum qui Martyropolim adversus Romanos tuebantur, clandestinis Chosroae mandatis morem gerentes ac deditionem minime facientes, viriliter admodum vim propulsabant. proinde ubi astute agere Chosroes deprehensus est, Domitianus solerter excogitatum et labefactatu difficile consilium nequitiae Persicae opponens, tectam fraudem bullae instar exsufflando dissolvit. accersitis enim ad se praecipuis de praesidio, quosdam verbis inducit, quosdam donis pellicit, eos et Romanorum urbi capiendae insistentium et Chosroae imperatoris subsidio indigentis et ambiguae incertaeque fortunae Varami commonefaciens. ac tantum valuit Domitiani oratio, ut sententiis discordarent praesidiarii volentes nolentesque: liceat enim nunc mihi eorum sensum Homericis verbis depingere. quocirca eunuchum, satellitum regiorum principem, quem Romanis praepositum vocare mos est, Martyropolim mittit Chosroes, hortaturque Persas uti urbem tradant et

καταλιπεῖν καὶ περὶ τὴν Νίσιβιν ἀγραυλίζεσθαι. οἱ μὲν οὖν Πέρσαι τοῦ βασιλέως Χοσρόου μεταβαλόντος τὴν γνώμην σπονδὰς μετὰ τῶν πολιορκούντων συνθέμενοι τῆς πόλεως ἐξεχώρησαν. τῶν τοίνυν ἡγεμόνων ἐς Κωνσταντῖναν ἡκόντων, ὤφθη καὶ Σίττας ἐκεῖνος ἀναμεμιγμένος αὐτοῖς ὁ τὴν Μαρτύρων πόλιν Ὁρμίσδᾳ τῷ Περσῶν βασιλεῖ παρασχόμενος δόλῳ. ὁ μὲν οὖν Δομετιανὸς διεστείλατο Χοσρόῃ ὡς οὐχ ὅσια εἰς εὐεργέτας καὶ Ῥωμαίους διεγχειρεῖ ἀνεχόμενος ἀνδρὸς προδότου πολλὰ εἰς Ῥωμαίους κακὰ διανύσαντος, ἀναμιμνήσκων ὡς καὶ τῷ Βαρὰμ φίλος Σίττας γεγένηται, καὶ ἥκιστα συνοίσειν αὐτῷ περὶ πολλοῦ D ποιουμένῳ ἄνδρα παλαμναῖον καὶ ἀπιστότατον, μή πού γε τὰ Ῥωμαίων πλήθη συστραφέντα αὐτὸν Χοσρόην καὶ τὸν Σίτταν διαχρήσονται, καὶ τὰ τῆς ἀγωνίας τῷ Βαρὰμ λάβοι ἀνάπαυλαν. ἐπὶ τούτοις συνιδὼν ὁ Χοσρόης, καὶ τὸν παρόντα καιρὸν κολακείαις ἀποπριάμενος, ἔκδοτον Κομεντιόλῳ Σίτταν καθίστησι. δευτέρᾳ δ' ἡμέρᾳ ὁ στρατηγὸς ἐπ' ὄψεσι τοῦ ὁπλιτικοῦ αἰκισάμενος τοῦτον τῷ πυρὶ παρεδίδου, κατανθρακεύσας τε ταῖς φλοξὶ δίκην τῶν ἡμαρτημένων τὸν Σίτταν εἰσέπραττεν. ὁ μὲν οὖν Δομετιανὸς ἱεροπρεπῶς ἐς τὰ περὶ τὴν ἀνάληψιν τοῦ ἄστεος διεπονεῖτο, ὡς ἐνῆν ἐς τὰ μάλιστα, τούς τε συνομοσαμένους τοῖς βαρβάροις Ῥωμαίους ἐς τὴν τοῦ ἄστεος ἅλωσιν Κομεντιόλῳ παρεδίδου τῷ στρατηγῷ. τούτων τοίνυν ἀξίας ὑποσχομένων δίκας P 114 τῶν κατὰ τῆς πατρίδος διαπεπραγμένων αὐτοῖς, ὁ ἱερεὺς τῆς σωτηρίας τὴν ἑορτὴν ἐγκαινίζων τῆς πόλεως πανήγυρίν τε τοῖς καλλινίκοις συστησάμενος μάρτυσιν, ἐπὶ τῶν βημάτων τῶν ὑψη-

Nisibin concedant. Persae Chosroe immutato, pacta conventa cum obsidentibus ineuntes oppido excedunt. ducibus ipsis Constantinam intrantibus, inter eos etiam Sittas, qui Hormisdae Martyropolim dolo prodiderat, apparuit. Domitianus Chosroae denuntiat illum adversus Romanos de se bene meritos iniustum videri, cum proditorem, deque Romanis ita meritum ut qui pessime, toleret, admonens eum Varamo quoque amicum fuisse, et hominem pestilentissimum perfidissimumque benefactis suis male gratiam relaturum, ne forte coeuntes Romani ipsum et una Sittam e medio tollant, bellumque cum Varamo terminetur. ob hanc causam prudens Chosroes, et opportunitatem temporis praesentem obsequio emendam censens, Comentiolo Sittam addicit; quem ille postera luce in omnium conspectu flagris caesum rogo tradit, et flammis delictorum poenas ab eo reposcit. Domitianus igitur, ut sacerdotem decebat, et quantum maxime poterat, pro urbe recipienda laborabat. at Romanos, qui ad urbem occupandam cum barbaris male conspiraverant, duci tradidit; quibus pro scelerate contra patriam perpetratis commerito supplicio multatis, episcopus festum diem partae salutis civitati instaurans, martyri-

λῶν τῆς ἐκκλησίας γενόμενος, παιωνίζων ᾆσμα καινὸν τῷ Χριστῷ ἐπινίκιον, τοῖς ὠσὶ τοῦ κατεκκλησιασθέντος λαοῦ τάδε πού διηγόρευεν.

B V 215 16. "Οὐκ ἐν πολέμοις μόνον καὶ συμπλοκαῖς καὶ ἐκτάξεσι ταῖς σάλπιγξιν ὁ Δαβὶδ ἀλαλάζει, ἀλλὰ καὶ ἐν εὐσήμῳ ἡμέρᾳ ἑορτῆς τῷ ἐπὶ πάντων σαλπίζει θεῷ. πρέπει γὰρ καὶ πολεμικοῖς ὀργάνοις ὑμνεῖσθαι θεόν· ἀρχιστράτηγος γὰρ οὗτος ἐκτάξεως κραταιός τε καὶ δυνατὸς ἐν πολέμοις πρεσβεύεται. καὶ ἐξ ὧν ἡ εὐδόκησις πέφυκεν, ἔδει που πάντως προελθεῖν καὶ τὴν αἴνεσιν. δεῦτε, καὶ ἡμεῖς ταῖς νοηταῖς ἀλαλάξωμεν σάλπιγξι, ταῖς διανοίαις φημί, οὐ κερατίναις, ὡς Ἰουδαίοις νενομοθέτηται· οὐ
C γὰρ ἀλόγων μέλεσι διὰ τὸ παχὺ τῆς διανοίας γεραίρειν ἡμεῖς θεὸν προσετάχθημεν. συστησώμεθα γοῦν ἑορτὴν μὴ ἕως τῶν κεράτων τοῦ θυσιαστηρίου καὶ μόνον διήκουσαν, ἀλλὰ μέχρι τῆς ἄνω ἱεραρχίας αὐτοῦ τοῦ θεοῦ, ἧς ἀρχιερεὺς εἰς τὸν αἰῶνα κατὰ τὴν τάξιν Μελχισεδὲκ ὁ ἐκ δεξιῶν τῆς μεγαλωσύνης καθήμενος καί ἐστι καὶ ὀνομάζεται. τῷ ὄντι γὰρ ἐν βραχίονι κράτος ἐποίησεν, ὄρη ταπεινώσας φρυάγματος, καθελὼν ἀπὸ θρόνων δυνάστας, καὶ πάλιν στηλιτεύων ἐπὶ τῆς Βαβυλωνίας τὰ μεγαλεῖα τοῦ πνεύματος. δουλαγωγοῦνται γὰρ λέοντες, καὶ δράκοντες ἀποπνίγονται, καὶ Βὴλ καὶ Μίθρας ἀνδραποδίζονται, καὶ μαλακεύεται
D πῦρ, μήτε μαρτύρων ἐσθῆτος τυραννῆσαι δυνάμενον, ὑπὸ νάφθας καὶ πίττης ἀφθόνως καταρδευόμενον. πάλιν δεξιὰ κυρίου

busque praeclaris victoribus panegyrin sive celebritatem instituens, e sublimi ecclesiae suggestu, ad gratulandam Christo victoriam canticum novum cantans, ad populum congregatum ita disseruit.

16. "Non in bellis tantummodo atque in praeliis et congressibus, sed etiam in insigni die solennitatis David deo altissimo tuba canit: decet enim bellicis quoque instrumentis collaudare deum, qui primarius in pugna dux fortisque et potens in praelio colitur; et unde natum est decus, inde laudem quoque procedere plane oportet. agitedum, nos quoque tubis, quae intelligentia percipiuntur, clangamus, animis, inquam, non corneis tubis, quemadmodum lex Iudaeis praescripta requirebat: nec enim nos, ut illi, propter mentium hebetudinem animantium brutorum membris venerari deum iussi sumus. constituamus itaque diem solennem, non usque ad cornua altaris duntaxat, sed usque ad coelestem hierarchiam pertinentem, cuius pontifex in aeternum, secundum ordinem Melchisedech, sedens ad dextram maiestatis dei et est et nominatur. profecto potentiam fecit in brachio suo, montium fastum humiliavit, et depositis de sede potentibus rursum magnalia spiritus super Babylone omnibus prodidit. subiguntur enim leones, et dracones suffocantur, et Bel atque Mithras captivi abducuntur. flaccescit ignis, et quanquam naphta ac pice largiter imbutus, ne vestem quidem martyrum adurere potest.

ἐποίησε δύναμιν, ἐπάρσεως καταδιαιτῶσα Χαλδαϊκῆς, οὐκ ἐν
τοίχῳ ἀλλ' ἐν οὐρανῷ τὴν προαγόρευσιν γράφουσα. καὶ διαιρεῖ-
ται Βαβυλώνια σκῆπτρα, καὶ ὑβριστὴς καταβάλλεται θρόνος,
καὶ πάροινος βασιλεία συστέλλεται, καὶ τιμᾶται πάλιν τὸ ταπει-
νούμενον καὶ κρατύνεται τὸ νικώμενον. πάλιν τὴν στεῖραν πόλιν
διὰ τὸν πόλεμον ὡς μητέρα δι' εὐτεκνίαν εὐφραινομένην ἔστι
θεάσασθαι. μηδεὶς ἀμπεχέσθω τῆς βασιλικῆς ταύτης πανηγύ-
ρεως ἀναξίαν ἐσθῆτα. πάντες τῇ καθαρότητι τοῦ βίου λευχει- P 115
μονήσωμεν, ἵνα μὴ ἀνάξιον τῆς εὐωχίας τῇ ψυχῇ περιβαλόντες
στόλισμα ἀνάξιοι φανῶμεν τῆς μεταλήψεως καὶ τὰ ἀκόλουθα
κατακριθῶμεν τῆς ἀποτεύξεως. ἐγκαινίζου, πόλις ἀγαλλιάσεως·
ἥκει γάρ σου τὸ φῶς, καὶ ἡ δόξα κυρίου ἐπί σε ἀνατέταλκε. τάδε
μοι λέγει τὸ πνεῦμα τὸ ἅγιον, καὶ τὴν ἐπαγγελίαν ἀσπάζομαι,
καὶ ἡ νῦν ὑπὲρ τὴν προτέραν φαιδρότητα δόξα καθέστηκεν. οὐ
γὰρ δήμου, μαρτύρων ἐν τοῖς ἔμπροσθεν καὶ πρεσβυτέροις χρό-
νοις ἐκέκτησο, πᾶσαν ἀτραπὸν καὶ λεωφόρον τῶν σῶν λαγόνων
ἐπικυμαίνοντας. ἐπιφανεστέρα σοι τῆς ἁλώσεως ἡ ἀνάζευξις· B
ἣν γὰρ ἔκλεψε δόλος, νῦν φόβος ἀπέδοτο, καὶ ἣν βασιλέως βαρ-
βάρου πανουργία κακῶς ἀπεσύλησε, νῦν ἐπιφανεστάτη δουλα-
γωγία καλῶς ἀντιδίδωσι. ταύτην οἰκέτης ἐσταλμένος ὑμῖν, ὦ
μάρτυρες, προσηγάγετο, συμμάχους ἑλέσθαι θηρώμενος, οὓς
ἀντίθεος τὸ πρότερον οὐκ ἐπρέσβευεν, ἐξ ἀποτεύξεως διδαχθεὶς
τὴν εὐσέβειαν, ἐπεὶ καὶ Φαραὼ ὁ πάλαι μαστιζόμενος ἢ νουθε-

iterum dextra domini fecit virtutem, compressitque spiritus Chaldaicos, non in pariete, sed in coelo praedictionem scribens; et dividuntur sceptra Babylonica, et thronus insolens deiicitur, et regnum temulentum contrahitur; et quod humiliatum erat, denuo honoratur, et quod victum erat, corroboratur. rursus sterilem urbem propter bellum, ut matrem ob filiorum multitudinem laetantem aspicimus. nemo vestem hoc panegyrico festo indecoram induat: omnes vitae morumque candore ac puritate candidum gestemus habitum, ne si animam secus quam regale convivium deceat convestiverimus, qui ad id admittamur indigni iudicemur, et his damnemur quae ab eodem eiectos consequuntur. renovare, urbs exultationis: venit enim lumen tuum, et gloria domini super te orta est. haec enim dicit spiritus sanctus, et promissa amplector, et quae nunc est gloria, priorem claritatem superat. haud enim populos martyrum superiore memoria possidebas, omnem semitam et compita tuorum viscerum inundantes. plus tibi ad gloriam proficit ita liberatam quam ita captam esse. quam enim dolus subiugavit, nunc metus restituit; et quam regis barbari calliditas improbe pro spolio abstulit, nunc illustrissima receptio probe rependit. hanc famulus vester missus vobis reconciliavit, o martyres, socios sibi conatus adiungere, quos dei adversarius antea non rogabat, ex infelici successu pietatem doctus, quoniam et

τούμενος θεὸν σέβειν ἠνείχετο. ταύτην ὑμῖν ἀνατίθησι, μάρ-
τυρες, Βαβυλώνιος τύραννός τε καὶ ἔπηλυς, ὁ τῆς ἑαυτοῦ βα-
σιλείας δραπέτης, ὁ νῦν Ῥωμαίοις ἀντὶ πολεμίου πειθήνιος·
τοσαῦτα γὰρ ὑμεῖς τοῖς ἀνθεστηκόσιν ἐπαλαμήσασθε. ἐξέστη ὁ
C τύραννος ἐπὶ τούτοις, ἔμφοβος καὶ ἔντρομος ἐγενήθη ἡ γῆ. ἐπε-
τίμησε γὰρ τοῖς ἔθνεσιν ὁ ὢν ἀπ' ἀρχῆς, καὶ τῆς δεξιᾶς αὐτοῦ
ἡ ἀλλοίωσις αὕτη. ἀπ' ἄκρου τοῦ οὐρανοῦ ἡ ἔξοδος αὐτῆς, καὶ
τὸ κατάντημα μέχρι τῶν περάτων τῆς γῆς, καὶ ἐθεασάμεθα τὴν
V 216 δόξαν αὐτῆς πλήρη χάριτος καὶ δυνάμεως. οἱ γείτονες ποταμοὶ
προφητικῶς χεῖρας κροτείτωσαν. φερωνύμως νῦν ὁ Εὐφράτης
ἐπὶ τοῖς μεγαλείοις εὐφραινέσθω τοῦ κτίσαντος. ὁ Τίγρις μετα-
βαλέτω τὸ θηριῶδες πρὸς τὸ φιλάνθρωπον· ἡ κραιπάλη γὰρ τῶν
φόνων αὐτῷ καταλέλυται. ᾄσωμεν ᾠδὴν τῷ κυρίῳ σωτήριον,
ᾄσωμεν αὐτῷ μετὰ τῶν μαρτύρων ἐπινίκιον ὕμνον. ἀναγγείλω-
μεν ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος τὴν δόξαν αὐτοῦ, σκιρτῶντες
D τῷ πνεύματι· οὐ γὰρ θρῆνον Ἰουδαϊκὸν κατεκρίθημεν, ἢ αἰ-
σχύνην αἰχμαλωσίας ὑπὸ τῶν λαφυραγωγησάντων ὀνειδιζόμεθα.
προτάξωμεν ἡγεμόνα τῆς εὐφροσύνης τὸν κύριον, ἵνα μὴ τῆς ἄνω
Ἱερουσαλὴμ ἐπιλαθώμεθα καὶ ἡ γλῶσσα ἡμῶν κολληθῇ τῷ λά-
ρυγγι ὡς κακῶς μὴ μεγαληγοροῦσα τοῦ θεοῦ τὰ παράδοξα. νῦν
ἡ θυγάτηρ Βαβυλῶνος κατὰ τὸ γεγραμμένον ὄντως ταλαίπωρος,
ἡ τῶν ἀγερώχων ἐπιβαίνουσα σκήπτρων, καὶ μακαρίζεται βασι-
λέως εὐσέβεια οὐκ ἐπάγουσα ταύτῃ τὸν ἰσοστάσιον ὄλεθρον, ἢ

Pharao quondam flagellatus demum, non admonitus deum coli passus est. hanc vobis consecrat Babylonius tyrannus et advena, e suo ipsius regno profugus, qui pro hoste nunc Romanis est subditus. talia quippe vos contra inimicos effecistis. tyrannus super his obstupuit, terra timuit et contremuit. increpavit enim gentes, qui est ab initio; et dextrae eius mutatio haec est. a summo coelo egressio eius, et occursus eius usque ad fines terrae. et vidimus gloriam eius plenam gratiae et potentiae. vicina flumina secundum prophetam plaudant manibus. nunc Euphrates nomini suo congruenter laetetur super magnalibus conditoris. Tigris feritatem in humanitatem mutet: iam enim caesorum cadaveribus se amplius non ingurgitabit. cantemus domino canticum salutis, cantemus ei cum martyribus hymnum de parta victoria. annuntiemus super flumina Babylonis gloriam eius, in spiritu exilientes: non enim Iudaicis fletibus damnati sumus; nec a praedatoribus captivitatis dedecus nobis exprobratur. ducem laetitiae nostrae dominum praeponamus, ne supernae Hierusalem obliviscamur, et lingua nostra adhaereat faucibus, utpote quae male dei admirabilia non magnificet. nunc filia Babylonis, sicut scriptum legimus, vere misera est, superborum sceptra ascendens, laudaturque imperatoris pietas, perniciem illi non remetiens, nec retribuens

ἀντεπιφέρουσα τὸ ἀνταπόδομα ὃ ἀνταπέδωκεν ἡμῖν. τελειοῦται
γὰρ αὕτη διαθήκη δευτέρα τῷ νοητῷ Ἰσραήλ, καὶ βασιλεὺς οὐκ
ἀποδοκιμάζεται σήμερον οἰκτείρων πολέμιον, οὔτε Σαμουὴλ ἐπὶ P 116
τούτῳ διαπληκτίζεται, παντοκράτορι κυρίῳ ζηλῶν. ὁ γὰρ Ἰη-
σοῦς ὁ Χριστός, ὁ παλαιὸς ἡμερῶν καὶ πρεσβύτερος, εὐσεβέ-
στερον θυσίας οἶδε τὸν ἔλεον, καὶ τὴν πατρῴαν βασιλείαν κατα-
κληροδοτεῖ τοῖς οἰκτείρμοσι, καὶ φιλανθρωπίας ἔχων ὑπόθεσιν
καὶ δούλου λαμβάνει μορφήν, καὶ τοῖς ἀνθρώποις συναναστρέ-
φεται, καὶ τὴν φάτνην γνωρίζει, καὶ προσίεται σπάργανα, καὶ
φεύγει τυραννοῦσαν τὴν μάχαιραν, καὶ τῇ Αἰγύπτῳ προσομιλεῖ,
εἶτα τὴν Ναζαρὲτ κατοικεῖ, καὶ Γαλιλαῖος κηρύττεται, καὶ σο-
φίᾳ προκόπτει, καὶ φθόνῳ κακίζεται, καὶ ὑπὸ Σαδδουκαίων πει-
ράζεται, καὶ μετὰ τῶν ἁμαρτωλῶν συναυλίζεται, καὶ πρὸς πά- B
θος ἐκδίδοται, καὶ σταυρὸν καταδέχεται, καὶ μετὰ τῶν ἀνόμων
λογίζεται, καὶ τάφον ἀσπάζεται, καὶ μεταφοιτᾷ πρὸς ἀνάστασιν,
καὶ πάντα παθὼν κατησμένισεν, ἓν μόνον ἡμῶν ἀπολαύων, ὃ
καὶ σωζόμεθα. ᾄσωμεν τῷ κυρίῳ, οὐκ ἐξόδιον ᾆσμα· ἐπιβα-
τήριος γὰρ ἡ πανήγυρις, καὶ πόλις καὶ ναὸς ἐγκαινίζεται, καὶ
νόμος ἀνακαινίζεται πάτριος, καὶ ῥώννυται πίστις ἀκίβδηλος,
καὶ τὸν ἐγκαινίζοντα βλέπω Χριστὸν ἐν μέσῳ τῆς ἐκκλησίας τῶν
τροπαίων τὰ σύμβολα ἐπὶ τῶν ὤμων περιφερόμενον. ὁ δὲ θρίαμ-
βος ὁ σταυρός, δι' οὗ ξενηλατεῖται τὸ βάρβαρον, τὸ δὲ Ῥωμαϊ- C
κὸν εἰσοικίζεται. ᾄσωμεν τῷ κυρίῳ καὶ ὕμνον ἐξόδιον· ἐξοικί-

retributionem quam retribuit nobis, alterum siquidem testamentum observatur, Israeli intellectuali praecipiens ne malum pro malo reddat. et hodie rex hostem miserans non reprobatur; nec Samuel omnipotenti domino zelans propter hoc altercabitur. dominus enim Iesus Christus antiquus dierum, et omni aevo antiquior, misericordiam sacrificio religiosiorem ducit, et paternum regnum misericordibus impertit, et humanitate victus etiam servi formam accipit, et cum hominibus conversatur, et praesepe noscit, et fasciis involvitur, et tyrannicum gladium fugit, et in Aegyptum emigrat, deinde Nazareth habitat, et Galilaeus proclamatur, et sapientia proficit, et ex invidia vituperatur, et a Sadducaeis tentatur, et cum peccatoribus commoratur, et tormentis deditur, et crucem suscipit, et cum iniquis reputatur, et sepulcrum non refugit, et ad resurrectionem transit, et omnia libens patitur, unum hunc fructum ex nobis percipiens, quod salvamur. cantemus domino, non egressus canticum: est enim scansoria panegyris, et urbs et templum renovantur, et lex patria instauratur, et fides sincera confirmatur, cernoque Christum in media ecclesia tropaeorum symbola humeris sustinentem. triumphus autem crux, per quam barbari et peregrini et exteri abiguntur, Romani ut domestici introducuntur. cantemus domino etiam hymnum ἐξόδιον, id est, egressionis: nam perinde ut sus e silva glandifera, ex

ζεται γὰρ τοῦ ἄστεος ὥσπερ ὗς ἐκ δρυμοῦ τὸ Βαβυλώνιον φῦλον, τὸ καταπατεῖν τὰ ἅγια τοῖς ποσὶν ἐγχειροῦν, καὶ τοὺς μαργαρίτας τῆς πίστεως τοῖς ὄνυξιν ὑποθραύειν καταμαινόμενον. μιμησώμεθα τοὺς ἐπὶ τῆς Βαβυλωνίας δοξολογήσαντας, καὶ τῆς ἐκείνων χοροστασίας θιασῶται γενώμεθα· ἀνενέργητον γὰρ καὶ νῦν τῶν Χαλδαίων τὸ πῦρ καταφλέξαι τῶν μαρτύρων τὸ πόλισμα. εὐφραινέσθωσαν οἱ οὐρανοὶ καὶ ἀγαλλιάσθω ἡ γῆ, καὶ τὰ πεδία χαιρέτωσαν· κατεβλήθη γὰρ ἔθνη τὰ φιλοπόλεμα. διέγνωσαν
D προφητικῶς ὅτι ἄνθρωποι καθεστήκασι, καὶ τῆς ἑαυτῶν συντάξεως νῦν τὴν φύσιν οὐκ ἠγνοήκασι, καὶ ἃ μαθεῖν οὐκ ἐνῆν εὐπραγήσαντας, τεταλαιπωρημένους διδαχθέντας ἔστι θεάσασθαι. ταῦτα ὑπὸ τῆς χαρᾶς ὑμῖν σχεδιάσαντες ὕμνον ὑμῖν ἀπαρασκεύαστον προστεθείκαμεν, τράπεζαν ἀγγέλων, συμπόσιον ἁπλοϊκὸν καὶ ἀποίκιλον· φιλεῖ γὰρ τὸ θεῖον καὶ τοῖς ἀσυντάκτοις γεραίρεσθαι, καὶ τὰ μὴ μεγαλοπρεπῆ τῆς δορυφορίας προσίεσθαι ἐν καινίσει καρδίας, οὐκ ἐν ὄγκῳ δωρήματος ἐξετάζον τῆς εὐχαριστίας τὴν πρόοδον. τὸν πατέρα νῦν δοξολογεῖν οὐ παυσώμεθα, τὸν υἱὸν προσκυνεῖν ὡς φύσει θεὸν οὐ καταλήξωμεν, τὸ πνεῦμα γεραίροντες ὡς ἓν πεφυκὸς τῶν τριῶν ὑποστάσεων οὐκ ἀποσχώμεθα· θεὸς γὰρ τὰ τρία, ᾧ ἡ δόξα καὶ πρό γε τῶν ἀπείρων αἰώνων καὶ μετὰ τοὺς αἰῶνας ἀπέραντος."

P 117 Ἐπεὶ δὲ οὕτω που τὰ τῆς διαλαλίας τῷ ἱερεῖ ἐπεφιλοσόφητο,
V 217 λίαν ἐπαινετῶς ἐκρότει τὸ ἄθροισμα τὸ μεγαλόνουν τῆς

21. ἀπεράντους IP.

urbe natio Persica expellitur, quae sancta pedibus conculcare audebat et margaritas fidei unguibus furiose conterebat. imitemur eos qui Babylone glorificarunt deum, illorumque choreae sodales fiamus: nam et hodie Chaldaeorum ignis martyrum urbem exurendi vim nullam habet. laetentur coeli, et exultet terra, et campi gaudeant. prostratae sunt gentes belli cupidae. cognoverunt, iuxta prophetam, quoniam homines sunt, et naturam coagmentationis suae nunc senserunt; quaeque rebus secundis utentes discere nequiverunt, adversis eruditi iam possunt intueri. haec prae gaudio ad vos ex tempore prolocuti sumus, et hymnum vobis imparati proposuimus, mensam angelorum, convivium simplex et varietatis expers: amat enim divinitas etiam non compositis donari, et admittere cultus quamvis non magnificos, ex renovatione cordis, non ex pondere et amplitudine doni gratiarum actionem aestimans. nunc patrem glorificare ne cessemus, filium adorare ut natura deum ne desinamus, spiritum ut unam de tribus hypostasibus venerari ne desistamus: deus enim haec tria sunt, cui et ante omnia saecula et post omnia saecula gloria infinita."

Postquam episcopus haec sapienter disseruit, audientium multitudo orationem magnificam miris plausibus prosecuta est, magnamque lacri-

διαλέξεως, καὶ πολὺ τὸ δάκρυον τῇ χαρᾷ κεκραμένον ὑπὸ τῆς κατανύξεως τοῦ λόγου τῇ ἐκκλησίᾳ περιεκέχυτο, καὶ φιλόδακρυς ἦν ἡ πανήγυρις, οὐκ ἔχουσα πάθους ὑπόθεσιν· οὕτω γὰρ ὁ καιρὸς παρεκάλει τὰ δάκρυα, χηρεύων ἀλγηδόνων καὶ τοῦ λυπήσοντος. ὁ μὲν οὖν ἱερεὺς σφαγιάσας τὸν ἄρτον τόν τε οἶνον ἱερουργήσας τοῖς θεανδρικοῖς μυστηρίοις τὸ συνεληλυθὸς τῇ μεταλήψει ἡγίαζε. καὶ οὕτω που ἡ πόλις ἡμέραις ἑπτὰ ταῖς θυμηδίαις καθηορτάζετο.

marum vim gaudio permistam prae compunctione ex eius verbis enata effudit, eratque panegyris omnino lacrimosa, cum dolendi causa nulla subesset. sic enim tempus ad collacrimandum hortabatur, quamvis quod ob molestiam doloremve ad id eos commoveret, nihil esset. antistes igitur pane et vino solenni ritu consecratis, mysteriis dei hominisque conventum per communionem sanctificabat. et hunc in modum civitas dies septem cum oblectamento in feriis consumpsit.

ΘΕΟΦΥΛΑΚΤΟΥ
ΙΣΤΟΡΙΩΝ
ΛΟΓΟΣ Ε'.

THEOPHYLACTI
HISTORIARUM
LIBER V.

PONTANI ARGUMENTUM.

(1) *Varamus re cum suis deliberata copias adversus Chosroem in diversa loca destinat. Nisibi conviciis incessitur. Zadespratae nuntii pessime ibidem accepti ad Chosroen transmittuntur, qui in adversa fortuna Sergii martyris opem, cum promissione crucis aureae, lapillis distinctae, implorat. Zadespraten Rosas a Salchone impulsus strategemate quodam interficit.* (2) *Zadespratae caput et spolia ad Chosroem portantur. Anathonum missi ducem occidunt, caput eiusdem Chosroae transmittunt; qui religionem Christianam praedicans, Mauricioque de secundis rebus suis significans, auxilium et pecuniam mutuam petit. Comentiolus rogatu Chosroae abdicatur, cui Narses ipsius stipator substituitur.* (3) *Narses cum Romano milite et Chosroe Persidem ingreditur. Chosroes rex acclamatur, a Darenis honorifice excipitur. Domitiani antistitis ob ingressum illius in templum minae. veniam petit rex. templo eiicitur. muneribus regiis a Mauricio ornatur. Persae Varamo deserto ad eum desciscunt. Daram oppidum imperatori donat. legatum eius muneratur imperator, ipsumque filii appellatione cohonestat.* (4) *per Singarum Chosroae adversus Varamum delecta manus. re conspecta Varamus ad pugnam exit. procedit ultra cum auxiliis Chosroes. Domitianus milites ad fortiter praeliandum atque ad mortem contemnendam egregia concione inflammat.* (5) *militum pugnandi ardor. Chosroae custodia Romana attribuitur. ex Armenia copiae exspectantur. Chosroes manipulos vires hostium exploratum dimittit. Bryzacius dux Persa a Romanis captus auribus et naso mutilatur. Chosroes prosperitate sua laetus ducem Romanum acuit, duces Romanos atque Persas*

convivio excipit. adductus inter epulas Bryzacius illuditur et interficitur. hilaritas epulantium. (6) *Mebodis nuntius ad praefectum prytanei de commeatu et pecuniis sufficiendis. Thesaurorum custodis fuga. Seleuciae conditor. Euphratis descriptio. Mebodes Seleuciam noctu irrumpens caedibus promiscue grassatur. Ctesiphontei fama conterriti deditionem decernunt. Antiochiam Persarum condidit Chosroes. Iustinianus eidem regiam extruxit. Mebodis Antiochiam litterae.* (7) *epistola nomine Romanorum ad cives Antiochiae Persidis. fugitivos et Varami factionem poscunt. in ducem et dedititios animadvertunt. Iudaeos quoque tyranni administros trucidant. qua occasione in Persidem commigrarint Iudaei, eorumque aculeatior vituperatio. Alexandriana locus unde dictus.* (8) *transitum fluminis Romani praeoccupant. unde audacia Varamo. eius speculatores capti rem produnt. in Amisenos irruptio. ad lacum Varamus Romanis occurrit. sine pugna abitur. Narses Ioannem monet ne separatim cum Persis in aciem descendat.* (9) *Chosroes nuntiis laetissimis afficitur. exercitus tres in unum coniunguntur. Chosroes et Varamus quantum exercitibus valuerint. Varami insidiae patent. barbarorum clamores et tumultus, Romanorum quies. ad praelium acies dispositae. barbari in montem confugiunt. Persarum temeritas.* (10) *Varami fuga ad loca varia, quem Romani persequuntur. certamen in campo paratur. Tessera Romanorum,* Ave Maria. *pugna describitur. sex millia Persarum fugientium. in captos Chosroae saevitia. Turcae donantur Mauricio. in frontibus eorum unde crucis signum.* (11) *tabernaculum Varami diripitur. barbari ex elephantis tela spargentes Romanis succumbunt. bestiae Chosroae donantur. spolia leguntur. disceditur. Chosroae ob partam victoriam laetitia. Romanos parum gratus domum remittit: ab iis de officio admonetur. mille custodes corporis Mauricium rogat.* (12) *de sancta femina Golinducha apud Hierapolim. genus, connubium, ecstasis. quid a marito propter Christianismum perpessa sit. altera eiusdem divinitus illustratio, et de morte mariti vaticinium. Nisibim migrat. a sacerdotibus Christianis mysteriis imbuitur. a magis quaeritur; in carcerem diuturnum traditur: inde per angelum liberatur. Hierosolymis sancta adorat. Chosroae futura praedicit. Hierapoli vita innocentissime exacta, in coelum abit.* (13) *Chosroes Sergio martyri crucem auream et gemmatam dono fert. epistola eiusdem de voto suo. posthabita lege Persica, Siram feminam Christianam ducit reginamque renuntiat.* (14) *Chosroes prolem a Sergio martyre contendit. cum donis epistolam mittit, qua se voti compotem evasisse narrat, cum singulari erga sanctum reverentia, et Christiane prorsus.* (15) *tyrannidis Varamo conscii morte plectuntur; Bindoes in Tigridem proiicitur. foedus et pax inter Persas et Romanos ex aequo servatur. Vaticinia Chosroae de Romanorum Persarumque imperiis. quae item Probo episcopo Chalcidensium praenuntiarit. ad res Europaeas regressio.* (16) *Mauricius ex Oriente copias in Occidentem reducit. contra Abares se instruit. rogatur a proceribus et patriarcha et ipsa Augusta atque liberis, ne ipse ductet exercitum. nihil impetratur. solis defectio. ventorum rabies. ad legatum audiendum in urbem redit. ad expeditionem revertitur. pie sacra obit. pauperibus benigne facit. iter eius a Rompho. a spectro forma suis incursatur.*

P 120 V 219 1. Ὁ δὲ Βαρὰμ τῆς Ῥωμαϊκῆς διητυχηκὼς εὐμενείας, ἐκκλησίας ἀγείρας καὶ περὶ τῶν ἐν ποσὶ κοινολογησάμενος ἐκ τῶν ἐπιφανεστέρων τοὺς ἐς ἀνδρείαν τὴν ὑπεροχὴν κεκτημένους χειροτονεῖ στρατηγούς, ὅπως τῇ ἀντιθέτῳ προνοίᾳ τοῖς Χοσρόου πράγμασιν ἀντιταλαντεύσῃ πως τὸ ἀπρόσκοπον. καὶ οὖν τὸν Μιραδουρὶν ἐς τὸ Ἀνάθων φρούριον τὸ πρὸς τῷ Κιρκησίῳ παρὰ τὸν Εὐφράτην ᾠκοδομημένον ἐξέταττεν μετὰ πλήθους δυνάμεως. ἐξεπέμπετο δὲ καὶ ἐς τὴν Νίσιβιν τήν τε σύγχωρον Ἀραβίαν τὸν Ζαδεσπράτην τὸν ἄρτι που συστρατεύσαντα τῷ Φεροχάνῃ. ὁ
B μὲν οὖν Ζαδεσπράτης τὴν Βαβυλῶνα ἀπολιπὼν ἀγγέλους ἐς τὸν Σολχάνην ἐξέπεμπε, προαγορεύοντας αὐτοῦ τὴν ἐς Νίσιβιν ἄφιξιν. μενοῦν γε ὁ Σολχάνης, ὅτε που ὑπὸ τῶν ἀγγέλων τὸ τῶν μεγαλαυχημάτων ὑπέρογκον τοῦ Ζαδεσπράτου διέγνωκε, τῇ ὑστεραίᾳ καθίσας συνέδριον ἐς ὑπήκοον τῶν συνεληλυθότων προσέταττε τοὺς ἀγγέλους, ὅ τι ἂν εἴη αὐτοῖς ἡ ἀξίωσις, μηδέν τι τῷ δέει συσταλέντας ἐκτίθεσθαι. οἱ μὲν οὖν ἐξυπηρετούμενοι τῷ προστάγματι διεξῄεισαν ἅπερ ὁ πεπομφὼς αὐτοὺς διηγόρευσε. θολοῦ τοίνυν γεγονότος τῇ ἐκκλησίᾳ καὶ πάντων τῷ Βαρὰμ λοι-
C δορουμένων, ὁ Σολχάνης αἰκίσας τοὺς ἀγγέλους ἠτίμωσε, καὶ δεσμοῖς ἀφύκτοις τισὶ καταταλαιπωρήσας ἐς Χοσρόην ἐξέπεμπεν. ὁ δὲ Χοσρόης τὸν μὲν Σολχάνην ἐξελιπάρου ταῖς ὑποσχέσεσι παροτρύνων εὖ διατίθεσθαι τὰς τῶν ἐντυγχανόντων φοιτήσεις, αὐτὸς δὲ Χοσρόης ἀπορίᾳ τὴν ψυχὴν κατεβάλλετο, τὰς ἐπιστρα-

1. Varamus Romanorum gratiae benevolentiaeque repulsam passus, coactis primoribus communicatoque de praesenti rerum statu consilio, duces e nobilioribus animi fortitudine excellentes legit, ut cura et providentia rebus suis integris Chosroae occurreret. ad castellum igitur Anathan prope Circesium iuxta Euphratem situm Miradurinem cum agmine expedito, Zadespraten, qui nuper adeo Pherochanis signa secutus fuerat, Nisibim et in Arabiam finitimam mittit. Zadesprates itaque Babylonia digressus Solchani super adventu suo Nisibim significat. Solchanes ubi Zadespratae insolentiam et iactantiam cognovit, postridie concilio convocato, ut in consessu, quid petitum advenissent, omni timore deposito eloquerentur, nuntiis imperat. illi dicto audientes mandata exponunt. turbatur conventus, universisque Varamum maledictis lacerantibus, Solchanes nuntios foede pulsatos et opprobriis affectos, insuper artissimis vinculis misere constrictos, ad Chosroen mittit; a quo etiam atque etiam rogatur, promissisque allicitur, uti de internuntiis bene pro-

τείας τοῦ τυράννου μορμολυττόμενος. εἰσῆλθε τοίνυν αὐτὸν δεισιδαιμονία ὁσίας θρησκείας τινός, καὶ πάλιν πρὸς τὸν ἐπὶ πάντων θεὸν τὸν νοῦν μετεκόμισε, καὶ ἠντιβόλει τὸν ἀοίδιμον ἐν μάρτυσι Σέργιον, ὃν καὶ τὰ νομαδικὰ πρεσβεύειν ἔθνη εἰώθασι, συλλαμβάνειν τῶν πόνων αὐτῷ. ἀπαρχάς τε τροπαίων καθυπισχνεῖτο D *προσφέρεσθαι, τοῦ κυριακοῦ πάθους τὸ ἐπίσημον σήμαντρον (σταυρὸς δὲ τοῦτο ἀναγορεύεται), τεκτονεύεσθαί τε τοῦτον χρυσήλατον, μαργαρίτην τε περιβαλεῖν αὐτῷ καὶ τῶν Ἰνδικῶν λίθων τοὺς διαυγεῖς· εὐσεβέστερον γὰρ ποτνιώμενον ὑπὸ τῆς ἀνάγκης ὁ καιρὸς αὐτὸν ἐξειργάζετο. ἀτὰρ ὁ Σολχάνης ἀξιαφηγητικώτατον καὶ παράδοξον ἔδρασεν ἐγχείρημα, βουλῆς τε ἀλκῇ τὸν ἀντιστράτηγον διεχρήσατο. Ῥοσᾶν γὰρ τὸν καὶ Ὁρμίσδαν παρὰ τῷ Περσικῷ οὕτω καλούμενον ἱππικῇ περιφράξας ἰσχύϊ* P 121 *κατὰ τῆς ἀντιστρατευσαμένης πληθύος ἐξέπεμπε. μάλιστα δὲ τῷ Ῥοσᾷ ὑπετίθετο δόλῳ τὰς ἐκβάσεις ἐπιτρέψαι τῆς ἐγχειρήσεως. ὁ μὲν οὖν Ῥοσᾶς ταῖς ὑποθήκαις τοῦ Σολχάνου μετ' ἐπιμελείας ἑπόμενος ἐχώρει πρὸς τὸ πολέμιον. δευτέρᾳ δ' ἡμέρᾳ ὁ Ζαδεσπράτης ἐν τοῖς μέρεσι τοῦ Χαρχὰς παραγίνεται (κώμη δ' αὕτη παμφορωτάτη ὁμοῦ καὶ πολύανδρος), καὶ νυκτὸς ἐπιγενομένης ἐχόμενα ταύτης ἠγραύλιζεν. ὑποτοπάσας δ' οὗτος πολεμίαν ὄψιν, μή που ἐξαπιναίως αὐτῷ συγκυρήσειε, τῆς περὶ τῷ σῶμα φρουρᾶς προμηθίαν ἐτίθετο. οὐκοῦν ἐν τῷ πύργῳ τῷ ἀνὰ τὸν χῶρον ἱδρυμένῳ καὶ ἐκ λογάδων λίθων κεκτημένῳ τὴν σύνθεσιν τῇ δοκήσει κατεπαννυχίζετο τῆς δειλίας ἀπόκοιτος. ὁ τοίνυν* B

videat. ipse angore et tyranni metu plenus, animum deiicitur, tandemque religiose in cuiusdam pietatis cogitationem ingreditur, iterumque ad deum principem rerum omnium sese convertit, ac venerandum Sergium martyrem, quem colere etiam barbarae nationes consueverant, suppliciter rogitat uti laboribus ac miseriis suis ne desit: se illi dominicae passionis illustre monumentum, crucem, inquam, ex auro puro confectam et margaritis pellucidisque ex India lapillis variatam, victoriae suae primitias oblaturum. ita illum necessitas pie orare obtestarique docuerat. caeterum Solchanes admiratione, et memoria dignissimum facinus effecit, valentique consilio ducem adversarium e medio sustulit. Rosam quippe, alio nomine Hormisdam Persis, cum equestri robore contra infestam adventantium manum emittens, auctor Rosae fuit ut dolo et insidiis rem transigeret. Rosas Solchanis auctoritati studiose parens in hostem tendit. die sequenti Zadesprates Charchas, vicum omne genus fructuum efferentem et incolis frequentissimum, venit, et nocte proxima in eius agro manet, constitutis circum se diligenter custodibus, ne forte improviso, quod formidabat, ab hostibus appeteretur. erat ibidem munitio electo constructa lapide, in qua citra timorem totam noctem cubare se

Ῥοσᾶς οὐ πόῤῥω στρατηγοῦ ἀφικόμενος, ἐπεὶ διεγίνωσκε τὸν χῶρον ὅπου δὴ οὗτος πάννυχος κατηυνάζετο, ποδηγὸν δεξάμενος ἐς τὸ πρόσω ἐβάδιζεν. ἐπεὶ δὲ τῷ ἐχυρώματι προσεπέλασε, προθέειν προσέταττέ τινα τῆς δυνάμεως, λέξοντα τῷ στρατηγῷ ὑπὸ Βαρὰμ ἔσεσθαι ἄγγελον, καὶ ἐπίθετον αὐτῷ ἐπιφέρεσθαι δύναμιν. ὁ μὲν οὖν ἐπὶ τὸ ὡσανεὶ φρούριον γεγονὼς μεσούσης νυκτός, τῇ πατρίῳ φωνῇ τοὺς περιφρουροῦντας φενακισάμενος, ἠξίου τῷ στρατηγῷ δι᾽ αὐτῶν περιηχηθῆναι τὸ ἄκουσμα. ἐπί-
C V 220 χαρι τοίνυν οἱ δείλαιοι τὴν ἐπαγγελίαν δεξάμενοι μεταπορθμεύουσιν ἐπὶ τὸν Ζαδεσπράτην τὸν λόγον, ὡς οἷα δὴ περὶ δεξιοῦ τινὸς καὶ συντονίας ἀξίου κατεπειγόμενοι. ὁ μὲν οὖν Ζαδεσπράτης ἔτι ἔξοινος ὢν καὶ ἡμικραίπαλος, ὑπὸ τοῦ ὕπνου διακοπτόμενος θαῤῥεῖν ἔλεξε Πέρσαις, ἀταλαιπωρήτως τὸν λόγον εἰσοικισάμενος, καὶ τὴν πυλίδα τοῦ φρουρίου διανοῖξαι προστάττει. τοῦτό τοι καὶ γέγονεν αὐτῷ αὐτοσχέδιός τε καὶ αὐθαίρετος θάνατος, ἀφορμὴν τοῦ κινδύνου τὴν ἀφροσύνην κρατησάμενος. οἱ μὲν οὖν περὶ τὸν Ῥοσᾶν εἰσρεύσαντες περὶ τὸ φρούριον τῇ μαχαίρᾳ τὴν παῤῥησίαν ἐδίδοσαν· ὁ δὲ στρατηγὸς τὸ ἀδόκητον θεασάμενος βάραθρον, ἐπὶ τέγους οἰκίσκου γενόμενος ἠξίου παρὰ τῶν ᾑρηκότων σωτηρίαν ἀρύσασθαι. ἐπεὶ δὲ διηπειλεῖτο πυρὶ τὸ δωμάτιον ἀφανίζεσθαι, ἀφικνεῖται πρὸς τὸ πολέμιον. τοίνυν τοῦτον καρατομήσαντες οἱ ἀντίπαλοι, καὶ πάντα τὰ ἐν τῷ φρουρίῳ λαφυραγωγησάμενοι, ἧκον παρὰ τὸν Σολχάνην τήν τε κεφα-

14. διανοίξας IP.

posse arbitrabatur. Rosas haud procul a Zadesprate distans, ut de loco, ubi ille per noctem consopitus iaceret, cognovit, duce accepto procedit. propior munitioni factus militem quendam praecurrere ac Zadespratem monere iubet, a Varamo supplementum affuturum et huius rei nuntium se advolare. miles media circiter nocte castellum attingens, patriaque lingua (Persica) custodes ludificans, rogat duci, quod a se audissent, indicari. infelices illi promissa cum voluptate accipientes, ad Zadespratem festinato, ut faustum aliquid et contentione dignum, audita perferunt. quin etiamtum madidus, et crápula nondum exhalata, somno excussus bonum habere animum Persas iubet, nuntiata laetus complectitur, castellique portulam reserari mandat. quod illi extemporalem et voluntariam quodammodo mortem, eius stultitia occasionem suppeditante, attulit. Rosae milites certatim irruentes gladiorum licentia saeviunt. Zadesprates inopinatum ante oculos cernens exitium, sub tectum domunculae confugiens, incolumitatem victores orabat. quibus aediculam incendio se consumpturos minantibus, descendit, capite truncatur: diri-

λὴν τοῦ Ζαδεσπράτου ἐπιφερόμενοι καὶ ὅσα ἡ τύχη τῷ δούλῳ δέδωκεν ἐγκολπώσασθαι.

2. Ὁ μὲν οὖν Σολχάνης τοῖς προαυλίοις τῶν φροντίδων P 122 καταγαυρούμενος εἰς τὴν Κωνσταντῖναν Χοσρόῃ ἐξέπεμπε τήν τε κεφαλὴν τοῦ ἀντιμάχου στρατηγοῦ τόν τε πλοῦτον ὃν ἀπραγματεύτως τὰ τῆς εὐβουλίας ἐσκύλευσεν. ὁ μὲν οὖν Χοσρόης τῶν ἀπαισίων ἐλπίδων μετανάστης γενόμενος τῇ ἀθυμίᾳ διαζύγιον δίδωσι, καὶ πρὸς τὸ δεξιώτερον τὰς ἐκβάσεις τῶν ἐσομένων ἀντιμετέβαλλεν. ἐν ταύταις δὲ ταῖς ἡμέραις καὶ οἱ κατὰ τὸ Ἀνάθων ὑπὸ τοῦ Βαρὰμ ἐκπεμφθέντες ἐπανίστανται καὶ ἀναιροῦσι τὸν B ἡγεμόνα, τήν τε τούτου κεφαλὴν παρὰ τὸν Χοσρόην ἐξέπεμπον. ὅτε γοῦν ὁ Χοσρόης τούτων δῆτα τῶν ἀνδραγαθημάτων τὴν συμφωνίαν στέφουσαν αὐτὸν ἐθεάσατο, ἐκ τῶν ἤδη φθασάντων ἐνέχυρον τῶν ἐσομένων λαβών, ὡμολόγει μέγιστον εἶναι ἁπάντων θεὸν τὸν παρὰ Ῥωμαίοις Χριστὸν θρησκευόμενον καὶ τιμώμενον, καὶ ἀπυλώτῳ τῷ στόματι τὴν πάλαι θρησκείαν ὠβέλιζε. δεκάτῃ C δὲ ἡμέρα, καὶ ἐς βασιλέα Μαυρίκιον τῶν ἑπομένων ἀρχόντων τινὰς μετεπέμπετο, καὶ τὴν τῶν παρηκολουθηκότων περιπέτειαν ἐνσημαίνεται, ἠξίου τε μελλήσεως ἐγκοπὴν ταῖς συμμαχικαῖς αὐτὸν ἐπιθεῖναι δυνάμεσι καὶ ὡς τάχιστα βοηθεῖν, τήν τε τῶν χρημάτων αὐτῷ παρὰ τοῦ βασιλέως γενέσθαι περιβολήν, ἰσχυριζόμενος τὴν οἰκείαν ἀπολαβόντα ἀρχὴν ἀντικαταβάλλειν Ῥωμαίοις τὸ δάνειον. ὁ δὲ τοῦ Ῥωμαϊκοῦ βασιλεὺς μετὰ τῆς συμμαχίας τῶν D ὅπλων καὶ τὴν τῶν χρημάτων αὐτοῦ μεγίστην ῥοπὴν ἐχαρίζετο. ὁ τοίνυν Χοσρόης χειρογραφήσας τὸ δάνεισμα καὶ ἐς Μαυρίκιον

piuntur omnia, et ad Solchanem reditur, simulque Zadespratae caput, et quaecunque fortuna servo in sinum dederat, apportantur.

2. Hisce curarum suarum prooemiis Solchanes se circumspiciens, et caput adversarii ducis et praedam nullo negotio, felici consilio acquisitam, Chosroae Constantinam mittit; qui a male ominato timore tristitiaque recedens, ad secundiora in posterum speranda incumbit. per eosdem dies Anathonum a Varamo missi similiter insurgunt, interfectoque duce caput eius Chosroae mittunt. qui ut horum facinorum consensione et convenientia sibi honorem parari animadvertit, ex praeteritis futurorum pignus capiens, deum qui a Romanis coleretur honorareturque, omnium esse potentissimum confitetur, atque ore libero veterem superstitionem condemnat. die decimo quosdam qui secum erant de proceribus ad Mauricium legat, fortunae suae mutatam faciem indicat, primo quoque tempore sibi opem ferri et pecuniam dari mutuam rogat, recuperato regno se id nomen Romanis soluturum confirmat. imperator Romanus praeterquam quod armis ei succurrit, etiam pecuniae numerum maximum largitur. ita Chosroes se argentum accepisse mutuum chiro-

ἀποστειλάμενος, τὸν πολυτάλαντον τῶν χρημάτων ἐκομίζετο πλοῦτον, καὶ τοῦτον κατακερματίσας ταῖς περὶ αὐτὸν Περσικαῖς κατέσπειρεν δυνάμεσιν. ὁ μὲν οὖν Γρηγόριος ὁ τῆς ἑῴας ἱεροσύνης προεστηκώς, τὴν Κωνσταντῖναν ἀπολιπών, πρὸς τὴν Ἀντιόχειαν μετεχώρησε. μετ' οὐ πολὺ δὲ τῷ Σαράμῃ ἐς βασιλέα γενέσθαι Χοσρόης προσέταττε, καθικετεύων τὸν Καίσαρα Κομεντίολον τῆς στρατηγικῆς ἐπιστασίας ἀποβαλεῖν, ὡς οἷα δὴ ὑπὸ τοῦ Κομεντιόλου προπηλακιζομένου, καὶ ταῖς ἀναβολαῖς τὰς ἐπικουρίας ὑποφθείροντος. ὁ τοίνυν Σαράμης κατὰ τὸ προστεταγμένον αὐτῷ ἐς Βυζάντιον ἀφικνεῖται, τήν τε πρεσβείαν διεξῆλθε τῷ αὐτοκράτορι. καὶ οὖν ὁ τοῦ Ῥωμαϊκοῦ βασιλεὺς ἀποστράτηγον τῆς ἐπὶ τὴν Περσίδα καθόδου Κομεντίολον ποιησάμενος, Ναρσῇ, ὃς τοῦ στρατηγοῦ ὑπασπιστὴς ἐτύγχανεν ὤν, τὴν ἡγεμονίαν ἐντίθησιν.

P 123 3. Ἦρος τοίνυν ἀρχομένου ὁ νεώτερος στρατηγὸς Χοσρόην
V 221 παραλαβὼν (συνείπετο δ' αὐτῷ ὁ ἐν Μελιτηνῇ ἱερατεύων κατ' ἐκεῖνο καιροῦ, ὃν Δομετιανὸν ὁ λόγος ἐδήλωσεν) ἐπὶ τὸ Μάρδες μετεφοίτησε· πόλεως δὲ Δάρας ἀφεστήκει τὸ φρούριον παρασάγγας τρεῖς. οἱ μὲν οὖν περὶ τὴν Νίσιβιν τῆς Ἀραβίας, οἵ τε ἄλλοι δυνατώτατοι πάντες καὶ οἱ τῶν ταγμάτων ἡγούμενοι, ἀναγορεύουσι Χοσρόην βασιλέα, καὶ τῆς δημοσίας ἐνέχυρα συγγε-
B νεῖς παρασχόμενοι προκατήρτιζον τὴν ἐς τὰ βασίλεια τῷ Χοσρόῃ ἐπάνοδον. ὁ μὲν οὖν τῶν Περσῶν βασιλεὺς τούτους ὑπὸ Ῥωμαίων περιφρουρεῖσθαι συνέταξε. ἀπάρας τοίνυν ἐντεῦθεν ὁ στρατηγὸς ἐπὶ τὸ Δάρας ἐστρατοπέδευσεν. ὁ δὲ Χοσρόης τὰς

grapho testificatus, scripturam ad Mauricium misit, talentorumque multorum reportatas ab se divitias, minoribus permutatas numismatis, inter milites suos dispertivit. Gregorius patriarcha Antiochenus Constantina Antiochiam discessit. non diu post Chosroes Saramen ad imperatorem legavit oratum uti Comentiolo ducis munus abrogaret: quippe se illi esse ludibrio, ab eoque cunctando et differendo auxilii opportunitates corrumpi. Sarames iussa facessens Byzantium ivit, munus suum fungitur. imperator Comentiolum amplius in Persidem copias ducere vetat, Narsi eius satelliti eas partes imponit.

3. Primo itaque vere novus dux cum Chosroe, sequente Domitiano per id tempus Melitenes episcopo, ut ante diximus, Marden accedit, quod castellum ab urbe Dara tribus parasangis abest. qui igitur cum in Arabia prope Nisibim, tum alibi opibus plurimum pollebant, ad unum omnes, simulque ordinum ductores, Chosroen regem consalutant, ac pro re publica consanguineos obsidum loco opponentes ei ad regnum recipiendum viam muniunt. obsides rex custodiri a Romanis iussit. inde Narses ad oppidum Daram exercitum adducit. Chosroes Romanas copias

συμμαχικὰς δυνάμεις τῶν Ῥωμαίων θεώμενος κομώσας ἀλκῇ τοῖς τε ὅπλοις κατακοσμουμένας, ἐκθάμβων παρασκευῇ, πρὸς τὰς νεωτέρας μετεχώρει ἐλπίδας, μηδέν τι τοῦ πρεσβυτέρου πάθους τῷ λογισμῷ νοσφιζόμενος. εἰσήρρησε τοιγαροῦν πρὸς τὸ ἄστυ C ὁ βασιλεὺς ὁ βάρβαρος, καὶ ἐντεμενίζεται ἅμα τοῖς τειχίοις παρὰ τῷ περιφανεῖ τεμένει τῆς πόλεως, ἐν ᾧ Ῥωμαῖοι τὰ τῆς θρησκείας ἐτέλουν μυστήρια, λίαν κενταυρικῶς τε, καὶ ἐν ἐπισάλῳ τύχῃ τῶν πραγμάτων διακειμένων αὐτῷ. οἱ μὲν οὖν Δαρηνοὶ διηγανάκτουν ἐπὶ τῷ ἐγχειρήματι, Χοσρόου τοῦ πρεσβυτέρου ᾑρηκότος τὴν πόλιν καὶ μηδέν τι πρὸς ὕβριν τοῦ σεβάσματος ἐγχειρήσαντος. οὐκοῦν ὁ Δομετιανὸς τὴν βάρβαρον ὕβριν φέρειν D οὐκ ἔχων, τὰς δυνάμεις ἀναλαβὼν παλινδρομεῖν ἐπὶ Κωνσταντῖναν ἠπείλει. ἠτιμωμένος τοίνυν Χοσρόης ἐντεῦθεν, καὶ τῇ προπετείᾳ μὴ χάριν ὁμολογῶν, ὡς τὸν Δομετιανὸν ἐκ τῶν παρ' αὐτοῦ ἐπιφανεστάτων ἐξέπεμπεν, ἔλεον αὐτὸν ἐξαιτούμενος τῷ μεταμέλῳ παρέχεσθαι. ὁ μὲν οὖν ἱερεὺς ὁπόσον ἔδει προπηλακίσας τὸν βάρβαρον, ἐπανῆκεν εἰς τὸ Δάρας ἐξοικίσας τοῦ τεμένους Χοσρόην. ἕκτῃ δὲ ἡμέρᾳ, καὶ ὁ αὐτοκράτωρ λιθοκόλλητον ζώνην καὶ τιάραν βασιλικὴν κλίνας τε καὶ τραπέζας χρυσᾶς ἐς τὸ Δάρας τῷ Χοσρόῃ ἀπέστελλεν, πομπήν τε βασίλειον αὐτῷ συγκροτῶν ἐκ τῶν παρ' αὐτῷ δορυφόρων μεγαλοπρεπῶς μετεδίδου, ὅπως μὴ βασιλικῆς χηρεύων συντάξεως εὐκαταφρόνητος εἴη Ῥωμαίοις τε καὶ Πέρσαις. περιεστοιχίζετο γοῦν πάντοθεν βασιλικῇ δορυφορίᾳ Χοσρόης, ὁπόση νόμος Ῥωμαίοις αὐτοκρα-

2. an ἐκθάμβῳ?

viribus florentes et armis conspicuas cum apparatu stupendo cernens, in spes novas ingreditur, nec tamen prioris infortunii memoriam deponit. urbem itaque rex barbarus iniens, in templum magnificum, in quo Romani religionis mysteria obibant, admodum ferociter et contumeliose, adhuc necessitati subiectus, et rebus eius a fluctibus fortunae iactatis, armatus se infert. Dareni factum indignari, praesertim cum Chosroes senior capto oppido nihil ad iniuriam divini cultus molitus esset. quamobrem Domitianus barbaram insolentiam non sustinens, acceptis copiis Constantinam sese rediturum comminatur. Chosroes despectum se videns, mutationemque istam parum gratam habens, ad Domitianum quosdam de nobilissimis suis mittit, qui nomini suo illi satisfacerent. episcopus barbaro quantum decuit ignominia multato, Daram revertitur ipsumque e templo eiicit. die sexto imperator balteum insertis gemmis, tiaram regiam, lectulos et mensas aureas Daram illi transmittit, comitatumque regium ei conficit, et de suis doryphoris nonnullos honoris causa adiungit, ne regio destitutus satellitio Romanis iuxta Persisque vilesceret. stipabant igitur eum undique regii satellites, quo pacto Romanis impera-

τορικὰ σκῆπτρα γεραίρεσθαι. ὁρῶντες γοῦν οἱ Μῆδοι ὁπόση
P 124 τῷ Χοσρόῃ ὑπὸ τοῦ αὐτοκράτορος ῥώμη περιεκέχυτο, τὴν γνώμην μεταναστευσάμενοι, χαίρειν φράσαντες τῇ τυραννίδι προσεχώρουν Χοσρόῃ. καὶ τοῦ μὲν Βαρὰμ ὁσημέραι τὸ συμμαχικὸν κατησθένει, τῷ δὲ Χοσρόῃ κατὰ νοῦν ἐχώρει τὰ πράγματα, καταλιπαινομένης αὐτῷ τῆς δυνάμεως. διανοεῖται γοῦν παραυτίκα Χοσρόης βασιλεῖ Μαυρικίῳ εὐνουστάτην πρᾶξιν ἐνδείξασθαι. διὸ ἐν βασιλικῇ διφθέρᾳ τὴν πόλιν Δάρας ὑπήκοον ἐγγράφεται προῖκα Μαυρικίῳ τῷ αὐτοκράτορι, τόν τε Δολαβζὰν τὸν σατράπην, ἄνδρα ἀπόβλεπτον, ἐς Βυζάντιον στέλλει τὰς κλεῖς οἰσόμενον τοῦ πολίσματος τήν τε ἐν γράμμασι δωρεάν. ὁ μὲν οὖν πρέσβυς ἐπὶ τὸ βασίλειον ἄστυ γενόμενος παρεδίδου Ῥωμαίοις τὸ πόλισμα, καὶ ἐς λόγους πρὸς τὸν αὐτοκράτορα ἧκεν· ὁ δὲ βασιλεὺς τοῦ Ῥωμαϊκοῦ δώροις βασιλικοῖς μεγαλύνας τὸν Δολαβζάν, τὴν τῶν προαπαγγελθέντων ὠχύρου καὶ αὖθις ὑπόσχεσιν, παῖδα Χοσρόην ἀποκαλῶν.

B 4. Ὁ δὲ Χοσρόης εἰς τὸ Σιγγάρων (Μηδικὸν δὲ τὸ ἄστυ)
V 222 τά τε γύναια καὶ τοὺς παῖδας κατησφαλίζετο· ἐχυρώτατον γὰρ τὸ ἄστυ καὶ ὑπὸ τῆς ἔριδος περιφρουρούμενον καὶ ἥκιστα τοῖς πολεμίοις ἁλωτόν, τῷ καταύχμῳ τῆς ὑδρεύσεως πεφυκὸς πρὸς πολιορκίαν ἀπρόσιτον. μετὰ τοῦτο Μεβόδῃ προστάττει, καὶ δισχιλίοις ἐκ τοῦ ὁπλιτικοῦ περιφράξας αὐτὸν διὰ τοῦ Σιγγάρων νομοθετεῖ ἐς τὰ βασίλεια εἰσβαλεῖν, τόν τε ὑπὸ τοῦ Βαρὰμ γε-
C νόμενον φύλακα τῶν ἀνακτόρων διαχρήσασθαι. ὁ δὲ τύραννος σὺν τοῖς Ῥωμαίων τάγμασιν ἐπιόντα Μεβόδην μεμαθηκώς, συν-

torem suum honorare mos est. intuentes Persae quam potentem imperator Chosroen reddidisset, a tyranno ad eius partes commutatis voluntatibus accedunt, et Varami exercitu quotidianis defectionibus imminuto, Chosroae adauctis copiis res ex sententia procedebat. mox quantam posset adversus Mauricium benevolentiam sibi declarandam statuens, in membrana regia Daram ei gratis transcribit, et Dolabzanum satrapam, virum illustrem, Byzantium cum clavibus oppidi instrumentoque donationis mittit. legatus in urbem imperantem profectus Romanis oppidum addidit; cum imperatore collocutus, ab eo pro imperatoria magnificentia muneribus cohonestatur. pactorum praeterea fidem imperator denuo confirmat, et Chosroen filium appellat.

4. Chosroes Singarum (Mediae seu Persidis urbs est) mulieres ac liberos suos securitatis causa transfert. est enim munitissima, et quia simul controversa, custodia nunquam vacat, minime hostibus expugnabilis, ac propter paludes informes obsessoribus inaccessa. post haec Mebodi dat negotium ut sumptis duobus armatorum millibus, per Singarum in regiam facto impetu, custodes Varami trucidet. tyrannus ut Mebodem cum Romanis cohortibus adventare comperit, coacto milite sui

ἀθροίσας τὸ μάχιμον ἐξεδίδου πρὸς πόλεμον. ὁ μὲν οὖν Μεβόδης δέει τῷ τοῦ βασιλέως προστάγματος πρὸς τὸ ἔργον ἐχώρει. θέρους δὲ ἀρχομένου καὶ τῆς πόας παχυνομένης ἀκμῇ, τὸ Δάρας καταλελοιπὼς ἅμα τῷ συμμαχικῷ ὁ Χοσρόης ἐς τὸ πρόσω ἐχώρει. ἐπεὶ δὲ πρὸς τῷ Ἀμμοδίων ἐγένοντο, τέτταρσι καὶ δέκα διεστηκότι Δάρας, Δομετιανὸς ἅμα τοῖς ἡγεμόσι τὸ Ῥωμαϊκὸν D
συναθροίσας καὶ πρός τι βουνίον ἀνείς, τοῖσδε τοῖς λόγοις τὰς δυνάμεις κατήχει.

"Ὁ μὲν καιρὸς ὑμῖν μεγαλουργῶν ἀφορμήν, ἄνδρες, τεκταίνεται, ὁ δὲ τρόπος δικαίαν ὑπόθεσιν. ὁ δὲ τόπος τὸ φιλοκίνδυνον ἐκζητεῖ· ἡ αἰτία τὴν εὐσέβειαν ἀπαγγέλλεται καὶ λύμην φιλοτύραννον ἀπαναίνεται. γίνεσθε γοῦν ἀξιόμαχοι· ἐς πολεμίαν γὰρ γῆν ἀναστρέφεσθε, ἐν ᾗ τὸ νικᾶν ὑπερένδοξον καὶ τὸ τῆς δευτέρας τύχης βαρὺ καὶ λεγόμενον. τοίνυν ἡ παράταξις εὐδοξίας ἔχει τὴν πρόφασιν μεγάλης καὶ ἐπιφανοῦς ἀπάρχεσθαι πράξεως. ἅπαντα γὰρ τὰ τῆς οἰκουμένης ἔθνη τὴν ὑμετέραν P 125
ἱστορίαν ταῖς διανοίαις ἐγγράφεται. ἐξάκουστον πέφυκε τὸ ἐγχείρημα. ὁ πόλεμος ἀξιόλογος, οἱ ἀγῶνες ἀθάνατοι. τὰ τρόπαια ταφῆς οὐ παραπέμπονται λήθης. οὐκοῦν πάντα παθεῖν λυσιτελὲς ἀγωνίσασθαι, ἢ προέσθαι μετὰ τῆς εὐκλείας τὰ σώματα. τοῦτο πέρας τῶν πόνων ἀριστεύοντες ἕξετε, αὕτη τῆς εἰρήνης ἡ πρόοδος. μὴ στερηθῆτε τοῦ βάλλεσθαι, ἵνα μὴ ζημιωθῆτε τοῦ σώζεσθαι. ἐνστερνίσασθε τὰς βολάς, ἵνα καὶ τοὺς

9. μεγαλουργιῶν malim. 19. an ταφῇ?

defendendi prodit. Mebodes mandati quod ab rege acceperat respectu, rem aggreditur. aestate autem ineunte et pratis etiamtum herbescentibus, relicta Dara Chosroes cum auxiliis ultra progreditur. postquam Ammodium stadiis quatuordecim Dara dissitum advenerunt, Domitianus conscenso colle, ad duces et milites huiuscemodi verba habuit.

"Tempus, milites, mirificam vobis occasionem conciliat. mores vestri idoneam pugnandi materiam, locus periculi despicientiam requirit; causa pietatem denuntiat exitiosamque tyrannidem respuit. dignos igitur certamine vos praebetote: nam in hostili regione versamini, in qua vincere sane quam gloriosum, vinci autem etiam dictu grave et odiosum est. habet ergo hic conflictus eximium quiddam et illustre incipiendo decus propositum, universae siquidem per orbem terrarum gentes, quae vos agitis, mentibus inscribunt. exauditum est quod facitis, bellum est magnum, certamina immortalia, tropaea nulla oblivione sepelientur. quare non cedere malis, sed contra audentiorem ire, aut cum nominis sui gloria proiicere corpus expedit. hunc strenue dimicantes finem laborum nanciscemini. hac via pax procedit. nolite plagas subterfugere, ne simul salutem fugiatis. adverso pectore iaculorum ictus excipite, ut

θριάμβους ἐναγκαλίσησθε. μηδεὶς προσδέξηται νώτειον μώλωπα· οὐκ οἶδε τὰ μετάφρενα νίκην θεάσασθαι. ἑνοῦσθε ταῖς ψυχαῖς ἢ τοῖς σώμασι συμπλεκόμενοι, κοινωνοὶ τῶν πόνων ἀλλ'
B οὐ τῆς δειλίας γινόμενοι. ἀποκήρυκτος ἔστω ὁ μὴ τὰ πρεσβεῖα τῶν κινδύνων ἀράμενος. τῆς νίκης θανατῶντες ὀρέγεσθε. τραύμασι καὶ βολαῖς ἐξωνοῦνται τὰ τρόπαια. οὐδὲν ἐπίδοξον ἡ ῥαθυμία πορίζεται. οὐκ ἔστιν οὐδὲν ἐνυαλίου θανάτου γλυκύτερον. εἰ γὰρ γηράσκειν ἀσύμφορον καὶ νόσων μαρασμοῖς καταβάλλεσθαι, πάντως που μετὰ τῆς ἥβης τεθνάναι παραταττόμενον, ἐπιτάφιον δόξαν καρπούμενον, ὑμῖν τοῖς ἀριστεῦσι καταλληλότερον. οὐ γὰρ ἀπαθανατίζειν οἶδεν ἡ φύσις τοὺς ἀποδράσαντας. ἀναμορμολύττεται τὸ τῆς ψυχῆς γυμνοῦσθαι τὰ σώματα. οὐχ εὗρεν ὁ βίος τόπον ἀνώλεθρον. οὐδὲν τῶν τῇδε
C τῆς ἀνίας ἀλλότριον. ἅπαντα τῇ λύπῃ συμμέμικται. ἀνάγκη τις πολυτύραννος τὸν βίον οἰκονομεῖ τὸν ἀνθρώπινον. μὴ θαυμάσῃς προθεσμίαν μικρὰν ὅρον ζωῆς ἐκλιπαίνουσαν, καὶ μεγάλην ἀπ' αὐτῆς παρεχομένην ὑπόθεσιν, ἐξουσίαν μὲν τῇ ῥαθυμίᾳ παρασκευάζουσαν, ἐπὶ δὲ τὰς ἡδονὰς τὰς πλανωμένας. ἀνδρεῖοι γίνεσθε τὰς ψυχάς, τὴν μεταβολὴν πραγμάτων ἀγάμενοι. ἥκει γὰρ παρ' ἡμῖν βασιλεὺς Βαβυλώνιος μετὰ τῆς Περσικῆς τύχης δουλαγωγούμενος, καὶ μονονουχὶ μετὰ τοῦ σώματος ἡμῖν καὶ τὸ κράτος ἀπέδοτο, εὐσέβειαν θρησκείας τὰ κορυφαῖα τῶν
V 223 ἐλπίδων τιθέμενος. οὐκ ἀσμενίζουσι Πέρσαι τὸ τύραννον. ἀπι-

triumphos quoque amplectamini. nullus vestrum sibi tergum concidi patiatur: ignota enim dorso est victoria. consociamini animis magis quam corporibus coniungimini, et laborum, non timiditatis tenete consortium. qui non summo sese discrimini obiectaverit, exauctoratus esto. victoriam moriendo concupiscite. ictibus et vulneribus tropaea comparantur. haud quidquam laude dignum desidia parit. nihil dulcius quam in acie mortem oppetere. si enim senectute premi et morborum tabe consumi est inutile, viris fortibus vobis adhuc aetate vivida in certamine occumbere et post funera celebrari omnino magis est consentaneum. nec enim fugitoribus immortalitatem dare natura potest, quae animis nudari corpora metuit. non est in hac vita locus quem mors aequo pede non pulset. nihil rerum humanarum moestitia et dolore vacat, quibus permista sunt omnia. vita nostra magna et crudeli necessitate regitur. ne diem ultimum aliquantum proferri et amplas inde rerum gerendarum occasiones offerri magnopere desiderate, cum et otio inertiaeque et vagis voluptatibus perfruendis inde facultas pateat. viriles praestate animos, et mutationem istam rerum admiremini. confugit enim ad vos rex Babylonius, cum potentia sua Persica in servitutem redactus, et cum corpore suo tantum non etiam regnum suum arbitrio potestatique vestrae commisit, in pietate sacrorum quae profitemur spe maxima sibi constituta. aver-

σπων ἐπιβαίνει βωμῶν ὁ Βαράμ· οὐ γὰρ βασίλειον ἐπιφέρεται
γένος. νόμοις τοιγαροῦν ὕβρεως τὴν κρηπῖδα τοῦ κράτους περι- D
βαλόμενος καταστασιασθήσεται θᾶττον· οὐ γὰρ οἶδε τὸ βίαιον
ἀφιλόνεικον ἔχειν τὴν ὕπαρξιν. ταῦτα τοῖς τῆς καρδίας ταμείοις
ἐναποτίθεσθε, γραφαῖς ἀτυπώτοις ἀπογραψάμενοι, καὶ μὴ διη-
χεῖσθε τοῦ λόγου τὸ καίριον εἰς ἀέρα διαλυόμενον, ἵνα μὴ τὴν
αἰσχύνην τῆς ἀποτεύξεως λυπηροτέραν κληρώσησθε. ἔστω προ-
πομπὸς ὑμῖν τῆς ἐκτάξεως ἀρχιστράτηγος κυρίου δυνάμεως, ὁ
μονογενὴς παῖς τοῦ θεοῦ, ὁ πρὸ τῶν αἰώνων θεός, τὰς ἀποπε-
ρατώσεις αἰσιωτέρας τῶν ἐλπίδων ὑμῖν παρεχόμενος."

5. Ὁπηνίκα οὖν ταῦτα τοῖς ὠσὶ τῶν δυνάμεων ἐνεβάλ- P 126
λετο, θείας ἐπιπνοίας τινὸς τὸ Ῥωμαϊκὸν ἐπεπλήρωτο ἄθροισμα,
τήν τε προθυμίαν ἀνανταγωνίστῳ σθένει φραξάμενοι ἐπ' αὐτήν
που λοιπὸν τὴν τελεσιουργὸν κατεβακχεύοντο πρᾶξιν χωρεῖν, σώ-
φρονι μανίᾳ τινὶ ἐς συμπλοκὴν ἐξοιστρούμενοι· οἶδε γὰρ καὶ λό-
γων ἀλκὴ θανάτου καταφρονεῖν. τοίνυν ἀπάραντες ἐντεῦθεν
εἰς τὸ πρόσω ἐχώρουν. ἡ δὲ φρουρὰ τῷ Χοσρόῃ ὑπὸ τοῦ Ῥω-
μαϊκοῦ συνετέτακτο· οὐ γὰρ ἡ ἐπιχώριος τούτῳ ἀσφάλεια τὸ
πιστὸν ἀνελάμβανεν. ὁ μὲν οὖν Δομετιανὸς ἐς τὴν Ῥωμαίων
πολιτείαν ἐπάνεισι, κυρώσας Ναρσῆν στρατηγὸν τοῦ πολεμικοῦ· B
τὸ δὲ στρατόπεδον πλησίον Μύγδονος ποταμοῦ χάρακα διεγρά-
ψατο. ὁ δὲ Σαράμης προηγεῖτο τῆς στρατείας, τούς τε ἐπισι-
τισμοὺς ἐρανιζόμενος εἰς ὅσον ἀποχρῆν τράπεζαν τῷ συμμαχικῷ
παρεσκεύαζεν. τρίτῃ δὲ ἡμέρᾳ ἐς τὸν Τίγριν αὐτὸν τὸ Ῥωμαϊ-

santur tyrannidem Persae. infido Varamus praesidio nititur, stirpe regia minime procreatus. quapropter ab insolentiae et iniuriae legibus imperium auspicatus, brevi seditionibus exagitabitur: nam ubi violentia, ibi res in tranquillo possideri non solet. haec in mentium vestrarum penetralibus litteris inaspectabilibus inscripta recondite; et quae opportune a me dicta sunt, ea in ventos diffundi ac dissipari ne permittite, ne dedecus et ignominiam ipsa frustratione tristiorem reportetis. unigenitus dei filius, ante saecula deus, princeps copiarum domini imperator, vos ad praelium deducat, exitumque spe ipsa faustiorem vobis largiatur."

5. Posteaquam haec milites Romani auribus hauserunt, divino pleni afflatu, alacritateque et animi robore invicto communiti, de caetero ad opus ipsum peragendum furebant, et sobria quadam insania quasi oestro perciti ad arma fervebant. potest enim contemptum huius lucis ingenerare etiam virilis et robusta oratio. ergo discedentes ultra pergunt. Chosroae indigenarum fidem suspectam habenti custodes de corpore Romanorum constituuntur. Domitianus Narse duce confirmato in Romanam ditionem regreditur. exercitus prope Mygdonum fluvium castrametatur. praecedit Sarames, conquisitoque commeatu mensam militi pro necessitudine parat. tertio die Romani Tigrim attingunt, exspectationeque Ro-

κὸν παραγίγνεται, καὶ τέως ἐς τὸ πρόσω φορᾶς ἀνεκόπτετο, τὰς ἐκ τῆς Ἀρμενίας Ῥωμαϊκὰς δυνάμεις ἀπεκδεχόμενον. ὁ δὲ Χοσρόης χιλίους ἐκ τῆς περὶ αὐτὸν φρουρᾶς κοσμίως ἐκτάξας διαπεραιοῦσθαι αὐτοῖς τὸν ποταμὸν ἐγκελεύεται, καὶ ὅπως ἔχει C δυνάμεως ἡ ἀντικαθεστῶσα ἀνιχνεύεσθαι δύναμις. οἱ μὲν οὖν τὸν ποταμὸν διανηξάμενοι πρὸς τῷ Ζαβᾷ γίνονται ποταμῷ· ἀκηκοότες τε Βρυζάκιον οὐ πόρρω στρατοπεδεύεσθαι, ὃν ἐπὶ διασκοπῇ ὁ Βαρὰμ ἀπεστέλλετο τῆς Ῥωμαϊκῆς ἐπιφοιτήσεως σὺν δυνάμει πολλῇ, χωροῦσιν ἐς αὐτόν, καὶ ἀθρόως περὶ πρώτην φυλακὴν τῆς νυκτὸς ἐπιστάντες, τοῦ πολέμου κρατήσαντες ἐζώγρησαν τὸν Βρυζάκιον, ὦτά τε καὶ ῥῖνα τῇ κοπίδι κατατεμόμε- D νοι ἐς βασιλέα Χοσρόην ἐξέπεμπον. ὁ δὲ Χοσρόης ἐπιδεξίου τῆς ἐπιβολῆς αὐτῷ γενομένης εἰς μέγα ἤρθη χαρᾶς· διεγνωκώς τε τὴν τῶν ἐναντίων διάνοιαν, παραθήγει τὸν τῆς Ῥωμαϊκῆς δυνάμεως ἔξαρχον μὴ διαχεῖν τὸν καιρὸν παρεχόμενον αὐτοῖς δυσμαχωτάτην ἐπίτευξιν. διά τοι τοῦτο διαπορθμεύονται τὸν ῥοῦν αἱ δυνάμεις, καὶ τῷ Διναβαδών, οὕτω καλουμένῳ χώρῳ, τάφρῳ περιστοιχίζονται. ἔνθα δὴ Χοσρόης Ῥωμαίων τε καὶ Μήδων τοὺς ἡγεμόνας εἱστία. ἤδη δὲ τοῦ δείπνου μεσοῦντος ὁ Βρυζάκιος δέσμιος ἐς μέσον παράγεται, ῥῖνα καὶ ὦτα ἀνάπηρος. ὅτε δὲ παιγνίων τοῖς δαιτυμόσι παρανάλωμα γέγονε, ἐπιδείπνιον ὁ βασιλεὺς θέαν τοῖς δαιταλεῦσιν ὥσπερ ἀξιόλογον χαριζόμενος, τοῖς ὑπασπισταῖς τοῖς περὶ αὐτὸν ἀσήμῳ προστάξας θεσπίσματι, τῷ σχήματι τῆς χειρός, θανάτῳ τοῦτον ἐκδίδωσιν· P 127 οὐ γὰρ εὐωχουμένοις θέμις τοῖς Πέρσαις διαλαλεῖν. οἱ μὲν οὖν

23. πράξας IP.

manarum ex Armenia copiarum itinere tantisper desistunt. Chosroes de suis mille ad fluvium traiiciendum hostiumque consilia indaganda deligit. transmittunt, ad Zabam flumen veniunt, Bryzacium, quem Varamus ad Romanorum adventum speculatum miserat, non procul tendere comperiunt. valida vi in eum vadunt, confertimque circa primam noctis vigiliam adorti certamine vincunt, vivum capiunt, auribus et naso amputatis ad Chosroen regem mittunt. qui de impressionis successu gaudio ingenti effertur; perspectoque quid hostes cogitarent, ducem Romanum hortatur ne difficillimam victoriam, quam in manibus habeant, elabi sinat. itaque fluvium transeunt, loco Dinobodum dicto castra vallo fossaque communiunt. illic Chosroes Romanorum Persarumque tribunos epulo excipit. quo procedente Bryzacius vinctus auribusque et naribus abscisis introducitur, in quem ut convivae satis illuserunt, rex iis quasi quoddam postcoenium et insigne spectaculum exhibens, obscuriore mandato (gestu manus) stipatoribus interficiendum praecipit: Persis enim convivantibus

ἐκκεντήσαντες τὸν Βρυζάκιον ἀνεῖλον, ὡς προσετάχθησαν. ἀναμεμιγμένου τοίνυν τοῦ δείπνου καὶ αἵμασιν, ἀκροτελεύτιον ἡδονὴν τοῖς ἐγκλίτοις ὁ Χοσρόης παρείχετο· μύροις γὰρ αὐτοὺς κατομβρίσας, ἀναδήσας τε στεφάνους τοῖς ἄνθεσιν, ἐπινίκιον πίνειν ἐκέλευεν. οἱ μὲν οὖν τότε ἱλαρυνθέντες ἐπὶ τῇ πανδαισίᾳ V 224 εἰς τὰς ἑαυτῶν σκηνὰς ἀπῄεσαν, ταῦτα δὴ διηγούμενοι ὅσαπερ αὐτοῖς ἑστιωμένοις ἀπήντησε, καὶ ἦν Βρυζάκιος τῶν τοῦ λόγου μελῶν τὸ ἐπίσημον.

6. Τῇ δὲ ἐσαύριον βασιλεὺς Χοσρόης τό τε συμμαχικὸν B τὸν Ζαβᾶν ποταμὸν διεπεραιώσατο. Μεβόδης δὲ ὁ Πέρσης ὁ ἐς τὸ Συγγάρων σταλεὶς τῇ Βαβυλωνίᾳ προσέβαλλεν, καὶ ἄγχιστα τῶν βασιλείων γενόμενος τῷ ἐφεστηκότι τοῦ βασιλικοῦ πρυτανείου ἐξέπεμπεν ἄγγελον, μεγάλην ἐπισιτισμοῦ παρασκευὴν αὐτὸν ἀπεργάσασθαι, χρημάτων τε ἐπιδόσεις ἱκανὰς καταθεῖναι, πλήθη πολλὰ συμμαχικῶν αὐτῷ συρρευσάντων δυνάμεων, εἶναί τε θάνατον τῆς ῥαθυμίας ζημίαν. ὁ μὲν οὖν τοῦ πρυτανείου C τὴν φροντίδα περιβαλλόμενος ἐπιδεικνύει τοῦ Μεβόδου τὰ γράμματα τῷ ἐπιστατεῖν τῶν βασιλικῶν θησαυρῶν ἐς τὰ βασίλεια ὑπὸ τοῦ Βαρὰμ καταλειφθέντι. ὁ δὲ καταπλαγεὶς τὴν ψυχήν, μεσούσης νυκτὸς τὸ περὶ αὐτὸν στρατιωτικὸν συναγείρας, εἰς τὴν Κτησιφῶντα χωρεῖ, καταλιπὼν τὴν Σελεύκειαν. λέγεται δὲ τὴν Σελεύκειαν τὸν ἐπίκλην Νικάνορα Σέλευκον μέσον τοῖν δυοῖν ποταμοῖν οἰκοδομήσασθαι, ὧν ὁ μὲν Τίγρις ἐπὶ τὴν Περσικὴν D θάλατταν ἔγχυτός ἐστιν ὅλῳ τῷ ῥεύματι, ὁ δὲ Εὐφράτης περὶ τουτονὶ τὸν χῶρον γινόμενος διατέμνεται τρίχα, τό τε οἰκεῖον

loqui nefas est. illi, ut iussi, Bryzacium confodiendo perimunt. ita coena etiam sanguine commista, summam accumbentibus iucunditatem Chosroes praebuit. unguentis namque perfusos et floribus coronatos, victoriam gratulantes iubebat bibere. qui tam lautis epulis hilarati in tabernacula sua digrediuntur, quae inter epulandum accidissent memorantes; eratque Bryzacius narrationis caput.

6. Luce altera Chosroes auxilia Zabam fluvium transducit. Mebodes Persa Singarum missus Babyloniam invadit, iuxtaque regiam consistens praefecto regalis prytanei per certum hominem mandat, uti sibi commeatum largiter ministret nec modicam insuper pecuniam numeret, cum magna ad se auxilia confluxerint: tarditatem morte luiturum. curator prytanei litteras Mebodis ei demonstrat, quem Varamus thesauris custodiendis in regia reliquerat. is perculsus animo nocte intempesta, coactis quos habebat militibus, dimissa Seleucia (quae et Babylonia) Ctesiphontem transfugit. fertur Seleuciam Seleucum cognomento Nicanorem aedificasse, inter duo flumina, quorum alterum Tigris in mare Persicum pleno alveo exoneratur, alterum Euphrates, qui in eam regio-

ὄνομα ἀποβάλλει καὶ διαφόροις προσηγορίαις ὀνομάζεται. τούτου ἡ μὲν μία ἀπόρροια διώρυξι μεγάλαις καὶ τάφροις κατακερματιζομένη πως ἀφανίζεται· τοῦτό τοι καὶ πάμφορον αὐτὴν ἐκείνην τὴν γῆν ἀπεργάζεται. ὁ δὲ ἕτερος ἀπορρὼξ εἰς τὴν Βαβυλωνίαν προχέεται, καὶ τὰ τῆς Ἀσσυρίας ἕλη περιλιμνάζει διαπειρόμενος. ἡ δὲ τρίτη διαρρεῖ τῆς Σελευκείας ἐχόμενα, καὶ εἰς τὸν Τίγριν εἰσβάλλει, καὶ δίδωσι τῷ πολίσματι δυσμαχωτάτην ἀσφάλειαν, ταῖς λαγόσι τῶν ὑδάτων ὥσπερ στεφάνῃ ἕρκους τινὸς τὸ ἄστυ κατοχυρώσασα. ἡμέρᾳ δὲ δευτέρᾳ, καὶ ὁ Μεβόδης ἄφρακτον ἀκηκοὼς τὴν Σελεύκειαν προσβάλλει ταύτῃ νυκτός, προστάξας τοῖς Ῥωμαίοις τῇ πατρίῳ φωνῇ ἀλαλάζειν τε καὶ δια-
P 128 λέγεσθαι, παίειν τε τῷ ξίφει εἰκῇ καὶ ὡς ἔτυχε τὸν ἐντυγχάνοντα. οἱ μὲν οὖν περὶ τὴν Σελεύκειαν καταπεπτωκότες τῷ φόβῳ ἀνανταγωνίστῳ εὐνοίᾳ τῷ Μεβόδῃ τὴν πόλιν παρέδοσαν. ἐντεῦθεν θορύβου ἐξαισίου ἐπιδημήσαντος ὡς καὶ τῇ Κτησιφῶντι μεταδοῦναι τῆς καταπλήξεως, λόγος εἰσήρρησε τοῖς τὴν γείτονα πόλιν οἰκοῦσι βαρβάροις ὡς Σελεύκεια ἥλω ὑπὸ πλήθυος Ῥωμαϊκῆς. πάντων τοίνυν ὑπὸ δέους εἰς ἓν ἐκκλησιασθέντων, ἐδογματίζετο
B αὐτοβοεὶ παραδώσειν Ῥωμαίοις. ὁ μὲν οὖν καὶ τὴν αὐτόθι ἀπολιπὼν καταφυγὴν εἰς τὴν πέλας Ἀντιόχειαν ἀφικνεῖται, ἣν Χοσρόης ὁ Καβάδου ὁπηνίκα τὴν Ἀντιόχειαν τὴν πρὸς τῇ Συρίᾳ ᾕρει ᾠκοδομήσατο, καὶ τὸν ἐκεῖσε λαὸν ἐν ταύτῃ που μετεφύτευσεν. ὁ δὲ Μεβόδης τὴν Κτησιφῶντα καταλαβὼν τῶν βασιλείων θησαυρῶν ἐτίθετο πρόιοιαν, τόν τε Χοσρόην, ὡς ἐνῆν, βασιλέα

nem delatus trifariam dividitur, amissoque proprio nomine diversis appellatur. huius brachium unum magnis fossis et scrobibus intercisum quodammodo evanescit; atque idem regionem illam omni genere fructuum fecundat. brachium alterum Babyloniam currit, et Assyriae paludes stagnis dispertitum alluit. tertium continentes Seleuciae campos influit, et Tigridi commiscetur, facitque urbem expugnatu difficillimam, aquarum suarum altitudine ceu septo quodam coronatam muniens. postridie Mebodes Seleuciam non custodiri animadvertens noctu irruit, iussis Romanis patria lingua clamores et voces laetabundas edere, et obvios quosque indiscriminatim gladio ferire. Seleucienses pavore consternati summa benevolentia urbem Mebodi dedunt. inde trepidatione ac tumultu immenso pervagante, quo et Ctesiphon urbs vicina barbarorum concussa est, sermo ibidem percrebuit Seleuciam a Romanis cohortibus occupatam esse. omnibus itaque prae timore in unum coeuntibus, urbem Romanis illico tradendam placuit. Mebodes eo discedere supersedens in fines Antiochiae venit, quam urbem Chosroes Cabadae filius capta Antiochia in Syria aedificavit, et ex illa in hanc coloniam deduxit. ac Ctesiphonte recepta thesaurorum regiorum curam gerebat, Chosroenque,

ἀνηγόρευέ τε καὶ διεκήρυττεν. ἡ δὲ Κτησιφῶν μέγιστα βασίλεια τῇ Περσίδι καθέστηκε. λέγεται δὲ Ἰουστινιανὸν τὸν αὐτοκράτορα C λίθον Ἑλληνικὴν Χοσρόῃ τῷ Καβάδου παρέχεσθαι, τούς τε περὶ τὴν οἰκοδομίαν δεινοὺς τέκτονάς τε ὀρόφων ἀγχίνους, καὶ βασίλεια δείμασθαι τῷ Χοσρόῃ τέχνῃ Ῥωμαϊκῇ, οὐ πόρρω τῆς Κτησιφῶντος τὴν ἵδρυσιν ἔχοντα. οἱ μὲν οὖν τὴν Βαβυλωνίαν κατοικοῦντες βάρβαροι τῆς μεταβολῆς ὀρεγόμενοι τὰ Χοσρόου φρονεῖν προετίμησαν· ὁ δὲ Μεβόδης ἐς Ἀντιόχειαν τὴν Περσῶν πυκτίον ἐξέπεμπε γραμμάτων Ῥωμαϊκῶν. ἡ δὲ δέλτος εἶχεν ἐπὶ λέξεως τάδε· καλὸν γὰρ οἶμαι καὶ αὐτῆς τῆς συνθήκης τῶν ῥημάτων τὴν ἔκθεσιν, ὡς ἔχει φύσεως, προσενέγκασθαι. (7) "Ῥωμαῖοι πιστοὶ ἐν Χριστῷ Ἰησοῦ τῷ κυρίῳ ἡμῶν τοῖς D V 225 τὴν Ἀντιόχειαν τῆς Περσίδος χαίρειν. οὔτε βασιλέως κελεύσεσι πειθόμενοι τὸν τοιοῦτον κάματον κατεδεξάμεθα· ἀλλ' ἵνα ἐν ταλαιπωρίᾳ γηράσαντας ὑμᾶς καὶ τῆς κοιλίας τῆς Περσίδος διασώσωμεν, ἤλθομεν εἰς ταύτην τὴν γῆν. ἵνα οὖν καὶ ὁ σκοπὸς ὁ ἡμέτερος πέρας ἀπολάβῃ καὶ ἡ ὑμετέρα ἀδελφὴ ἐπιθυμία εἰς χαρὰν καταντήσῃ, τοὺς προσφυγόντας εἰς Ἀντιόχειαν τὴν πόλιν τὴν αὐτόθι ἔκδοτε ἡμῖν, καὶ τοὺς φρουροῦντας τὰ Βαράμ. θέλομεν γὰρ ὑμᾶς ἐπίστασθαι ὅτι ἐὰν τούτου τοῦ κεφαλαίου παραμελήσητε, οὐκ ἔχετε τῷ ἀποτελέσματι εὐχαριστῆσαι." ταύτης γοῦν τῆς ἐπιστολῆς τοῖς τὴν Ἀντιόχειαν οἰκοῦσιν ἀποδοθείσης καὶ ἐς κοινὸν γενομένης γνωρίμου, εἰς ἓν ἦλθε τὸ πλῆθος τοῦ ἄστεος, καὶ τὸν ἄνδρα ξυλλαβόντες τοῖς παρὰ τοῦ Μεβόδου στα-

uti licebat, regem publice appellabat ac promulgabat. Ctesiphon porro sedes regum Persicorum maxima est. aiunt Iustinianum Augustum Chosroae Cabadae filio lapidem Graecum et peritos architectos ac fabros camerarum industrios sollertesque curavisse, et Romanorum in morem regiam illi non procul Ctesiphonte construxisse. ergo Babylonii, novarum rerum cupidi, a Chosroe stare maluerunt. Mebodes Antiochiam Persarum tabellam litteris Romanis conscriptam mittit, in qua ad verbum haec inerant. recte enim facturum opinor, si eum ipsum verborum contextum, ut per se habet, inseruero. (7) "Romani fideles in Christo Iesu domino nostro, civibus Antiochiae Persidis salutem. non ut imperatori praecipienti obediremus, hunc laborem suscepimus, sed ut vos in aerumna consenescentes a Persidis sentina liberaremus, in hanc regionem venimus. quare ut proposito nostro eventus respondeat et vos eadem cupientes gaudere possitis, in urbem vestram perfugas et fautores Varami nobis dedite. hoc si neglexeritis, scitote vos non habituros cur propter eventum gratias agatis." hac epistola Antiochensibus reddita publiceque recitata, populus concursu facto ducem et Varami studiosos comprehendit et a Mebode missis tradit. Mebodes ad unguem consiliis

λεῖσι παραδεδώκασιν, οὐ μὴν ἀλλὰ καὶ τοὺς ἡδονῇ τὰ Βαρὰμ ἀσμενίζοντας. ὁ δὲ Μεβόδης ἐξ ἐπιλέκτου τὰ τῶν ἀντιπάλων
P 129 ὑπὸ τῶν δημίων μεμαθηκώς, αἰκισάμενος τούτων τὸν ἔξαρχον τήν τε ῥῖνα καὶ τὰ ὦτα ἀποτομῇ λωβησάμενος ἐς τὸν Χοσρόην παρέπεμπε, τοὺς δὲ λοιποὺς ῥομφαίας παρέδωκε στόματι. ἕκτῃ δὲ ἡμέρᾳ, καὶ πολλοὺς τοῦ Ἰουδαϊκοῦ ἱκανῶς μετεσχηκότας τῶν ὑπὸ τοῦ Βαρὰμ νεωτερισθέντων τῷ ἀκινάκῃ διώλεσε, θάνατον ἐπιθεὶς ζημίαν αὐτοῖς. οὐκ ἀναξιόλογος γὰρ ἡ ὑπὸ τῶν Ἰουδαίων τῷ Βαρὰμ γεγονυῖα πρὸς τὴν τυραννίδα ῥοπή. πλῆθος γὰρ τοῦ τοιούτου ἔθνους πλούτῳ κατάκομον τὸ τηνικαῦτα καιροῦ τὴν Περσίδα κατῴκει. τῶν γὰρ Ἱεροσολύμων ὑπὸ Οὐεσπασια-
B νοῦ τοῦ αὐτοκράτορος ἁλόντων τοῦ τε ναοῦ ἐμπεπραμένου, ὀρρωδοῦντες πολλοὶ τῶν Ἰουδαίων τὴν Ῥωμαίων ἀλκὴν ἐκ τῆς Παλαιστίνης ὡς τοὺς Μήδους καὶ πρὸς τὴν ἀρχέγονον τιθήνην μεταναστεύουσιν, ἐξ ἧς ὁ προπάτωρ ἐτύγχανεν ὢν Ἀβραάμ. τὰ τιμιώτατα τοίνυν οὗτοι ἐμπορευσάμενοι, καὶ τὴν ἐρυθρὰν διαπεραιούμενοι θάλατταν, περιουσίας χρηματισθέντες μεγάλας περιεβάλλοντο. ἐντεῦθεν καὶ πρὸς τὰς στάσεις καὶ τὰς Βαβυλωνίας τῶν δήμων ἐκκαύσεις ἑτοιμότατα διωλίσθαινον· ἔστι γὰρ πονηρὸν τὸ ἔθνος καὶ ἀπιστότατον, φιλοθόρυβόν τε καὶ τύραν-
C νον, καὶ φιλίας ἥκιστα μνημονικόν, ζηλότυπόν τε καὶ ὑποβάσκανον, καὶ ἐς ἔχθραν ἀμετάδοτόν τε καὶ ἀδιάλλακτον. τούτους οὖν ὁ Μεβόδης καταπολεμήσας ποικίλοις ὀλέθροις ἀπέδοτο. ὅτε οὖν τῶν βασιλείων ἐκράτησεν, ἐκ τῶν τιμιωτέρων κόσμων

3. τὸν deest P.

adversariorum ex ipso eorum duce per carnifices, quibus eum flagellandum subiecerat, exquisitis, naso et auribus praecisis deformatum ad Chosroen mittit, reliquos gladiis mactandos obiectat. die sexto multos item Iudaeos, novarum Varami molitionum magnopere participes, morte poenas reposcens ferro necat. nam quod Iudaei Varamo ad tyrannidem invadendam adiumentum praestabant, non erat contemnendum, cum ea gens per id tempus Persidem incolens divitiis afflueret, occupatis siquidem a Vespasiano imperatore Hierosolymis et templo concremato, plurimi de Iudaeis Romanorum potentiam metuentes, e Palaestina ad Medos Persasve transmigrantes ad primaevam nutricem suam solo mutato redierunt, ex qua antiquissimus eorum parens Abrahamus originem duxit. pretiosissima igitur quaeque secum auferentes, enavigato mari Erythraeo et magnis opibus acquisitis, inde etiam ad seditiones faciendas et Persicos populos novitatis amore incendendos facillime dilapsi sunt. est enim natio perversa, fidem minime colens, tumultus cupida, et tyrannica, amicitiae prorsus immemor, zelotypa et invida, et ob odium nihil condonans, et irreconciliabilis. hos igitur subactos Mebodes variis sup-

ἀναλεξάμενος τὰ κυριώτατα ἐς Χοσρόην ἐξέπεμπεν. οἱ μὲν οὖν ἀμφὶ τὸν Χοσρόην Ῥωμαῖοί τε καὶ Πέρσαι ἐν Ἀλεξανδριανοῖς, οὕτω καλουμένῳ χωρίῳ, τέσσαρσιν ἡμέραις ἀφίκοντο. τὴν δὲ προσηγορίαν ὁ χῶρος ἀπὸ τῶν πράξεων τοῦ Μακεδόνος Ἀλεξάνδρου κατεκληρώσατο· ὁ τοῦ Φιλίππου γὰρ ἐκεῖσε γενόμενος ἅμα τῇ Μακεδονικῇ δυνάμει τῇ τε Ἑλληνικῇ ξυμμαχίᾳ ἐρυμνότατον κατεσκάψατο φρούριον, τούς τε ἐν αὐτῷ βαρβάρους διώλεσεν. (8) ἐκεῖθεν τοίνυν μεταφοιτήσαντες δευτέρᾳ ἡμέρᾳ Ῥωμαῖοί τε D V 226 καὶ Πέρσαι προσβάλλουσι κλίματι Χναιθᾶς λεγομένῳ. τῇ δὲ ὑστεραίᾳ ἐπὶ πρώτην ἕω Ἰωάννης ὁ τῶν ἑῴων ταγμάτων ἡγούμενος Κομεντίολον ταγματάρχην τοῦ δεξιοῦ κέρατος τοῦ μαχίμου σὺν ἱππεῦσι χιλίοις προκαταληψόμενον ἐξέπεμπε τὴν διάβασιν τοῦ Ζαβᾶ ποταμοῦ. τούτου δὴ γεγονότος καὶ οἱ ἐπὶ κατασκοπῇ ὑπὸ τοῦ Βαρὰμ ἀποσταλέντες τὸ πραχθὲν διαγνόντες ἐπανῆκον εἰς τὸν Βαράμ, ταῦτα δήπου αὐτῷ διαγγέλλοντες. ἀτὰρ ὁ Βαρὰμ τὴν μετ' ἐκείνην γέφυραν προκατασχεῖν ἐνεχείρει. ὑπέ- P 130 τρεφε δὲ τὰς ἐλπίδας τῷ θάρσει ὡς δὴ τῆς περὶ τὴν Ἀρμενίαν Ῥωμαϊκῆς στρατοπεδεύσεως διὰ τὴν δυσχωρίαν τῶν τόπων οὐχ οἵας τε οὔσης συνάπτεσθαι ταῖς ἑῴαις τῶν Ῥωμαίων δυνάμεσι. τετάρτῃ δὲ ἡμέρᾳ, καὶ ὁ Ναρσῆς ἄνδρας ἑλὼν ἐπὶ κατασκοπῇ ὑπὸ τοῦ Βαρὰμ ἐκπεμφθέντας, καὶ μάστιξιν ὡς ἐνῆν ἀνετάσας, διέγνω ὅπως ἔχει τὸ πολέμιον γνώμης. καὶ δῆτα ἀποχρῶσαν παρέχεται δύναμιν Ῥουφίνῳ τῷ συστρατήγῳ, εἶτα προστάττει τὰς ἑτέρας οἰκειώσασθαι διαβάσεις. τῇ δὲ ἐπιούσῃ νυκτὸς ἐπιγενομένης πρώτῃ παραφυλακῇ ἀπάρας ὁ στρατηγὸς γίνεται τῶν

pliciis consumpsit, potitusque regia ex ornamentis sumptuosioribus praecipua delegit, quae Chosroae transmisit. itaque Chosroen sequentes Romani atque Persae Alexandriana (loci nomen est) quatriduo pervenerunt, quod ei nominis Alexandri Macedonis Philippi filii factum indidit, qui illic cum Macedonicis copiis et auxiliis Graecis castellum firmissimum evertit et incolas barbaros peremit. (8) inde transgressi die altero in regionem Chnaethas nuncupatam feruntur. postridie sub primam lucem Ioannes Orientalium legionum dux Comentiolum dextri cornu praefectum cum mille equitibus ad antecapiendum Zabae fluminis transitum mittit. quod ubi speculatores a Varamo missi conspexerunt, istunc nuntium ad eum perferunt. qui die sequenti pontem infra praeoccupare contendit. spem illi audacia ex eo suggerebat, quod Romanorum exercitus in Armenia propter viarum difficultatem cum Orientalibus eorundem copiis sese coniungere nondum poterat. luce quarta Narses Varami speculatoribus captis, et flagris qua licuit examinatis, quid hostes meditarentur cognovit. itaque sufficienti manu Rufino collegae commissa transitus reliquos servare iubet. postridie prima vigilia noctis movens

B διαβάσεων κάτοχος, καὶ εἰσβάλλει εἰς τὴν τῶν Ἀνισηνῶν χώραν ἐξαπιναίως. ἡλίου δὲ μεσοῦντος οἱ τοῦ Βαρὰμ ταῦτα δὴ θεασάμενοι τῷ τυράννῳ ἐξεῖπον. ὁ δὲ διαμαρτὼν τοῦ σκοποῦ, πρὸς βορρᾶν τε καὶ ἕω τὰς δυνάμεις διέσχιζεν, ὅπως ὑποτέμῃ τὴν σύμμιξιν τῆς προσδοκῆς τῆς τῶν Ῥωμαίων ἀπὸ τῆς Ἀρμενίας δυνάμεως. ἤδη δὲ τοῦ Βαρὰμ συντονίᾳ τινὶ τὴν ὁδὸν διανύοντος καὶ εἴς τινα παρακειμένην λίμνην ἀφικομένου, συνέβη τοὺς ἀπὸ τῆς Ἀρμενίας ἄγχιστα παραγενέσθαι. ἐπεὶ δὲ προεῖδον οἱ τῶν Ῥωμαίων σκοποὶ τὸν Βαράμου στρατόν, Ἰωάννῃ τῷ στρατηγῷ ἀπήγγελλον ἱππέων Περσικὰ στίφη ἰέναι πως κατ' αὐτῶν.
C ὁ μὲν οὖν Ἰωάννης πρὸς ἔκταξιν τὰς δυνάμεις ἐκόσμησεν, ὁ δὲ Βινδόης τὴν Περσικὴν ἀνελάμβανε φάλαγγα· τῆς δὲ Ῥωμαϊκῆς συντάξεως ὁ στρατηγὸς Ἰωάννης ἡγεῖτο. ποταμοῦ δὲ διελομένου τόν τε Βαρὰμ καὶ τὰς περὶ τὸν Ἰωάννην δυνάμεις Ῥωμαίων τε καὶ Περσῶν, τὰ τῆς συμπλοκῆς αὐτοῖς ἀνεκόπτετο. δευτέρᾳ δὲ ἡμέρα, καὶ πρὸς νότον ἐκκλίνει ἅμα τῷ Βινδόῃ τὰ Ῥωμαίων στρατεύματα. ὁ μὲν οὖν Ναρσῆς καὶ Χοσρόης ἐκ τῆς Ἀνισηνῶν χώρας ἀπάραντες εἰς τὸ πρόσω ἐχώρουν, καὶ γίνονται πλησίον κώμης τινὸς ἣν Σιραγανῶν οἱ ἐγχώριοι κατονομάζουσι. πέμπτῃ δὲ ἡμέρα, καὶ ὁ Ναρσῆς τὰς ἐπιθέτους δυνάμεις τὰς ἀπὸ τῆς Ἀρμενίας Ῥωμαϊκὰς πλησιάζειν ἐγίνωσκε. διά τοι τοῦτο ἐπιστολεῖς πρὸς Ἰωάννην ἐξέπεμπε, καὶ παρεγγυᾷ τῷ στρατηγῷ ὡς οὐ δεῖ Πέρσαις συμπλέκεσθαι, πρὶν ἂν ἐς κοινὸν ἑκάτεραι δυνάμεις συναπτόμεναι τὴν ἀλκὴν ἀνανταγώνιστον σχοίησαν.

2. nonne μεσουρανοῦντος?

dux Narses, transituumque potens, in Anisenorum agrum nec opinato impressionem facit. ad meridiem Varamaei visa tyranno exponunt. qui frustra copias versus septentrionem et orientem dispertitur, quo exspectati Romanorum ex Armenia exercitus coniunctionem impediret. cumque itineri continenter instaret et ad lacum quendam deveniret, factum est ut qui ex Armenia veniebant, quam proxime accederent. Romanorum exploratores ut Varami copias praeviderunt, Ioannem ducem monent Persicorum equitum turmam ex adverso tendere. Ioannes ad conflictum militem instruit. Bindoes phalangem Persicam accipit: Romanos ordines Ioannes ducit. sed cum lacus in medio utrumque agmen divideret, ad manus conserendas veniri non potuit. luce proxime sequenti, duce Bindoe Romani ad meridiem declinant, Narses et Chosroes a regione Anisenorum ulterius progressi vicum quendam incolis Saraganum nominatum attingunt. die quinta etiam Narses addititias ex Armenia copias appropinquare cognoscit. quocirca ad Ioannem missis tabellariis hortatur ne certamen cum Persis ante misceat, quam utraeque copiae

(9) κατὰ τοῦτον δῆτα τὸν χῶρον αὐλιζομένῳ Χοσρόῃ οἱ παρὰ D V 227 τοῦ Μεβόδου σταλέντες ἧκον παρὰ τὸν βασιλέα, αἰσίων ἀφηγημάτων ἔχοντες διαγόρευσιν. ὁ μὲν οὖν τὰ ἐπὶ τῆς Βαβυλωνίας πραχθέντα διαγνοὺς τῷ Μεβόδῃ, τήν τε σκευὴν τὴν βασίλειον P 131 τὴν ἀπὸ τῆς Κτησιφῶντος δεδεγμένος σταλεῖσαν αὐτῷ, ἐπὶ τοῖς κατωρθωμένοις ἀναβρυνόμενος μεθ' ἱλαρίας Ναρσῇ τε καὶ ταῖς Ῥωμαίων δυνάμεσιν ἐστηλίτευε τὴν ἐπίτευξιν. ἡμέρα δὲ πέμπτη, καὶ τρισὶ τὸ Ῥωμαϊκὸν χρησάμενον χάραξιν τοῖς περὶ τὸν Ἰωάννην κοινοῦται συντάγμασιν. αἱ μὲν οὖν δυνάμεις ἐς κοινὸν συνελθοῦσαι μεγίστην τινὰ εὐρωστίαν ἀμοιβαίως σφίσιν αὐταῖς ἐδίδοσάν τε καὶ ἀντελάμβανον. λέγεται δὲ τὸν μὲν Χοσρόην ἅμα τῷ συμμαχικῷ τῶν ἑξήκοντα περαιτέρω ἐπιφέρεσθαι χιλιάδας μαχίμων, τὸν δὲ Βαρὰμ τεσσαράκοντα χιλιάσιν ὁπλιτικοῦ κατατείνειν τὸν πόλεμον. καὶ δὴ ὁ Βαρὰμ κλέψαι διενοεῖτο τὸν πόλεμον, B ἐνάλλεσθαί τε νυκτὸς κατὰ τῆς τῶν Ῥωμαίων δυνάμεως. τῆς τοίνυν δυσφορίας τῶν τόπων κωλύμην τῇ ἐπιβουλῇ παρασχομένης, ἡλίου ἀνίσχοντος κατάδηλος Ῥωμαίοις ἐγίγνετο ὅ τε δόλος ἐς τὸ φανερὸν ὑπεξήγετο. τρίτῃ δὲ ἕῳ, καὶ οἱ μὲν ἀμφὶ τὸν Βαρὰμ πολεμησείοντες μετὰ βοῆς τε καὶ θορύβου ἐπῄεσαν, τὸ δὲ Ῥωμαϊκὸν ἡσυχίας εὐκοσμίᾳ καὶ τοῦ θρύλλου ἀμέτοχον διεθύνετο πρὸς παράταξιν. τῷ δὲ Βινδόῃ καὶ Σαράμῃ τοῖς στρατηγοῖς ὁ Ναρσῆς ἐχαλέπαινεν οὐχ οἵοις τε οὖσι τὰς περὶ αὐτοὺς δυνάμεις τῶν βαρβάρων κατευνάζειν πρὸς τὸ τῆς ἠρεμίας ἀθόλωτον. τοίνυν μετεδίδοσαν καὶ τῆς ἑαυτῶν εὐκοσμίας ταῖς συμμαχούσαις C τῶν βαρβάρων οἱ Ῥωμαῖοι δυνάμεσι, καὶ πείθουσι διακοσμῆσαι

16. immo δυσπορίας. 18. τρίτῃ δὲ ἕως usitatius.

consociatae robur inexpugnabile adipiscantur. (9) hoc in loco regi commoranti faustarum rerum nuntii a Mebode afferuntur. qui cognitis Babyloniae transactis, susceptoque apparatu regio a Ctesiphonte transmisso, bene gestis glorians, Narsi et Romanis militibus, quemadmodum sibi vota feliciter processerint, edisserit. quinta porro die Romani tribus dispertiti castris Ioannis agmini aggregantur, et iam in unum redacti exercitum animos dant et accipiunt invicem maximos. fama est Chosroen cum auxiliariis amplius sexaginta millia duxisse, Varamum quadraginta millia. caeterum Varamus dolo bellico per noctem Romanos cogitabat opprimere: sed locorum difficultate impeditum sol ortus cum insidiis prodidit, et fraus in aperto fuit. tertio die Varamaei praeliabundi cum clamore ac strepitu procedunt: Romani qua par erat quiete, et absque strepitu, ad praelium accinguntur. succensebat autem Bindoi et Saramae ducibus Narses, quod barbarorum, quas regebant, copias compescere et ad placidam quietem adigere non possent. quare de sua modestia cum sociis barbaris Romani communicant, et ut ordine in aciem

τάξει τὴν ἔκταξιν τῆς τε ἀλόγου ἀποσχέσθαι κλαγγῆς. τριττοῖς τοιγαροῦν τὸ Ῥωμαϊκὸν στίφεσι συνετέτακτο, καὶ τὸ μὲν μέσον ὁ Χοσρόης ὅ τε Ναρσῆς περιεβάλλοντο κέρας, τὸ δεξιὸν δὲ Μεβόδης καὶ Σαράμης οἱ Πέρσαι, τῆς Μηδικῆς ἐξηγούμενοι φάλαγγος, τὸ δὲ ἕτερον Ἰωάννης ὁ στρατηγός, τῆς τῶν Ἀρμενιῶν πλήθυος ἐπιστατῶν. οὕτω δήπου καὶ τὸ ἀντίπαλον ἀντετέτακτο, καὶ τρισὶ συντάγμασι ταύτῃ διεκόσμησε. τὸ μὲν οὖν Ῥωμαϊκὸν σφαδάζον τῇ γνώμῃ ἀκατάσχετον ἦν ταῖς ὁρμαῖς, τὸ δὲ ἀντίπα-
D λον τῷ σθένει καὶ τῷ πλήθει καὶ τῇ τάξει τῶν Ῥωμαίων καταπληττόμενον ἐπ' ὄρους ἀνάβασιν ἀνετέτραπτο. διά τοι τοῦτο πεντακόσιοι τῆς περὶ τὸν Βαρὰμ συμμορίας τὰ ὅπλα καταθέντες προσχωροῦσι Ῥωμαίοις. ὁ μὲν οὖν Χοσρόης ἄκων πεφυκὼς τῷ ἐγχειρήματι πρὸς τὸ ἄναντες παροτρύνει Ῥωμαίους χωρεῖν. Ῥωμαῖοι δὲ τοῦτο τοῖς τῆς ἀβουλίας κόλποις ἐναποθέμενοι, ὡς εἶχον συνέσεως, τῆς τακτικῆς ἁρμονίας ἔξω που μὴ διαθέοντες, δι' ἑτέρων ἀνεβάλλοντο πρὸς τὰ ὑψηλὰ τοῦ ὄρους χωρεῖν. οἱ δὲ βάρβαροι καταναγκασθέντες ὑπὸ τοῦ σφῶν αὐτῶν βασιλέως τῶν ἀλόγων κινδύνων ἐφήπτοντο, καὶ τοῦ ὄρους ἐπιβαίνειν θαρρήσαντες ὑπὸ τῶν ἀντιπάλων καρτερῶς ἐξωθοῦντο. καὶ ἦν ἂν θάνατος μεγίστη ζημία τῷ ἐγχειρήματι, εἰ μὴ Ῥωμαῖοι τῆς διώξεως τοὺς βαρβάρους ἀπέπαυσαν, ἀντιμέτωπον αὐτοῖς ἐκταξάμενοι. ἡλίου δὲ δὴ πρὸς δυσμὰς κεκλικότος ὁ μὲν Βαράμης ἅμα τῇ συμμάχῳ δυνάμει ὡς τὸν χάρακα ἐπανέρχεται, ἐπὶ τοῖς οὕτω πραχθεῖσι ψυχαγωγούμενος, τὸ δὲ Ῥωμαϊκὸν ἐπὶ τὴν τάφρον γενόμενον τῆς ἀβουλίας κατηγόρει Χοσρόου.

digerantur absurdisque clamoribus temperent, persuadent. Romani itaque tripartito disponuntur. ac medium quidem Chosroes et Narses obtinent, dextrum Mebodes et Sarames Persae, qui Persicae phalangi praeerant, sinistrum Ioannes, Armeniae multitudini praepositus. ad eundem modum hostium agmen, triplici videlicet acie compositum est. Romani ira frementes cohibere impetum non poterant: at vero hostes viribus numero et ordine Romanorum obstupefacti in montem confugiunt. qua de causa quingenti de Varamaeis arma deponentes ad Romanorum partes transeunt. Chosroes facto stomachatus Romanos in arduum contendere hortatur. qui ut erant intelligentes, inconsultum id esse rati militari ordine conservato differebant, dum alii sublimia montis ascenderent. tum barbari (Persae) a suo ipsorum rege compulsi periculum rationis expers aggrediuntur, montemque ascendere ausi ab adversariis valide repelluntur; fuissetque ausui pretium maximum interitus, ni Romani a fronte oppositi barbaros insecutione prohibuissent. sub occasum solis Varamus re ita gesta delectatus cum suis in castra redit. Romani item intra vallum reversi Chosroen temeritatis accusant.

10. Ἐπεὶ δὲ ὁ Βαρὰμ διεγνώκει τὸ Ῥωμαϊκὸν ἔχον λίαν P 132 ὀξυπαθῶς ἐπὶ τοῖς ἔναγχος ὑπὸ Χοσρόου παρεστρατηγημένοις V 228 αὐτοῖς, τῆς τε συμπλοκῆς ἐφιέμενον ἀκρότατα, ὄρθριος γενόμενος λύει τὸν χάρακα, καὶ ἐκκλίνει πρὸς τὰ δύσχωρά τε καὶ ἀνάντη καὶ ἄφιππα. γίνονται γοῦν μετὰ τοῦτο ἐς τὸ πλησίον πεδίον καθήμενον, ἔνθα καὶ τὸ Κάνζακον καθίδρυται πόλισμα. μεταστρατοπεδευσάμενος δὲ καὶ ὁ Βαρὰμ ἐντεῦθεν ἐφ' ἕτερα τὰς δυνάμεις μετέβαλλεν, ἐκλύτους ἐντεῦθεν τῶν Ῥωμαίων τὰς ὁρμὰς τεκταινόμενος. οἱ δὲ Ῥωμαῖοι τὴν μεταχώρησιν τοῦ Βαρὰμ B ἐγνωκότες συντόνῳ πορείᾳ ἄγχιστά που τῶν πολεμίων στρατοπεδεύονται. εἶτα προσβάλλουσι ποταμῷ τῷ Βαλαράθῳ, ἔνθα τὴν νύκτα ἐναυλισάμενοι ἡμέρας ἀφικομένης πεδίῳ εὐρεῖ προσωμίλησαν. οἱ μὲν οὖν στρατηγοὶ τῶν Ῥωμαίων διακεκοσμηκότες τὰ μάχιμα, πολλῶν καὶ ἀγαθῶν εἰσηγήσεων τὸ ὁπλιτικὸν ἐμφορήσαντες, τῇ τριπλῇ φάλαγγι τὸν πόλεμον διεσκεύασαν. σύμβολον C δὲ οἱ Ῥωμαῖοι καὶ τοῖς συμμαχοῦσι βαρβάροις παρείχοντο τὴν τῆς θεομήτορος καὶ παρθένου προσηγορίαν διδάξαντες, ἵνα μὴ τῷ διακεκριμένῳ τοῦ γένους ὡς ἀντίπαλον τὸ συμμαχικὸν διαφθαρῶσι, τοῦ συγκεχυμένου τῆς συμπλοκῆς ἀδιάρθρωτον αὐτοῖς τῶν οἰκειοτάτων παρεχομένου τὴν δήλωσιν. καὶ παράδοξόν τι χρῆμα συνέβαινεν· ἐγίνετο γὰρ καὶ Χαλδαίοις τὸ τῆς Μαρίας σωτήριον ὄνομα. κατεκόσμει μὲν καὶ ὁ Βαρὰμ τρισὶ λόχοις τὴν οἰκείαν ἀλκήν, καὶ τὸ μὲν μεσαίτατον τῆς ἐκτάξεως ἐπεῖχεν ὁ τύραννος, οἱ δὲ ἡγεμόνες τοῦ συμμαχικοῦ τὴν ἐφ' ἑκά-

6. an καθειμένον? 19. διαφθείρωσι aptius. 23. λόγοις IP.

10. Varamus ubi rescivit Romanis nimiopere dolere, quae paulo ante Chosroes ut collega summi ducis egisset, et pugnam eos ardenter expetere, primo diluculo solutis castris ad invia et acclivia et ad equitandum haud idonea loca declinat. posthaec in campum prope iacentem, ubi Canzacum oppidum situm est, procedunt. castris motis Varamus etiam alio exercitum, ea ratione Romanorum impetus languefaciens, traducit. qui eius secessione cognita, continenti itinere insecuti, quam proxime hostes castra ponunt. deinde ad fluvium Balarathum movent, ubi exacta nocte luce altera patentem campum ingrediuntur. illic duces Romani acie trifariam ad praelium conserendum instructa, multis et praeclaris hortatibus militum animos exsuscitant. pro symbolo autem Romani socios etiam barbaros salutationem dei matris ac virginis docent (*ave Maria*), ne propter generis discretionem socios pro hostibus caederent, quandoquidem pugna confusa maxime proprios distincte internoscere nequirent. contigitque admirabile quippiam: nam et Persis Mariae nomen salutare fuit. Varamus perinde suos digerit. medium ipse regit, a dextris et sinistris reliqui duces curant. elephantos insuper,

D τερα δύναμιν. καὶ μὴν καὶ ἐλέφασι τοῖς Ἰνδικοῖς θηρίοις καθάπερ προβόλους τινὰς τῶν ἱππέων ἡγεῖσθαι κατέταττεν, τούς τε ἀνδρειοτέρους τῆς συμμάχου δυνάμεως ἐπὶ τῶν θηρίων ἀναβιβάσας παρεσκεύαζε μάχεσθαι. οὐκ ἠμοίρει δὲ καὶ τὸ ἑκάτερον τούτων δὴ τῶν συμμάχων θηρίων. ὁ μὲν οὖν Χοσρόης πεντακοσίοις ἐς φρουρὰν ἀνδράσι περιφραξάμενος περιεπόλει τὰς τάξεις. ἀλλ' ὁπότε ἔβλεψάν τε καὶ ἀντεβλέφθησαν ἑκάτεραι δυνάμεις ἀλλήλας, τά τε σημεῖα μετεωρίζετο ἠρέμα τε ὑπὸ τοῦ πνεύματος ἐκρατύνετο, αἵ τε σάλπιγγες περιεδόνουν καὶ τὴν συμπλοκὴν ἐξεβάκχευον, ταῦτα δὴ περιβομβοῦσαι τὰ τοῦ πολέμου μυστήρια, ἐκαινοτομεῖτο λοιπὸν τὸ μεταίχμιον καὶ τῶν οἰκείων ὅρων ἐχήρευεν. ἀγχιμάχου τοίνυν συμπλοκῆς γενομένης, ὁ Βαρὰμ τὸ μεσαίτατον τῆς περὶ αὐτὸν καταλιμπάνει δυνάμεως, καὶ πρὸς τὸ εὐώνυμον μετεχώρησεν. πλείστης τοίνυν μεταδοὺς τῆς ἀλκῆς τοῖς ἀναδεδειγμένοις αὐτὸν εἰκότως τὴν ἀντιμέτωπον κεραΐζε-
P 133 ται φάλαγγα, τῇ συντάξει τοῦ πλήθους ἐξαπιναίως ἐγκείμενος. οἱ μὲν οὖν Ῥωμαῖοι κατὰ τοῦτο τὸ κλίτος διαιρεθέντες ἐτράποντο πρὸς φυγήν, φέρειν οὐκ ἔχοντες τὴν ἀντιβρίθουσαν δύναμιν. καὶ οὖν ὁ Ναρσῆς τοῦτο δὴ θεασάμενος, ἠρέμα πλῆθος συρρεῖν τοῖς ἀδυνατοῦσιν ἐγκελευσάμενος, ἔστησε τῆς φυγῆς τὴν κατασθενοῦσαν δύναμιν. ὁ μὲν οὖν Βαρὰμ κατὰ τῆς μέσης τῶν Ῥωμαίων χωρήσας ἀλκῆς ἐπειρᾶτο τρέψαι τὸν Ναρσῆν εἰς ἀπόδρασιν. ὁ τοίνυν Ναρσῆς οὐδὲν μέλον αὐτῷ περὶ τῶν ἐλεφάντων καρτερῶς τῷ Βαρὰμ ἀντετίθετο, καὶ ἐπιπίπτει τῇ μέσῃ καὶ ἀντιθέτῳ δυνάμει, καὶ συντεταγμένους τοὺς Μήδους παραλύει

belluas Indicas, veluti praesidiarios quosdam ac propugnatores, ante equitatum constituit, et in iis omnium de exercitu fortissimos ad dimicandum collocat. nec vero pars adversaria huiuscemodi bestiarum auxilio carebat. Chosroes quingentis cinctus custodibus ordines circuibat. ut vero ambae acies mutuum conspexerunt et conspectae sunt, sensim spiritus roborantur, signa extolluntur, tubae circumsonant cantuque furorem Martium indunt et undique belli sacra circumstrepunt; spatium inter acies confunditur, suosque terminos amittit. cominus igitur conflictu perpetrato, Varamus relicto medio ad laevum cornu transit, quo maximarum accessione virium restituto, merito oppositam phalangem hostium ordinata multitudine subita impressione disturbat ac disiicit. Romani cornu dextro dissipato cum vim instantem prementemque sustinere non valerent, fuga salutem petunt. quo animadverso, Narses pluribus paulatim summissis infirmam ac debilitatam partem exercitus a fuga retinuit. Varamus in medium Romanorum robur sese inferens, Narsem vi fugare nitebatur. Narses elephantos parvipendens acriter obnititur, et in medios vicissim ruens nimium quantum Persarum eodem simul inclinantium

γέ πως αὐτοὺς λίαν κομιδῇ τῆς συννεύσεως. τούτου δὴ γεγονότος B αἱ λοιπαὶ τοῦ Βαρὰμ δυνάμεις ἐσφάλησαν, καὶ ῥώμῃ κεκρατηκὼς ὁ Ναρσῆς τοὺς μὲν ἱππέας τῶν ἱπποχούντων ἀπέβαλλεν, τοὺς δὲ πεζοὺς τῷ δόρατι κατεβάλλετο. τῆς τοίνυν διώξεως κραταιᾶς γενομένης καὶ τοῦ φόνου τεθηλότος ἀνὰ τὸν χῶρον, 'ἓξ Βαβυλωνίων ἀποδράσασαι χιλιάδες,' ἐπί τινα λόφον γενόμεναι, τῆς σωτηρίας ὠρέγοντο. τὸ δὲ Ῥωμαϊκὸν περιστοιχίσαν V 229 τὸν λόφον τῆς δραπετίδος κρατοῦσι δυνάμεως. πολλοὺς τοίνυν ζωγρήσαντες ἦγον ἐς Χοσρόην δεσμίους. ὁ μὲν οὖν τῶν C Περσῶν βασιλεὺς τοὺς μὲν μαχαίρας ἀπέδοτο στόματι, ἐνίους δὲ τοῖς ποσὶ τῶν θηρίων παρείχετο παίγνιον. ἐπεὶ δὲ διεγνώκει εἶναί τινας τῶν ἑαλωκότων ἐκ τοῦ ἔθνους τῶν Τούρκων, ἐς βασιλέα ἐκπέμπει Μαυρίκιον, τὴν Ῥωμαϊκὴν στηλιτεύων ἀλκήν, ἀπαρχάς τε τῆς νίκης προσφέρων τῷ αὐτοκράτορι. ἐκεχάρακτο δὲ τοῖς μετώποις ἐκείνων τὸ τοῦ κυριακοῦ ἐπίσημον· σταυρὸς δὲ τοῦτο τοῖς πρεσβεύουσι τὴν τῶν Χριστιανῶν θρησκείαν κατονομάζεται. ἐπύθετο γοῦν ὁ αὐτοκράτωρ τί ἂν εἴη τοῦτο τοῖς βαρβάροις τὸ σήμαντρον. οἱ μὲν οὖν ἐκ τῶν μητέρων τοῦτο ἀποκληρώσασθαι ἔφασκον· λοιμοῦ γὰρ τοῖς πρὸς τῇ ἕω Σκύθαις καρτεροῦ ἐνδημήσαντός τινας τῶν Χριστιανῶν εἰσηγήσασθαι τούτῳ δῆτα τῷ τύπῳ τῶν μειρακίων ἐγκεντῆσαι τὰ μέτωπα. τῶν δὲ βαρβάρων μηδαμῶς τὴν εἰσήγησιν παρωσαμένων, σωτηρίαν ἐκ τῆς συμβουλίας ἀντελάμβανον. (11) τὸ δὲ Ῥωμαϊκὸν (πρὸς D γὰρ τὴν νύσσαν τὸν λόγον ἀντεπενέγκοιμι) λαφυραγωγεῖ τοῦ τυ-

10. δὲ deest IP.

ordinem coniunctionemque dirimit. quo facto reliquum copiarum Varami labefactatum est, et Narses manu superior ab equis deiiciebat equites, et hastis pedites prosternebat. Romanis itaque vehementer incumbentibus, et ingenti per campum strage edita, sex millia Babyloniorum in collem quendam fuga elabentes saluti consulunt. Romani colle circumdato fugitivis potiuntur, et complures ad Chosroen vinctos adducunt, qui eorum partim ensibus mactandos, partim elephantorum pedibus per ludibrium conculcandos exponit. at ubi quosdam de captis Turcas esse cognovit, eos ad Mauricium missos tanquam victoriae primitias offert, Romanamque virtutem commendat. horum frontibus dominicum signum, quod Christianae religionis cultores crucem appellant, impressum ostentabatur. itaque imperator barbaros percunctari quid hac nota sibi vellent. illi se a matribus eam sortitos referre: nam cum Scythas Orientales dira ac pestifera lues corripuisset, quosdam Christianos suasisse uti in puerorum frontes huiuscemodi figuram imprimerent. quae monita quia barbari nequaquam sprevissent, ex eo sospitatos esse. (11) Romani porro (ad carceres enim orationem revocabo) tabernaculum tyranni di-

ράννου τὰ σκηνοπήγια, γυναῖκά τε καὶ παῖδας τόν τε κόσμον τὸν χρύσεον τήν τε βασίλειον παρασκευήν. τὰ μὲν οὖν τιμιώτερα τῷ Χοσρόῃ παρείχοντο, ὁ δὲ ἐπὶ τοῖς σκύλοις μεγαλοφρονῶν P 134 *πρὸς τὸ σοβαρώτατον προσεχώρησε. ἡλίου δὲ κλίναντος ὁρῶσι Ῥωμαῖοι τοὺς ἐπὶ τῶν ἐλεφάντων ἱδρυμένους βαρβάρους ἀκροβολιζομένους καὶ τῷ τόξῳ χρωμένους. καὶ διὰ τοῦτο τούτους περιστοιχίσαντες δευτέρας μάχης κρατοῦσι, τά τε θηρία ζωγρήσαντες τῷ Χοσρόῃ παρείχοντο. τοῦ πολέμου τοίνυν τοιοῦτό τι πέρας ἐπενεγκαμένου, ἐς τὸν ἑαυτῶν χάρακα Ῥωμαῖοι ἐπανέζευξαν, ἤδη που τῆς νυκτὸς ἀνισχούσης αὐτοῖς. τῇ δὲ ὑστεραίᾳ ἐξ ἑωθινοῦ ἡ Ῥωμαϊκὴ πληθὺς συναθροίζεται, καὶ τῶν τεθνηκότων* B *σκυλεύει τὰ σώματα. μεγάλων τοίνυν αὐτοῖς γεγονότων κτημάτων, εἰς τὴν βασίλειον τοῦ Χοσρόου ..ωροῦσι σκηνήν. ὁ δὲ τοῦ Ῥωμαϊκοῦ στρατοῦ κατ' ἴχνους τοῦ Βαράμου χιλιάδας ἐπεστράτευσαν δέκα, κεχειροτονηκότες ταξιάρχας αὐτοῖς τὸν τῶν Χαλκιδέων ταγμάτων ἡγούμενον· Βεσταμίῳ δὲ τὴν βάρβαρον ξυμμαχίαν ἐδίδοσαν. τριταῖοι τοίνυν ἐναυλισθέντες Χοσρόης τε καὶ Ῥωμαῖοι ἀνὰ τὸν πολέμιον χῶρον, ἀπαλλάσσονται τῇ τετάρτῃ ὀδωδότων τῶν τεθνεώτων αὐτοῖς, καὶ τὸ πνῖγος τῆς κακοσμίας φέρειν οὐκ ἔχοντες. παραγίνονται γοῦν ἄγχιστα πόλεως τοῦ Κανζάκου. βασιλεὺς δὲ Χοσρόης ἐπὶ τοῖς συνενεχθεῖσιν* C *αὐτῷ καταγαυριώμενος ἐπινίκια εἱστία Ῥωμαίους. αὐτὸς δὲ διέτριβεν ἀνὰ τὴν στιβάδα, καταψαλλόμενός τε καὶ καταυλούμενος, ὡς ἔθος Πέρσαις καθέστηκε παιανίζουσι. δεκάτην δὲ τῷ χώρῳ ἐνδιατρίψας ἡμέραν, ἐπείπερ συνεῖδε Μαρινόν τε καὶ Βε-*

13. *ὁ — στρατοῦ*] an *οἱ — στρατηγοί?*

ripiunt, uxores, inquam, et filios et ornamenta aurea et apparatum regium; potioraque Chosroae donant. qui e spoliis tantis superbia et fastu praeceps abiit. sub vesperam Romani barbaros elephantis insidentes ex arcubus iaculari conspicantur. quamobrem eos circumfundentes secunda pugna vincunt, bestiasque vivas Chosroae transdunt. praelio hunc in modum finito, Romani in castra nocte iam ingruente se restituunt. mane postridie congregantur et ad spolia cadaveribus detrahenda discurrunt, atque in regium Chosroae tentorium optimam praedam important. Romanus exercitus Varami decem millia, Chalcidensium legionum praefecto sibi pro duce electo, et Bestamio sociorum barbarorum ducatu commisso, per vestigia insequitur. Romani et Chosroes cum in hostili solo triduum contrivissent, die quarto cadaverum graveolentiam non ferentes alio viam invadunt et ad urbem Canzacum adveniunt. Chosroes rex eventis adeo felicibus tumidus Romanos triumphali convivio excipit: ipse in throno recumbens fidibus et tibiis victoriam canentium, ut Persis mos est, oblectatur. decimum autem diem in loco illo

στάμιον ὡς αὐτὸν παλινδρομήσαντας ἐκ τῆς τοῦ Βαρὰμ διώξεως, τήν τε τῶν ἐχθρῶν ἀποφοίτησιν ἐπισημοτάτην ἐγνώρισε, τοὺς μὲν Ῥωμαίους ἐσέλκει πρὸς τὰ οἴκοι, αὐτὸς δὲ τὴν Περσικὴν φάλαγγα συναθροίσας τῇ Βαβυλῶνι προσομιλεῖ, ἄξιον οὐδὲν περὶ τοὺς συμμαχηκότας Ῥωμαίους ἐπιδειξάμενος. οἱ μὲν οὖν τῶν Ῥωμαίων στρατηγοὶ ἐπιμύθιον τοῖς λόγοις τῷ βαρβάρῳ ἐξῄεσαν, μὴ ἀμνημονεῖν τῆς γεγονυίας αὐτῷ ὑπὸ τῶν Ῥωμαίων φιλοφροσύνης τε καὶ σωτηρίας. τοίνυν τούτους που αὐτῷ τοὺς λόγους ἐναποθέμενοι ἐπανῄεσαν οἴκαδε οἱ Ῥωμαῖοι. ὁ δὲ Χοσρόης δεδοικὼς μή που δολοφονία τις ὑποσταίη αὐτῷ ὑπὸ τῶν ἐγχωρίων, ἐδεῖτο Μαυρικίου τοῦ αὐτοκράτορος ἐς τὴν τοῦ σώματος φρουρὰν χιλίους ἐκ τοῦ ὁπλιτικοῦ παραπέμπεσθαι.

12. Λόγος δὲ ὡς ἡμᾶς ἐξεφοίτησε πρὸς τῇ Ἱερᾷ πόλει τὸ D V 231
τηνικαῦτα καιροῦ Γολινδοὺχ γενομένην, κατὰ τὴν Χοσρόου πρὸς τὰ βασίλεια κάθοδον. ἀλλὰ τίς καὶ πόθεν, κατὰ τὴν ποίησιν, λελέχθω τὸ γύναιον· μὴ γὰρ οὖν ἀφελώμεθα τὴν περὶ ταύτης διήγησιν, μεγίστοις σεμνολογήμασιν οὖσαν κατάκοσμον. τίκτε- P 135
ται μὲν οὖν αὕτη ἐπὶ τῆς Βαβυλωνίας, μάγοι δὲ τὸ γένος αὐτῆς· πατὴρ δὲ τῶν ἐπιφανῶν σατραπευόντων ἐφορολογεῖτο τὸ Περσικόν. ἐπεὶ δὲ ἀκμὴ ἐπέστη αὐτῇ, ὥρα λάμπουσα ἐς γάμον, ἀνδρὶ τῶν ἐπισήμων ἐκδίδωσι. συνεστιωμένη δέ ποτε τῷ ἀνδρὶ ἔδοξεν ἐξαπιναίως γεγονέναι πάρετος, εἶτα ἀκίνητος διαμένειν τῷ σώματι, καὶ τὰς αἰσθήσεις πολλῷ ὕστερον ἐπανήκειν πως ἐς αὐτήν. ἐπεὶ δὲ οἱ θεαταὶ τοῦ πάθους, εἴγε καὶ πάθος δεῖ τήνδε

moratus, ut Marinum et Bestamium ab insectatione Varami ad se reversos conspexit, discessumque hostium apertissime intellexit, Romanos uti domum redeant blande monet. ipse coacta phalange Persica Babylonem abit, nihil dignum pro auxilio iis remensus. caeterum duces Romani, tanquam ἐπιμύθιον sermonum suorum illi relinquentes, monuerunt ne unquam Romanorum benevolentiae, per quam salutem esset adeptus, oblivione caperetur. his verbis apud eum repositis domum remigrarunt. metuens tamen Chosroes ne ab indigenis per fraudem occideretur, a Mauricio petiit uti ad custodiam corporis mille sibi gravis armaturae mitteret.

12. Refert autem fama, quo tempore Chosroes in regiam redierit, feminam vixisse apud Hierapolim Golinducham nomine. sed quae et undenam fuerit, secundum poetam, dicatur sane, ut magnificentissima narratione perfruamur. nata est Babyloniae e magorum familia. pater eius de illustribus praefectis vectigalibus Persicis exigendis praeerat. postquam vero aetate florescens viro tempestiva esse coepit, homini nobili desponsa est. forte epulis cum marito accumbebat, cum visa est repente viribus defici manereque immoto corpore et longo intervallo sensibus convalescere. qui casum intuebantur, si modo divinam hanc ecsta-

τὴν θείαν ἀποφαίνεσθαι ἔκστασιν, διεπυνθάνοντο τί ἂν εἴη τὸ συμβεβηκὸς τῇ νεάνιδι, ἔλεξε τάδε. "μεγάλας που ἐν οὔδεϊ τεθέαμαι ἐναποκειμένας ποινάς, μεγάλων τε ἀγαθῶν B *πρεσβευομένην τρυφὴν τοῖς τὸν μέγιστον προσκυνοῦσι θεόν, ὃν δὴ Χριστιανοὶ θρησκεύοντες καθεστήκασι Πέρσαις ὑπόθεσις γέλωτος." ὁ μὲν οὖν ἐκείνης γαμέτης ἐξεμυκτήριζε τοῦ γυναίου τὰ ῥήματα, ὅτε δέ που ἑδραίαν αὐτῆς τὴν διάνοιαν πρὸς τὴν τῆς θρησκείας μετάθεσιν κατενόησε, σωφρονίζειν ἐδόκει ῥαπίζων· ἠπείλει δὲ καὶ θάνατον εἶναι ζημίαν αὐτῇ, ὡς θέμις Πέρσαις ποιεῖν τοῖς τὰ μάγων ἀθετήσασι δόγματα. ἡ μὲν οὖν τῷ θείῳ ἔρωτι πτερωθεῖσα τὸν νοῦν, τὰ ὦτά που καταβύουσα, ταῖς αὔραις διαχεῖσθαι τοὺς λόγους παρείχετο. γίνεται τοίνυν τῷ γυναίῳ καὶ ἑτέρας θείας κρείττονος ἐπιφοιτήσεως ἔλλαμψις· ἄγγελος γὰρ* C *ἐφεστήκει αὐτῇ, τήν τε μορφὴν καὶ τὴν ἐσθῆτα λαμπηδόνος φαιδρότερος, καὶ πάλιν αὐτῇ τὴν τῶν φθασάντων θέαν ἐδείκνυ, προηγόρευέ τε καὶ τὸν ὅσον οὔπω τοῦ συνευνέτου θάνατον. ὁ μὲν οὖν τοῦ γυναίου γαμέτης καταλύει τὸν βίον κατὰ τὴν τοῦ ἀγγέλου προαναγόρευσιν, τὸ δὲ γύναιον τὴν Βαβυλωνίαν καταλιπὸν πρὸς τὴν Νίσιβιν γίνεται, τοῖς τε τῶν Χριστιανῶν ἱερεῦσι περιτυχὸν ἀνθομολογεῖται τὰ μεγαλεῖα τοῦ πνεύματος. μυεῖται γοῦν παρ' αὐτῶν ταῦτα δὴ τὰ τῶν Χριστιανῶν θεῖα ὄντως καὶ ἀπόρρητα δόγματα. ἐπεὶ δὲ τοῖς μάγοις τοῦτο κατάδηλον γέγονεν, ἐς ἀναζήτησιν γίνονται τοῦ γυναίου. ἧκον γοῦν εἰς τὴν Νίσιβιν, καὶ τὰ μὲν πρεσβύτερα τῆς ἀξιώσεως ἐν κολακείαις αὐτοῖς παρεσκεύαστο, ἐντεῦθεν ἀποβουκολῆσαι πειρωμένοις τὴν ἄνθρωπον·*

sin casum nominare licet, adolescentulam interrogant quid ei acciderit. respondet acerbas se alicubi sub terra poenas constitutas, magnorum contra bonorum delicias deum maximum colentibus decretas vidisse, quem Christiani religiose venerantes a Persis irrideantur. tum vir eius verba subsannare, perspectoque constanti illius Christianismi complectendi proposito, fustibus impingendis ad sanitatem reducturum arbitrari; necem insuper minitari, quam Persae more maiorum illis inferunt qui magorum dogmata aspernantur. sed illa divino amore mentem erecta aures claudere, dicta in vento et aqua scribere. eidem alia quaedam divina praestantiorque illustratio contigit. astitit enim angelus, forma et veste fulgentissimus, iterum priora ei spectacula exhibens, et mox futurum mariti obitum praenuntians. praedicta eveniunt, maritus diem suum obit. mulier relicta Babylonia Nisibin proficiscitur, ibique Christianorum sacerdotes nacta vicissim confitetur magnalia spiritus, atque ab iis sacerdotibus vere coelesti et arcana Christianorum disciplina initiatur. hoc ut magi compererunt, eam requisitum se in viam dant, Nisibi adsunt, et blanditiis potissimum agunt, indeque abducere secum

ἐπεὶ δὲ νικῶνται καὶ ὁ λόγος αὐτοῖς ἀδρανής, ἐν εἱρκτῇ σκληρᾷ D τὸ γύναιον χρόνῳ πολλῷ κατακλείουσι. τοῦ τοίνυν πάντα θεοῦ περισκοποῦντος καὶ ἀμάρτυρον ἑαυτὸν ἐν οὐδενὶ χρόνῳ καταλιμπάνοντος ἐπικουρίᾳ τοῦ ἐπιστατοῦντος ἀγγέλου αὕτη τῆς φυλακῆς ἐξεχώρησε καὶ ἐς τὴν Ῥωμαίων ἀφίκετο γῆν. ἡ μὲν οὖν ἄχρι τῶν Ἱεροσολύμων ἐπελθοῦσα διεκήρυττε τὴν ἐπιφανῆ τοῦ θεοῦ καὶ ἀδιήγητον μεγαλειότητα, εὐχάς τε ἀποδομένη ἐν τῷ παναγεῖ μνημείῳ τοῦ μεγάλου θεοῦ καὶ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ, τόν τε σταυρὸν τῶν παθημάτων κατασεβασθεῖσα τῷ προσκυνήματι ἐς τὴν Ἱερὰν ἐπανέδραμε πόλιν. πολλά τε περὶ τῶν ἐσομένων τῷ Χοσρόῃ προαναγορεύσασα, τήν τε προσχώρησιν αὐτοῦ Ῥωμαίοις πρὸ τῆς τῶν πραγμάτων ἄρξεως καταμηνύσασα, βίον τε ἰσάγγελον πολιτευσαμένη, καὶ ὡς πρέπει τοῖς ἁγίοις τὰ εἰς P 136 ψυχὴν καὶ σῶμα δρῶντα, ἀπέστη τῶν τῇδε, τὸν τῆς καρτερίας στέφανον ἀκηράτοις ἀναδησαμένη τροπαίοις.

13. Ὁ δὲ τοῦ Ῥωμαϊκοῦ βασιλεὺς σωματοφύλακας ἐς B Χοσρόην ἐξέπεμπεν. V 231 ἐς νοῦν τοίνυν βαλόμενος ὁ τῶν Περσῶν βασιλεὺς τὴν ἄνωθεν αὐτῷ τῆς ἐπικουρίας γεγονυῖαν ῥοπήν, τῷ ἐν μάρτυσιν ἐπιφανεστάτῳ Σεργίῳ σταυρὸν ἐκ χρυσοῦ πεποιημένον, λιθοκόλλητον, δῶρον ἐξέπεμπεν, ὃν δῆτα Χοσρόης ὁ Καβάδου τὸ ἄστυ παραστησάμενος, λαφυραγωγήσας, ἐν τοῖς τῶν Περσῶν ἀνακτόροις ἀπέθετο, ἔτι τὸ Ῥωμαϊκὸν σκῆπτρον Ἰουστινιανοῦ τοῦ αὐτοκράτορος ἐπιβαίνοντος. ἐν τούτῳ γοῦν τῷ σταυρῷ ἕτερον Χοσρόης ἐπὶ τῆς κεφαλῆς ἐξ ἀπέφθου χρυσοῦ σταυρὸν

feminam conantur. cum verbis actum agerent, tetro carceri eam longo tempore includunt. sed auxilio dei omnia circumspicientis, eamque nullo tempore absque testimonio sibi relinquentis, angelo apparente e custodia exit, atque Romanorum provinciae succedens apud Hierosolymam insignem et inenarrabilem dei magnificentiam divulgat, sacrisque precationibus ad sepulcrum magni dei et salvatoris nostri Iesu Christi effusis, et crucem passi monimentum similiter venerata, Hierapolim regressa est, multaque eventura Chosroae vaticinata, cum etiam Romanis de eius ad ipsos perfugio ac transitione, antequam fieret, praedixisset, et vita exemplo angelico, atque ut decet sanctos, tum animo tum corpore traducta ab his rebus mortalibus discessit, tolerantiaeque corona cum triumpho sempiterno redimita est.

13. Romanorum imperator custodes corporis ad Chosroem mittit, qui animum ad memoriam opis de coelo sibi praestitae revocans, Sergio martyri clarissimo crucem ex auro fabrefactam lapillisque insertis variatam pro munere offert; quam crucem Chosroes Cabadae filius urbe recepta in praeda repertam in Persarum regia reposuerat, Iustiniano adhuc rerum Romanarum potiente. in apice crucis huius Chosroes ex auro

ἐτεκτήνατο, τὴν αἰτίαν ἐντυπώσας ἐν αὐτῷ τοῦ ἀναθήματος. C *ἐπιστολὴν δὲ δὴ Ἑλληνικοῖς γράμμασιν ἅμα τῷ κειμηλίῳ ἐς τὸ λεγόμενον βαρβαρικὸν παρεπέμπετο. ὑπεγέγραπτο δὲ τῇ ἐπιστολῇ καὶ βασιλικὴ ὑποτύπωσις. τὰ δὲ τῆς ἐπιστολῆς ἐν τούτοις δῆτα ἐτύγχανεν ὄντα· οὐκ ἀμείψω γὰρ τῆς λέξεως τὸ ἀρχέτυπον.*

"Τοῦτον τὸν σταυρὸν ἐγὼ Χοσρόης βασιλεὺς βασιλέων, υἱὸς Ὁρμίσδου, ὅτε ἐκ διαβολικῆς ἐνεργείας καὶ κακουργίας τοῦ δυστυχεστάτου Βαρὰμ υἱοῦ Βαργουσνᾶς καὶ τῶν σὺν αὐτῷ καβαλλαρίων εἰς Ῥωμανίαν ἀπήλθομεν, καὶ διὰ τὸ ἔρχεσθαι τὸν D *δυστυχῆ Ζαδεσπράτην ἐκ τοῦ στρατοῦ εἰς τὸ Νισίβιος ἐπὶ τῷ ὑποσῦραι τοὺς καβαλλαρίους τοῦ μέρους τοῦ Νισίβιος εἰς τὸ ἀντᾶραι καὶ συνταράξαι, ἐπέμψαμεν καὶ ἡμεῖς καβαλλαρίους μετ' ἄρχοντος εἰς τὸ Χαρχάς, καὶ διὰ τῆς τύχης τοῦ ἁγίου Σεργίου τοῦ πανσέπτου καὶ ὀνομαστοῦ, ἐπειδὴ ἠκούσαμεν δοτῆρα εἶναι αὐτὸν τῶν αἰτήσεων, ἐν τῷ πρώτῳ ἔτει τῆς βασιλείας ἡμῶν, μηνὶ Ἰανουαρίῳ, ἑβδόμῃ, ᾐτησάμεθα, ὡς ἐὰν οἱ καβαλλάριοι ἡμῶν σφάξωσι τὸν Ζαδεσπράτην ἢ χειρώσωνται, σταυρὸν χρυσοῦν διάλιθον εἰς τὸν οἶκον αὐτοῦ πέμπομεν διὰ τὸ πάνσεπτον αὐτοῦ ὄνομα. καὶ τῇ ἐννάτῃ τοῦ Φεβρουαρίου μηνὸς τὴν κεφαλὴν τοῦ Ζαδεσπράτου ἤνεγκαν ἐπὶ ἡμῶν. ἐπιτυχόντες οὖν τῆς αἰτήσεως ἡμῶν, διὰ τὸ ἑκάστῳ ἀναμφίβολον εἶναι, εἰς τὸ πάνσεπτον αὐτοῦ ὄνομα τὸν σταυρὸν τὸν παρ' ἡμῶν γενόμενον, μετὰ*

2. δὴ] δι' IP.

obryzo crucem aliam conficiendam, in eaque caussam dedicationis huius incidendam curaverat. epistolam porro Graece conscriptam cum subscriptione sua, simul cum pretioso illo donario, in barbaricum, quod dicitur, mittit. epistola ad verbum haec continebat: nihil enim de primis eius vocibus immutabo.

"Hanc crucem ego Chosroes, rex regum, filius Hormisdae, quando ob instinctum diabolicum sceleratamque molitionem perditissimi Varami, filii Bargusnae, et quos secum habuit caballariorum, in Romaniam profugere coacti sumus. et quia veniebat nefandus Zadesprates ab exercitu Nisibim, ut partis Nisibenae caballarios abduceret, qui nos oppugnarent et conturbarent, nos quoque caballarios cum duce Charchas misimus. et confisi ope auxilioque sancti maximeque venerandi et celebris Sergii, quem petitionibus ac votis annuere solere audiveramus, anno primo regni nostri, mensis Ianuarii die septimo, vovimus, si caballarii nostri Zadespraten occidissent aut vivum cepissent, crucem auream gemmis ornatam in eius templum, propter nomen ipsius inprimis venerabile, missuros. ac die nono mensis Februarii caput Zadespratae ad nos allatum est. quapropter voto nostro damnati, ut id cuilibet certo constet, in venerando eius nomine crucem a nobis factam, cum ea quam Iustinia-

τοῦ πεμφθέντος σταυροῦ παρὰ Ἰουστινιανοῦ βασιλέως Ῥωμαίων
εἰς τὸν οἶκον αὐτοῦ, καὶ τῷ καιρῷ τῆς ἀμιξίας τῶν δύο πολι- P 137
τειῶν ἐνεχθέντος ἐνταῦθα παρὰ Χοσρόου βασιλέως, υἱοῦ Κα-
βάδου, τοῦ ἡμετέρου πατρός, καὶ εὑρεθέντος ἐν τοῖς ἡμετέροις
θησαυροῖς, ἐπέμψαμεν ἐν τῷ οἴκῳ τοῦ πανσέπτου Σεργίου."

Ὁ μὲν οὖν σατράπης κατὰ τὸ διατεταγμένον αὐτῷ ἀπέδοτο
τὸν σταυρὸν τά τε γράμματα τοῦ βασιλέως. τῷ δὲ ἐπιόντι ἐνιαυ-
τῷ ὁ τοῦ Περσικοῦ βασιλεὺς ἀναγορεύει βασίλειαν Σιρήν, γένους
Ῥωμαϊκοῦ (ἣν δὲ θρησκείας Χριστιανῶν), εἰς ὥραν ἀνθοῦσαν
γάμῳ ταύτῃ κατευνασθείς, κἀντεῦθεν παραχαράττων τῶν Βα-
βυλωνίων τὰ νόμιμα. (14) τρίτῳ δὲ ἔτει καὶ ἠντιβόλει τὸν B
δραστικώτατον ἐν Περσίδι Σέργιον παῖδα ἐκ τῆς Σιρῆς δοθῆναι V 232
αὐτῷ. μετ' οὐ πολὺ δὲ τούτου γεγονότος αὐτῷ, δώροις καὶ
αὖθις γεραίρει τὸν εὐεργέτην εἰκότως. ἐπιστολὴν δὲ ἐξέπεμψεν
Ἑλληνικῇ συμφράσει χρησάμενος. εἶχε δὲ ἡ ἐπιστολὴ ἐπὶ λέξεως
οὕτως.

"Τῷ μεγαλομάρτυρι Σεργίῳ Χοσρόης βασιλεὺς βασιλέων.
ἐγὼ Χοσρόης βασιλεὺς βασιλέων, υἱὸς Ὁρμίσδου, τὰ δῶρα τὰ
μετὰ τοῦ δίσκου ἐξέπεμψα οὐκ εἰς θέαν ἀνθρώπων, οὐδὲ ἵνα ἐκ C
τῶν λόγων μου τὰ μέγεθος τοῦ πανσέμνου σου ὀνόματος γνωσθῇ,
ἀλλὰ διὰ τὸ γνωσθῆναι τὴν ἀλήθειαν τῶν γενομένων καὶ τὰς
πολλὰς χάριτας καὶ εὐεργεσίας ἃς ἔσχον παρὰ σοῦ· εὐτυχία γάρ
μοί ἐστιν, ἵνα τὸ ἐμὸν ὄνομα ἐμφέρηται τοῖς ἱεροῖς σου σκεύεσιν.
ἐν τῷ εἶναί με ἐν τῷ Βεραμαῖς ᾐτησάμην παρὰ σοῦ, ἅγιε, ἐλ-

nus Romanorum imperator in aedem eius miserat, discordiis belloque quod inter se duo regna gesserant, a Chosroae, regum rege, Cabadae filio, avo nostro, huc asportata atque in thesauris nostris inventa, in templum Sergii summe venerandi misimus."

Satrapa iussibus obsecutus, crucem cum litteris regiis reddit. anno dehinc proximo Persarum rex Siram, genere Romanam, et religione Christianam, quam aetate florentem connubio sibi copularat, reginam publicitus appellat, et in eo Persarum leges atque instituta negligit. (14) tertio autem anno Sergio Persidis martyri efficientissimo pro filio ex Sira suscipiendo supplicat. nec ita diu post rursum benemerentem suum donis, et quidem iure honorat, adiuncta epistola Graece composita, quae ad verbum sic sonat.

"Magno martyri Sergio Chosroes rex regum. ego Chosroes, rex regum, filius Hormisdae, haec dona cum disco misi, non sane ut ab hominibus spectentur, neque ut ex verbis meis perquam venerandi nominis tui amplitudo cognoscatur, sed ad prodendam gestorum veritatem multasque gratias et beneficia, quae in me contulisti. etenim felicitatem meam interpretor, nomen meum in sacris vasis tuis conspici. cum versarer Berramis, oravi te, vir sancte, ut me auxilio tuo adiuvares et

θεῖν εἰς τὴν βοήθειάν μου καὶ ἐν γαστρὶ συλλαβεῖν Σιρήν. καὶ
ἐπειδὴ ἡ Σιρὴ Χριστιανή ἐστιν κἀγὼ Ἕλλην, ὁ ἡμέτερος νόμος
ἄδειαν ἡμῖν οὐ παρέχει Χριστιανὴν ἔχειν γαμετήν. διὰ οὖν τὴν
D ἐμὴν πρὸς σὲ εὐγνωμοσύνην εἰς ταύτην τὸν νόμον παρεῖδον, καὶ
ταύτην ἐν γυναιξὶν ἡμέραν ἐξ ἡμέρας ἐν γνησιότητι ἔσχον καὶ
ἔχω, καὶ οὕτως συνεῖδον νῦν δεηθῆναι τῆς σῆς ἀγαθότητος ἐν
γαστρὶ συλλαβεῖν αὐτήν. καὶ ᾐτησάμην, καὶ συνεταξάμην ἵνα,
ἐὰν ἐν γαστρὶ συλλάβῃ Σιρή, τὸν σταυρὸν τὸν φορούμενον παρ'
αὐτῆς πέμψω τῷ πανσέπτῳ σου οἴκῳ. καὶ τούτου ἕνεκεν κἀγὼ
καὶ ἡ Σιρὴ τὸν σκοπὸν τοῦτον ἔχομεν, ἵνα εἰς μνημόσυνον τοῦ
ὀνόματός σου, ἅγιε, τοῦτον τὸν σταυρὸν κρατῶμεν. καὶ συνεί-
δομεν ἀντ' αὐτοῦ τὴν τιμήν, μὴ συντείνουσαν περαιτέρω τῶν
P 138 τετρακισχιλίων τριακοσίων στατήρων μιλιαρησίων, πεντακισχι-
λίους στατῆρας πέμψαι. καὶ ἐξ οὗ τὴν τοιαύτην ἐν ἐμαυτῷ
ἔσχον αἴτησιν καὶ ταῦτα διελογισάμην, ἕως οὗ ἐφθάσαμεν εἰς τὸ
Ῥοσωχοσρῶν, δέκα ἡμερῶν πλέον οὐ διῆλθον, καὶ σύ, ἅγιε, οὐ
διὰ τὸ εἶναί με ἄξιον ἀλλὰ διὰ τὴν σὴν ἀγαθότητα, ἐφάνης μοι
ἐν ὁράματι τῆς νυκτός, καὶ τρίτον εἶπές μοι ὅτι ἡ Σιρὴ ἐν γα-
στρὶ ἔχει. κἀγὼ ἐν αὐτῷ τῷ ὁράματι τρίτον ἀνταπεκρίθην σοι
λέγων, καλῶς, καλῶς, καλῶς. καὶ διὰ τὴν σὴν ἁγιωσύνην καὶ
ἐλεημοσύνην, καὶ διὰ τὸ πάνσεπτόν σου ὄνομα, καὶ διὰ τὸ εἶναί
B σε δοτῆρα τῶν αἰτήσεων, ἀπὸ τῆς ἡμέρας ἐκείνης ἡ Σιρὴ τὸ εἰ-
θισμένον ταῖς γυναιξὶν οὐκ εἶδεν. ἐγὼ δὲ οὐκ ἐδίστασα εἰς τοῦτο,
ἀλλὰ τοῖς λόγοις σου ἐπίστευσα, καὶ ὅτι ἅγιος εἶ καὶ ἀληθινὸς

Sira conciperet. et quanquam illa Christiana esset, ego vero Graecorum sacra colerem, ut per leges nostras habere illam in matrimonio non possem, tamen propter meam erga te pietatem legum securus hanc duxi, eamque prae caeteris uxoribus in dies sincero affectu et amo et amavi. atque ita constitui, bonitatem tuam rogare uti Sira foetu gravida fieret. et rogavi, et decrevi plane, si concepisset, crucem quam in collo gestaret, ad venerabilem aedem tuam mittere. et huius rei causa ego et Sira istuc consilii cepimus, uti ad monumentum nominis tui, vir sancte, hanc crucem apud nos retineamus, placuitque nobis pro ea pretium quatuor millium trecentorum staterum miliaresiorum non excedente, quinquies mille stateres mittere. ex quo autem huiuscemodi postulationem apud animum concepi et haec mecum cogitavi, donec Rhosochosrum pervenimus, non plus decem dies abierunt, cum tu, sancte, non quod ego sic meritus essem, sed quia bonus es, mihi te per quietem obtulisti, tertiumque dixisti Siram esse gravidam. in eodem viso tibi respondi, bene est, bene est, bene est. ac propter sanctitatem et misericordiam, propterque summe colendum nomen tuum, et quia preces ac vota exaudis, ex illo die Sirae, quod feminis solet, accidere desiit. ego porro de hoc non dubitavi, sed verbis tuis fidem habui, ac te sanctum vere-

δοτῆρ τῶν αἰτήσεων. μετὰ τὸ ταύτην τὰ γυναικεῖα μὴ ὑπομεῖναι, ἐκ τούτου ἔγνων τὴν δύναμιν τοῦ ὁράματος καὶ τὴν τῶν παρὰ σοῦ ῥηθέντων ἀλήθειαν. παρ' αὐτὰ οὖν ἔπεμψα τὸν αὐτὸν σταυρὸν καὶ τὴν τούτου τιμὴν ἐν τῷ πανσέπτῳ σου οἴκῳ, κελεύσας ἐκ τῆς τούτου τιμῆς δίσκον ἕνα καὶ ποτήριον ἓν γενέσθαι εἰς λόγον τῶν θείων μυστηρίων, ἀλλὰ μὴν καὶ σταυρὸν γενέσθαι καταπηχθῆναι ὀφείλοντα ἐπὶ τῆς τιμίας τραπέζης, καὶ C
θυμιατήριον, τὰ πάντα χρυσᾶ, καὶ ἀμφίθυρον Οὐννικὸν κεκοσμημένον χρυσίῳ. τὰ δὲ λοιπὰ μιλιαρήσια εἶναι τοῦ ἁγίου οἴκου, ἵνα διὰ τῆς τύχης σου, ἅγιε, εἰς πάντα, ἐξαιρέτως δὲ εἰς τὴν αἴτησιν ταύτην εἰσέλθῃς εἰς βοήθειάν μου καὶ Σιρῆς. καὶ ὃ διὰ τῆς πρεσβείας γέγονεν ἡμῖν τῷ ἐλέει τῆς σῆς ἀγαθότητος, καὶ τῷ θελήματί μου καὶ Σιρῆς εἰς τέλειον προέλθοι, ἵνα κἀγὼ καὶ ἡ Σιρὴ καὶ πάντες οἱ ἐν τῷ κόσμῳ εἰς τὴν σὴν δύναμιν ἐλπίζωμεν καὶ εἰς σὲ ἔτι πιστεύωμεν."

15. Εἰς τάχος τοιγαροῦν ὡς τὸ τέμενος ὁ ἀποσταλεὶς D V 233
ἀφικνεῖται, τὰ δὲ δῶρα τὰ τοῦ βασιλέως ἅμα τοῖς γράμμασιν ἐν τῇ ἱερᾷ περιέθετο τραπέζῃ.

Ὁ δὲ Βαρὰμ μὴ χειρωθεὶς ὑπὸ Χοσρόου ἐξαίσιον ὑπεκρούσατο κίνδυνον. τοιγάρτοι τῶν Περσῶν βασιλεὺς πάντας τοὺς κεκοινωνηκότας τῇ τυραννίδι ὀλέθρῳ παρέδοτο, αὐτόν τε Βινδόην τοῖς τοῦ Τίγριδος ἐγκάτοις κατέθετο ὡς οἷα δὴ κατὰ βασιλέως χεῖρας ἐκτείναντα. αἱ δὲ σπονδαὶ Ῥωμαίων τε καὶ Περσῶν P 139

7. γενέσθαι καὶ πηχθῆναι P.

que petitorum datorem credidi. et cum illa menses suos non pateretur, vim ac potestatem visi illius dictorumque abs te veritatem perspexi. ob id igitur ipsam crucem et pretium eius in venerandam aedem tuam misi, iussique et ex eo discum unum poculumque unum ad usum divinorum mysteriorum fieri; quin etiam crucem in sacrosancta mensa figendam et turibulum, omnia aurea, et Hunnicum quod utrinque aperiretur, auro ornatum fieri mandavi. reliqua miliaresia sancto templo tuo relinqui, ut praesidio tuo, sancte, in rebus omnibus, potissimum vero in hac petitione me Siramque respicias, quodque tuis precibus misericordiaque bonitatis tuae nobis concessum est, pro utriusque nostrum desiderio opere ipso perficiatur, ut ego et Sira adeoque mortales universi in potentia tua spem collocemus, atque in te credamus."

15. Qui missus erat, celeriter ad templum perveniens dona regis cum epistola in sacra mensa exponit.

Varamus a Chosroe non captus periculum magnum effugit. proinde rex, quotquot cum eo in tyrannide communicaverant, spiritu privavit, ipsumque Bindoem, ut qui manus contra regem extendisset, in medium Tigridem demersit. foedera inter Romanos et Persas pari aequitate coli

ἐν ἴσῃ μοίρᾳ προέρχονται. καὶ οὕτω δῆτα ἐνδόξως ὁ μέγας τε καὶ Περσικὸς ἐκεῖνος Ῥωμαίοις κατεπέπαυτο πόλεμος.

Οὐκ ἂν δὲ περιόψομαι καὶ ὅσα λέγεται Χοσρόην τὴν περὶ τοὺς ἀστέρας τῶν Χαλδαίων ἐξησκημένον πολυάσχολον ματαιότητα προαναγορεῦσαι κατὰ τὴν τοῦ πολέμου ἀκμήν. τοῦ γὰρ στρατηγοῦ Ἰωάννου τῆς τῶν Ἀρμενίων δυνάμεως εὐδοκίμου αὐτῷ ἐπιτιμοῦντος ἀκοσμίας ἕνεκα, καὶ ὡς οὐ δεῖ βασιλέα σκαιὸν πεφυκέναι τοὺς τρόπους τάς τε τῆς ψυχῆς ὁρμὰς ὑπεῖναι ἀλλόκοτον, φασὶ πρὸς τὸν στρατηγὸν λέξαι τὸν βάρβαρον "εἰμή περ B ὑπὸ τοῦ καιροῦ ἐτυραννούμεθα, οὐκ ἂν ἐθάρρησας, στρατηγέ, τὸν μέγαν ἐν ἀνθρώποις βασιλέα βάλλειν τοῖς σκώμμασιν. ἐπεὶ δὲ τοῖς παροῦσι μέγα φρονεῖς, ἄκουσον δὴ ἃ τοῖς θεοῖς ἐς ὕστερον μεμελέτηται. ἀντικαταρρεύσει, εὖ ἴσθι, ἐς τοὺς Ῥωμαίους ὑμᾶς δεινά. ἔσται δὲ τὸ Βαβυλώνιον φῦλον τῆς Ῥωμαϊκῆς πολιτείας κρατοῦν τρίτην κυκλοφορικὴν ἑβδομάδα ἐτῶν. μετὰ δὲ τοῦτο πεμπταίαν ἑβδομάδα ἐνιαυτῶν Ῥωμαῖοι Πέρσας δουλαγωγήσετε. τούτων δὴ διηνυσμένων, τὴν ἀνέσπερον ἡμέραν ἐνδημεῖν τοῖς ἀνθρώποις καὶ τὴν προσδοκωμένην λῆξιν ἐπιβαίνειν τοῦ κράτους, ὅτε τὰ τῆς φθορᾶς παραδίδοται λύσει καὶ τὰ τῆς κρείττονος διαγωγῆς πολιτεύεται." οὐ μετὰ πολὺ δὲ καὶ ὁ Πρόβος C τῆς Χαλκηδονέων πόλεως τὴν ἀρχιερατικὴν φροντίδα περιεβάλετο, καὶ ἤκουσέ που παρὰ Χοσρόου παράδοξα. τοῦ γὰρ αὐτοκράτορος Μαυρικίου τοῦτον ἐς Κτησιφῶντα πρὸς Χοσρόην ἐπαποστείλαντος, ἐν σταθηρᾷ μεσημβρίᾳ τινὶ μετάκλητον εἰς τὰ

3. τὴν deest IP.

coepta. hoc tandem modo acre illud et Persicum bellum a Romanis non sine gloria finitum atque compositum est.

Non praeteribo autem quae Chosroes, in operosa inanitate astronomiae Chaldaeorum exercitatus, flagrante adhuc bello praedixisse fertur. etenim cum Ioannes Armeniarum copiarum dux clarissimus de soluta disciplina, de moribus regiae personae indecoris et absurdis cupiditatibus eum obiurgaret, aiunt ita respondisse. "nunquam tu auderes, mi dux, in magnum inter homines regem scommata iacere, nisi iniqua nobis tempora dominarentur. quia vero praesentia tibi spiritus faciunt, audias licet quid dii immortales in futurum constituerint. scias velim calamitates in vos Romanos redundaturas. gens Babylonica, tribus in orbem actis annorum hebdomadibus, Romanorum tenebit imperium. post per quinque annorum hebdomadas Romani Persas servitio prement. secundum quae dies sine vespera hominibus illucescet, expectatusque imperii finis aderit, et abolita corruptione melior vivendi ratio inducetur." non multo post etiam Probus, Chalcidensium creatus episcopus et a Mauricio Ctesiphontem legatus, ab eodem admiranda audivit. meridie enim qua-

ἀνάκτορα τοῦτον εἰσποιησάμενος, ἱδρῶτι περιρρεόμενος τῆς θεομήτορος εἰκόνα ἠξίου παρὰ τοῦ ἱερέως θεάσασθαι. ἐπιφερόμενος οὖν ὁ ἱερεὺς τὸ ταύτης ἴνδαλμα ἐν πυκτίῳ ἐδίδου ἐς θέαν ἐλθεῖν τῷ Περσῶν βασιλεῖ. ὁ δὲ προσκυνήσας τὸν πίνακα, ἔφασκε παρεστάναι αὐτῷ τὸ τούτου ἀρχέτυπον, φῆσαί τε πρὸς αὐτὸν τὰς Ἀλεξάνδρου νίκας αὐτῷ τοῦ Μακεδόνος χαρίσασθαι. καὶ τὰ ἤδη που γεγονέναι, ἀπολαβόντος Χοσρόου τὴν ἐς τὰ βα- D σίλεια κάθοδον τῶν τε τυράννων ἐπικεκρατηκότος ῥώμῃ τε καὶ δυνάμει τοῦ αὐτοκράτορος, διεξήει ὁ Πρόβος. καὶ περὶ τὴν Νινευὶ ἧκε πολυλείψανα τῆς ἐπὶ τῆς Βαβυλῶνος ἐγχειρηθείσης τοῖς ἀνθρώποις πυργοποιίας ὑπεῖναι, τήν τε πλίνθευσιν, καθὰ τῷ ἱεροφάντῃ Μωσῇ διηγόρευται, εἶναι λίαν ἐπιμελῶς ἐξοπτηθεῖσαν πυρί.

Ἀλλ' ἐπεὶ τοῦ Περσικοῦ πολέμου τῇ συνθήκῃ τῆς ἀφηγήσεως ὡς οἷόν τε ἦν ἀπετερματίσαμεν τὴν ὑπόθεσιν, πρὸς τὰ τῇ Εὐρώπῃ πραχθέντα χωρείτω αὖθις ὁ κάλαμος, τὰς βίβλους ναυτιλλόμενος μέλανι, ὅπως ἐπὶ τὸν λιμένα τοῦ σκοποῦ καθορμιζόμενος, καὶ τὰς ἐπιφανεῖς τῶν πράξεων φόρτον φερόμενος, τὰ τῶν ἀξιαφηγήτων ἀκουσμάτων πληρώσειεν.

16. Ἄρτι γε ἄρα που τοῦ περὶ τὴν ἕω γελώσης ἡμέρας P 140 V 234 τοῖς πράγμασι, καὶ τὴν πρόοδον οὐκ ἐκ κλίνης βαρβαρικῆς μυθικῶς ποιουμένης Ὁμηρικώτερον, ῥοδοδάκτυλός τε ἀπανηναμένης ἀκούειν, ἐπεὶ τὸ ξίφος τοῖς αἵμασιν αὐτοῖς οὐ φοινίσσεται, τὰς δυνάμεις ὁ αὐτοκράτωρ ἐς τὴν Εὐρώπην ὡς τάχιστα μετεβί-

dam ferventissima, cum in regiam illum accivisset sudoreque manaret, dei matris imaginem sibi ab eo ostendi postulavit. quam ille in tabella depictam secum ferens regi spectandam obtulit. rex tabellam veneratus noctu ipsam virginem sibi apparuisse retulit, dixisseque se ipsi Alexandri Macedonis victorias largitam esse. quod dudum esse factum Probus confirmavit, cum iam in regnum rediisset, tyrannosque viribus et virtute imperatoris adiutus perdomuisset. allatae sunt item a Ninive reliquiae turris Babel, quam fictis lateribus, ut sacrorum doctor Moses explicavit, et igni diligenter excoctis homines exaedificare tentaverunt.

Sed quoniam quae de bello Persico scribenda fuerunt, cum eius belli fine absolvimus, ad res in Europa gestas stilus redeat, et in atramento libros pernaviget, ut ad portum propositi appulsus et insignibus rebus gestis onustus, quod superest auditionum memoratu dignarum repraesentet.

16. Cum igitur iam in Oriente rediret rebus dies, nec fabulose secundum Homerum e lecto barbarico Aurora prodiret, nolletque audire ῥοδοδάκτυλος (i. e. roseos habens digitos seu purpurea), quandoquidem gladiorum sanguine purpurandorum materia non restabat, copias imperator quamprimum in Europam transfert, et Anchialum advenire

βαζεν, ἐπί τε τὴν Ἀγχίαλον τὴν ἐκδημίαν παρασκευάζεται· διε-
γνώκει γὰρ τὸ Ἀβαρικὸν αὖθις ἐθέλειν φοιτᾶν. προσδοκίμου τοι-
B γαροῦν τοῦ βαρβαρικοῦ τυγχάνοντος ἐς παρασκευὴν συνετέτακτο.
οἱ μὲν οὖν ἐντιμότεροι τῶν ἐς συγκλήτου βουλὴν κατελιπάρουν
τὸν Καίσαρα χειροτονῆσαι στρατηγὸν τῷ πολέμῳ καὶ ἀναβολὴν
τὰ τῆς βασιλικῆς ἐπιβολῆς ἀποφέρεσθαι. ἐπεὶ δὲ οὐκ ἔπειθον,
ὁ τῶν ἱερατικῶν ταγμάτων ἡγούμενος ἐδεῖτο τὸν βασιλέα ἀπο-
στράτηγον εἶναι, ἑτέρῳ δὲ τὰ τῆς ἀγωνίας περιβαλεῖν. ἐπεὶ δὲ
οὗτος οὐκ αἰδέσιμος ἦν ἐξαιτούμενος, ἡ βασίλεια ἅμα τοῖς παισὶ
ποτνιωμένη ἠντιβόλει τὸν γαμέτην τὸν Καίσαρα δευτέρας γενέ-
σθαι φροντίδας. ὡς δὲ καὶ ταύτης ἡ ἀξίωσις πρόσωπον οὐκ
C ἔσχεν αἰσχυντηλὸν ἢ μέλος πειθήνιον, ἐξεχώρει τῶν βασιλείων ὁ
αὐτοκράτωρ Μαυρίκιος παρασάγγην ἕνα καὶ ἡμιόλιον· Ἕβδομον
δὲ ἄρα τοῦτο τοῖς Βυζαντίοις ὠνόμασται. κατ' ἐκείνην γοῦν
τὴν ἡμέραν ἡλίου μεγίστη γέγονεν ἔκλειψις. ἔννατον δὲ ἄρα τοῦτο
ἔτος ἐτύγχανεν ὂν Μαυρικίου τοῦ αὐτοκράτορος. ἐπεγένοντο δὲ
καὶ ἐξαισίων πνευμάτων φυσήματα, νότος τε βίαιος, ὡς μονο-
νουχὶ καὶ τὴν ἐπιβύθιον ψηφῖδα ἀναρρίπτειν τῷ θόλῳ τοῦ σά-
λου. ὁ μὲν οὖν αὐτοκράτωρ ἀκηκοὼς Ζαλαβζὰν τὸν Πέρσην
D ἥκοντα ὡς αὐτόν, παλινδρομεῖ πρὸς τὸ βασίλειον ἄστυ. διαθείς
τε ὡς ἐνῆν ἐπιδεξίως τὴν τῆς πρεσβείας ἀξίωσιν, τοῦ σκοποῦ
αὖθις τῆς ἐκδημίας ἀπήρχετο. τυχεῖν δὲ γλιχόμενος καὶ θείας
τινὸς ἐποπτίας συστρατευσαμένης αὐτῷ, ἐπὶ τὸ μέγα τῆς θρη-
σκείας κατεπαννυχίζετο τέμενος, τὸ ὑπὸ Ἰουστινιανοῦ ᾠκοδομη-
μένον τοῦ αὐτοκράτορος· ἐς προσηγορίαν δὲ τῆς τοῦ θεοῦ σο-

parat, quo Abares irruptionem denuo cogitare acceperat. dum ergo barbari exspectantur, apparatum bellicum adornat. caeterum honoratiores de consilio magnopere orant uti expeditionem duci committat, ipse per se in hostem ne eat. cum non flecterent, sacrorum ordinum princeps (patriarcha) eundem obsecrat ne ducis officio fungi sed eas partes alteri mandare velit. sed cum nec huius preces velut cantu quodam iis delinitus revereretur, Augusta una cum liberis suppliciter instat uti sententiam mutet. verum nec horum obtestatione quidquam commotus e regia egreditur, et parasangam unam et semis usque in Septimum, ut a Byzantiis nominatur, procedit. eo die sol paene totus est obscuratus. annus imperii eius nonus tum agebatur. coorti sunt item venti validissimi, ut tantum non mare ab imis sedibus everterent. porro Zababanum Persam legatum ad se venire audiens in urbem imperatoriam remeat. cuius postulatis quam dextre potuit expeditis, ductandi agminis voluntatem denuo est persecutus. quia vero visum aliquod divinum expetebat, quod tanquam socium haberet militiae, in amplo religionis nostrae templo, a Iustiniano imperatore aedificato et sapientiae dei nomine

φίας τὸ ἱερὸν ἀνατίθεται. μηδεμιᾶς τοιγαροῦν ὄψεως ἐνυπνίων ἐπιφανείσης αὐτῷ, λιταζόμενος ἅμα τῷ λαῷ, εἰς τὴν πρὸ τοῦ ἄστεος τῆς θεομήτορος οἰκίαν διημέρευε μυσταγωγούμενος, καὶ τῆς θεανδρικῆς μετελάγχανε πανδαισίας· ὁ δὲ νεὼς πρὸς τῇ πηγῇ καταλέγεται. τῇ δ' ὑστεραίᾳ ὁ βασιλεὺς ἀπάρας ἐντεῦθεν ἐπὶ τὸ λεγόμενον Ἕβδομον γίνεται. ἑκταῖος δὲ τῷ Ῥηγίῳ προσέβαλλε. ἐνταῦθα πλῆθος ἄπειρον τῶν μεταιτούντων συνήθροιστο, καὶ P 141 ἠξίουν τι παρὰ τοῦ βασιλέως ἑλέσθαι. ὁ μὲν οὖν αὐτοκράτωρ τὰ συρρεύσαντα πλήθη τοῖς ἐκεῖσε βασιλείοις ἐναποκλείσας φιλανθρωπίας ἠξίου, ἱκανά τε κατακερματίσας ἀργύρια ἐψυχαγώγει τῆς ἀθροισθείσης πληθύος τὸ τῆς πενίας κατώδυνον. ὄρθριός τε γενόμενος, ἐγκελεύσας τε τὰς σάλπιγγας, τῆς πορείας ἀπήρχετο. ἐπί τε τοίνυν Ῥόμφος γενόμενος ὑπὸ τῶν σωματοφυλάκων προεπομπεύετο. ἡ δὲ ἔκταξις εἰς μῆκος διέτεινεν. ὁ δὲ αὐτοκράτωρ περιεγάννυτο τῷ σχήματι τῆς ἐκτάξεως τῆς προπομπούσης δυνάμεως. τὸ δὲ μάχιμον κατόπιν ἐβάδιζε, τό τε ξύλον τοῦ B σταυροῦ τοῦ Χριστοῦ ἐς ὕψος ἐπὶ δόρατος χρυσοῦ ἀπῃώρητο καὶ προηγεῖτο τοῦ τε βασιλέως καὶ τῆς περιπόλου δυνάμεως. ὑπὸ δὲ δευτέραν ὥραν θηρίον παμμέγεθες (ὗς δὲ τοῦτο ἐτύγχανεν ὂν) ἐχώρει κατὰ τοῦ Καίσαρος. τοῦ τοίνυν βασιλείου ἵππου ὑποτα- V 238 ραχθέντος τῇ ἀθρόᾳ τοῦ θηρίου ἀφίξει, τῆς καθέδρας ἀποβαλεῖν τὸν βασιλέα τὸν ἐπιβάτην κατεστασίαζε. τοῦ δὲ βασιλέως λίαν ἐπόχως ἐχομένου τοῦ χαλινοῦ γίνεται ἄκων ὁ ἵππος πειθήνιος, τά τε τῆς ὄψεως ἀποβαλόμενος δείματα καὶ τὴν γνώμην μετέβαλλεν, αὖθις ταῖς ἡνίαις οἰκονομούμενος. τὸ μὲν οὖν θη-

4. πανδαισίων IP.

consecrato, noctem agit. nulla ei per quietem specie divinitus oblata, cum populo preces fundens, in aede dei matris ante urbem diem totum rebus sacris consumit, epuloque coelesti pascitur. aedes illa ad Pegen, i. e. ad fontem vocatur. postridie inde abiens ad Septimum venit. die sexto Rhegium attingit. ubi innumera mendicorum multitudo congregata stipem ab eo flagitat. quos in regiam quae illic est inductos humaniter tractat, argenteosque nummos affatim distribuendo dolorem egestatis illorum consolatur. appetente luce iubens classicum cani iter prosequitur. Romphos ubi accessit, stipatores antecedunt, acies in longum explicatur, imperator velut in pompa praecedentis agminis aspectu mirifice oblectatur. robur militum posterius incedit. lignum crucis Christi super hastili aureo sublime portatur, imperatoremque, et circumfusum militem antecedit. diei hora altera inusitatae vastitatis sus in imperatorem incurrit, unde equus eius tam incitato bestiae impetu conterritus sessorem excutere luctatur. quo frena mordicus retinente, quanquam invitus obedit, et terriculamento ab oculis ablato fit quietior, iterumque habenis

ρίον ὑπὸ μηδενὸς πολεμούμενον ἀνανταγωνίστῳ ἀλκῇ τὴν πάροδον εἶχεν ἀζήμιον. ὁ δὲ αὐτοκράτωρ τοῦ θηρίου ἀφανοῦς γενομένου ἐπὶ τὸ μέτωπον τοῦ σταυροῦ διατυπώσας τὰ σήμαντρα, ὡς ἔθος ἐπὶ τῶν παραδόξων Χριστιανοῖς ἀπεργάζεσθαι, εἴχετο τῆς βαδίσεως, ταῦτά που θαυμάζων τὰ τῶν ἐπηκολουθηκότων παράλογα.

paret. sus nemine adversante impune et generose progreditur. imperator, ubi bellua evanuit, pro consuetudine Christiana in rebus inopinatis et horribilibus signum crucis in fronte exprimit: iter continuat, tamque inexpectatos eventus secum admiratur.

ΘΕΟΦΥΛΑΚΤΟΥ
ΙΣΤΟΡΙΩΝ
ΛΟΓΟΣ ς'.

THEOPHYLACTI
HISTORIARUM
LIBER VI.

PONTANI ARGUMENTUM.

(1) *In turbulenta tempestate Perinthum sive Heracleam navigare contendens Mauricius Daonium appellitur. inde Heracleam equo vectus Glyceriae martyris templo reficiendo pecuniam elargitur. monstrum pueri in Thracia prognatum eo mandante interimitur.* (2) *equus imperatoris derepente disruptus moritur. ex eventis futura mala moestus auguratur. grex cervorum occurrit: a satellitibus insequentibus plurimi funduntur. Gepidae hominis in quodam stipatore propter ornatum vestitus trucidando scelus nefarium. tres Sclavi cum citharis capiuntur et examinantur. quare Sclavorum gens auxilia Chagano negaverit. eorum studium in musicis.* (3) *senatus imperatorem per legatos ad redeundum frustra invitat. per loca paludosa ad pontem angustum exercitus incedens, eius cura et sollicitudine adiuvatur. ad Anchialum castra facit. propter oratores Persicos Constantinopolim repetit. Francorum rex pro societate tributum postulans nihil agit. Chaganus pactam pensionem augeri poscens, nec impetrans, bellum movet. Sclavis naves imperat.* (4) *Singidonenses Sclavos incursant. Chagani voluntate Singidon obsidione liberatur. navigia a Sclavis transmittendo flumini compinguntur. Prisco Europaei belli administratio permittitur, qui Salvianum legatum sive subducem legit, et ad claustrum praeoccupandum mittit. Salvianus conspecta barbarorum multitudine perterritus refugit. conflictu ad castellum Romani hostem superant: superveniente Chagano aufugiunt.* (5) *iter Chagani. Alexandri martyris templum incendit. a Romanis speculatoribus nec flagris extorquere veritatem potest. Drizipera adoritur: inde divino quodam viso exterritus abit. Priscus e conflictu ad Heracleam inito Didymotichum fugit, Zuruli a Cha-*

gano obsidetur. fictis a Mauricio ad Priscum litteris in terrorem datus parva accepta mercede recedit. (6) *Priscus missione data militi Byzantium revertitur. ad Istrum Sclavos transitu prohibiturus mittitur. eius iter. Chaganus de pace rupta conqueritur: se enim bello peti suspicabatur. Priscus licentiae oratoris in imperatore ut foedifrago insectando ac proscindendo ignoscit: adversum Sclavos arma illa suscepta esse testificatur.* (7) *Priscus superato flumine Ardagastum praedonem noctu invadit. fugit Ardagastus, pugnat, rursum fugit, fluvium tranat. Sclavi populatores iugulantur: capti Byzantinum mittuntur. Priscus nova praedarum partitione milites in se irritat: factum callide tuetur. eius oratio, qua de tumultu propter praedam excitato exercitum obiurgat.* (8) *exercitus duci mirabiliter reconciliatur. locus communis de potestate et efficientia linguae. praedae Byzantium abducendae Tatimer praeficitur. quid eo factum, et quomodo a Sclavis obviis praeda servata sit. ob eam ablatam imperator in templo deo gratias agit, supplicationem decernit. Alexandri centurionis Romani adversum Sclavos viriliter administrata.* (9) *Gepida hostium mysteria enunciat, regemque subita irruptione capiendum suadet. barbari captivi iussu Prisci mactantur. Gepida ad regem deludendum operam spondet; donis et promissis a Prisco honoratur. qua ratione rex barbarus circumscriptus oppressusque fuerit. Romani genium placantes veniunt in summum periculum. de praefectis vigilum et quibusdam militibus supplicium sumitur.* (10) *Priscus trans Istrum hiemare iubetur. milites tumultuantes duabus de causis nolunt. Priscus mollit animos et temperat iras. quonam modo Gepida satellitis imperatorii interfector deprehensus fuerit, et ut se mendaciis defenderit. eius ultimum supplicium.* (11) *monstra in suburbanis Byzantii. Petrus imperatoris germanus in locum Prisci Europaeae militiae dux declaratur. Priscus cum copiis flumen transit. Chaganus causam sciscitatur; quem sui a bello dehortantur. eius arrogantiam Priscus per Theodorum medicum sapienter castigat, veteri quadam de Sesostri Aegypti rege inducta historia. mutat mentem Chaganus, partemque praedae a Prisco postulat. captivi redduntur. ob id a Mauricio Priscus reprehenditur.*

P 144 V 237 1. Προσπελάσας τοιγαροῦν ὁ αὐτοκράτωρ τῇ Σηλυβρίᾳ, ἐπὶ τὴν Πείρινθον, ἣν Ἡράκλειαν εἴθισται τοῖς νεωτέροις ἀποκαλεῖν, διὰ ναυτιλίας τὰς ὁρμὰς ἐποιεῖτο. τοίνυν ταχύνουσαι νῆες παρῆσαν, τῆς περὶ αὐτὰς ἀρτίας κατασκευῆς μηδὲν πρὸς βασίλειον ἐκπομπὴν ἀποδέουσαι. τοῦ ἀπόπλου τοιγαροῦν ἀπαρχομένου τοῦ αὐτοκράτορος κατηνέχθη ὕδωρ ἐξαίσιον, ἀνέμων τε ἀκαθέκτων ἐπηκολούθει κινήματα, ὡς τοὺς ἐρέτας τούς τε προσκώπους χαίρειν φράσαντας τῇ κώπῃ ἐρέττειν παύεσθαι, τύχῃ δὲ ἐπιτρέψαι

1. Posteaquam imperator Selybriam advenit, Perinthum, quam recentiores Heracleam nominare consueverunt, navigare concupivit. expediuntur itaque perfecteque armis omnibus instruuntur naves, quae cum celeritate illum eo perveherent. ut altum tenuerunt, immensum aquarum agmen coelo ruit, ventisque immane furentibus fluctus attolluntur, ut qui ad remos sedebant, iis valere iussis labore desisterent, navigia fortunae

τὰ σκάφη, τὸν δὲ αὐτοκράτορα ἅμα τῇ περὶ αὐτὸν πεντηκοντέρῳ παραδόξῳ σωτηρίᾳ ἐν τῷ Δαονίῳ διασωθῆναι, τὴν ναυαγίαν B ἐκκλίναντα. ἐν τούτῳ δῆτα τῷ χωρίῳ καταπαννυχιζόμενος ὁ αὐτοκράτωρ, ἐξ ἑωθινοῦ αἰθρίας γενομένης, ἀναβὰς ἐπὶ τὸν βασίλειον ἵππον ἐς Ἡράκλειαν γίνεται. ἐπὶ τὸν τοίνυν Γλυκερίας τῆς μάρτυρος νεὼν ἐντεμενίζεται, ὡς οἷόν τε ἦν τιμήσας τὸ τέμενος χρήματά τε ἐπιδοὺς ἐφ' ᾧ τὰ πυρὶ καταπεπτωκότα τοῦ ναοῦ ὑπὸ τῶν Ἀβάρων πρὸς νεώτερον κάλλος μεταχωρεῖν, καὶ τὰς δυνάμεις ἐκτάξας ἀπεφοίτα τοῦ ἄστεος. ποιήσας τοίνυν παρασάγγας τέσσαρας, ἡλίου κεκλικότος στρατοπεδεύεται ἐπί τι ὕπτιον χωρίον τὴν θέσιν, πολύανδρόν τε καὶ ἀφθονίᾳ τῶν εἰς ἐπισιτισμὸν περιρρεόμενον. C κατὰ τοῦτον δὴ τὸν χῶρον τάφρον ὁ βασιλεὺς διεγράψατο. τῶν δὲ περιπόλων τοῦ αὐτοκράτορος τὰς αὐλαίας τῇ βασιλικῇ περιβαλλομένων δορυφορίας πρὸς κοσμιότητα, ἐκεκράγει γύναιον, ἡ δὲ βοὴ διήχει καὶ ἐς τὸ πυκνότερον κατεφέρετο· ὠδῖνες γὰρ παρελύπουν τὸ γύναιον. τῶν μὲν οὖν περὶ τὸν αὐτοκράτορά τις ὑπασπιστὴς ἐξεχώρει, κωλύσων τῆς δυσφωνίας τὴν ἄνθρωπον. ἐπεὶ δὲ ἐν τῷ οἰκίσκῳ ἐγίγνετο τήν τε τῆς βοῆς αἰτίαν διεπυνθάνετο, τίκτει τὸ γύναιον. ὁ δὲ τόκος πλημμέλημα D φύσεως ἐτύγχανεν ὄν. παιδίον γὰρ ἦν ὀφθαλμῶν τε καὶ βλεφαρίδων καὶ ὀφρύων ἀμέτοχον, χειρῶν τε καὶ βραχιόνων ἀλλότριόν τε καὶ ἀδιατύπωτον· πρὸς δὲ τῷ ἰσχίῳ ἰχθύος αὐτῷ οὐραῖον ἦν προσφυές. ἀτὰρ τούτου δῆτα τοῦ θεάματος ὁ ὑπασπιστὴς ἱστορήσας τὸν τρόπον ὡς τὸν βασιλέα τόν τε πατέρα καὶ τὴν μητέρα καὶ τὸ παιδίον καθείλκυσεν. ὁ μὲν οὖν αὐτοκράτωρ ἐς θέαν τοῦ

permitterent, imperator autem cum sua quinquaginta remorum navi naufragio elapsus Daoniumque proiectus praeter opinionem evaderet. ibidem transacta nocte, quia sudum erat, in equo imperiali Heracleam inivit, Glyceriaeque martyris templum ingressus et quam maxime veneratus, pecuniam ad partes eius illato per Abaros incendio vastatas ac prolapsas iterum excitandas exornandasque erogavit. deinde agmine ordinato discedens, confectis quatuor parasangis, sole iam sub terras lapso ad oppidum in clivo situm, frequens et rerum ad victum requisitarum copiis abundans, pervenit, ibidemque castra locat. satellitibus porro ad eius tabernaculum, ut decebat, excubias ducentibus, una muliercula partus cruciata doloribus, clarisonas voces iterum ac saepius effundit. egreditur de excubitoribus, qui feminam tam absono clamore prohibeat. ubi domunculam intravit causamque vociferationis exquisivit, illa partu solvitur. is naturae piaculum erat, puer sine oculis, sine palpebris, sine superciliis, sine manibus, sine brachiis, peregrinum quiddam et informe. ad coxendices praeterea cauda piscis agnata visebatur. spectaculi huius forma et modo lustrato, satelles parentes ipsos cum puero ad imperato-

τὰ μήκη τῆς ὁδοιπορίας διισχυριζομένων· ὡς δὲ τὸν Χαγᾶνον ἐπαποστείλασθαι αὐτοὺς ἐκείνους τοὺς ἑαλωκότας, ἀπολογίαν B ὑπόθεσιν ἔχοντας. πεντεκαίδεκά τε μησὶ τὴν ὁδὸν διανύσαι. τὸν δὲ Χαγᾶνον ἐπιλαθόμενον τοῦ νόμου τῶν πρέσβεων, δογματίσαι κωλύμην αὐτοῦ τῆς ἀναζεύξεως. αὐτούς τε τῶν Ῥωμαίων ἔθνος ἀκηκοότας ἐπί τε πλούτῳ καὶ φιλανθρωπίᾳ λίαν, ὡς ἔστιν εἰπεῖν, εὐκλεέστατον, ἐμπορευσαμένους τὴν εὐκαιρίαν πρὸς τῇ Θρᾴκῃ ἀναχωρῆσαι. κιθάρας τε ἐπιστρέφεσθαι διὰ τὸ μὴ ἐξησκῆσθαι ὅπλα τοῖς σώμασι περιβάλλεσθαι, τῆς χώρης αὐτοῖς ἀγνοούσης τὸν σίδηρον κἀντεῦθεν τὸν εἰρηναῖον καὶ ἀστασίαστον παρεχομένης τὸν βίον αὐτοῖς, λύραις τε καταψάλλεσθαι περιλαλεῖν οὐκ εἰδότας ταῖς σάλπιγξιν· οἷς γὰρ ὁ πόλεμος ἦν ἀνιστόρητος, εἰκότως ἂν ἔφασκον αἱρετώτερά πως ὑπεῖναι τὰ τῆς C μουσικῆς μελετήματα. ὁ μὲν οὖν αὐτοκράτωρ ἐπὶ τοῖς ῥηθεῖσι τὸ φῦλον ἀγάμενος, φιλοξενίας ἠξίου ἐκείνους αὐτοὺς τοὺς ἀπὸ τῶν βαρβάρων ἐντετυχηκότας αὐτῷ, θαυμάσας τε τούτων τῶν σωμάτων τὸ μέγεθος τό τε μεγαλοφυὲς τῶν μελῶν ἐς τὴν Ἡράκλειαν τούτους παρεπέμπετο.

D V 239 3. Τρίτη δὲ ἡμέρα, καὶ πρέσβεις ἀπὸ τοῦ βασιλείου ἐξεπέμποντο ἄστεος, ἥ τε ἀξίωσις ὑπὸ τῆς συγκλήτου ἐς τὸν βασιλέα ἐγίγνετο· ἡ δὲ ὑπόθεσις τὴν ἐπανάζευξιν τῆς βασιλέως ἐκδημίας ἐθήρα λαβεῖν. ὁ μὲν οὖν αὐτοκράτωρ μηδέν τι προσηκάμενος τῆς πρεσβείας παλινοστεῖν προστάττει τοῖς πρέσβεσι. τετάρτη δὲ ἡμέρα, καὶ ἐς τὸ πρόσω ὁ αὐτοκράτωρ μετωχετεύετο. στενῆς δὲ γεφύρας ἱκανοῖς στρατεύμασιν ὁμιλούσης, τεναγώδους

8. an ἐπιφέρεσθαι?

sibi onerosam ac molestam esse; et se, qui modo capti sint, ad Chaganum missos, uti re ipsa illi respondeant. menses quindecim in itinere peragendo consumpsisse. Chaganum, legis legatorum immemorem, eorum reditum consulto impedire. audisse Romanos potentia, et humanitate summam adeptos claritudinem. opportunitatem proinde arripuisse, et in Thraciam revertisse. citharam porro curare, quod arma tractare nesciant, quandoquidem ipsorum regio ferro careat, unde extra seditiones ac tumultus in pace ac tranquillitate aevum degant. lyris canere, cum tubis circumstrepere non didicerint. bellum enim ignorantibus optabiliorem autumabant esse exercitationem musicam. imperator hinc gentem laudans, et illos ipsos ad se adductos hospitalem in modum habens, eorumque magna corpora et magnos artus membrorum admirans, Heracleam misit.

3. Tertio die legati ex urbe imperatoria ad imperatorem a senatu mittuntur, qui eum ad redeundum a peregrinatione sollicitent; quos ille legationem adversatus domum regredi iubet. quarto die porro iter tendit, cum perangusto ponte paludibusque occurrentibus transitus militibus

τε δυσχωρίας συγκυρησάσης αὐτοῖς, δυσδιέξοδος ἦν ἡ διάβασις.
ὑπῆσαν δὲ πλησίον πηγαὶ ποταμοῦ ὃν Ξηρόγυψον προσκαλοῦσιν
οἱ πλησιόχωροι. ἀκοσμούσης τε τῆς δυνάμεως περὶ τὴν διάβα-
σιν, θρύλλου τε περὶ τὴν γέφυραν ἀναθορήσαντος, ἀνυπονοή-
του τε βοῆς προσγενομένης τῷ πλήθει, καί τινων καταχρημνι- P 147
σθέντων ὑπὸ τῆς περὶ τὸν ὄχλον ἐκθλίψεως, τοῦ ἵππου ἀποβὰς
ὁ βασιλεὺς καὶ βακτηρίαν ἑλόμενος αὐτουργὸς ἐγίγνετο κοσμιότη-
τος, καὶ τῆς ἐπιθέσεως ἀπέχεσθαι τὰ πλήθη προστάξας ἐδίδου
τῇ βαδίσει τὴν εὔροιαν, τῇ ἀναβολῇ τῆς συγχύσεως τὸ κατὰ
μικρὸν δεικνὺς ἀσφαλὲς τοῖς στρατεύμασιν. οὕτω μὲν οὖν ὁ βα-
σιλεὺς ἄσιτος διημερεύσας περὶ τὴν γέφυραν παρεῖχε τῇ δυσχω-
ρίᾳ διέξοδον. ἡλίου δὲ πρὸς δυσμὰς ἀποκλίναντος ἀπὸ σημείων
δύο τῆς γεφύρας ἐστρατοπέδευε. τῇ δὲ ὑστεραίᾳ πρὸς τῇ Ἀγ-
χιάλῳ διαγράφει τὸν χάρακα. ἡμέρας τε πέντε πρὸς ταῖς δέκα B
ἐνθαδὶ τὴν διατριβὴν ποιησάμενος ἐς τὸ βασίλειον ἄστυ ἐπάνει-
σιν, ἥκειν ἀκούσας ὑπὸ τοῦ Περσῶν βασιλέως ἐς Βυζάντιον
πρέσβεις. τρίτῃ δὲ ἡμέρᾳ, καὶ οἱ τῆς Κελτικῆς Ἰβηρίας πρέ-
σβεις ἐς τὸ βασίλειον παραγίγνονται ἄστυ· Φράγγοι δὲ ἄρα οὗ-
τοι τῇ νεωτέρᾳ γλώττῃ κατονομάζονται, αἱ δὲ προσηγορίαι τοῖς
πρέσβεσι Βόσος καὶ Βέττος. τούτους ὁ τοῦ ἔθνους δυνάστης
(ὄνομα Θεοδώριχος αὐτῷ) ἐς βασιλέα ἐξέπεμπεν, ἠξίου τε συν- C
θήκαις φορολογίας τῷ Ῥωμαϊκῷ συμμαχῆσαι καὶ δώροις ἀνελέ-
σθαι πρὸς τὸν Χαγᾶνον τὸν πόλεμον. ὁ μὲν οὖν αὐτοκράτωρ
τοὺς πρέσβεις φιλοφρονησάμενος δώροις, ἀπόμισθον τὴν ξυμμα-

perdifficilis efficitur. prope aberant fontes fluminis quem accolae illius loci Xerogypsum indigitant. turbatis igitur et confusis ordinibus circa transitum, tumultuque ad pontem excitato, et clamore improviso per multitudinem exorto, et nonnullis ex collisione incedentium praecipitatis, imperator ex equo descendens sumpto in manus baculo transeuntes per semet in ordinem redigit, turbamque mutuum comprimere vetans intervalla praescribit, ac transitum remota confusione paulatim tutum securumque exercitui reddit. sic imperator circa pontem die per inediam exacto, iniqua loca transgrediendi facultatem comparabat. sole ad occasum devergente a ponte altero lapide tentoria figit, et die sequenti apud Anchialum similiter. illic dies quindecim commoratus, cum de legatorum regis Persarum adventu Byzantium accepisset, domum rediit. die tertio etiam legati Celtiberorum, qui hodie Franci dicuntur, Bosus et Bettus in urbe adsunt. huius gentis princeps Theodoricus tributum pro societate cum Romanis coeunda et pretium pro bello adversus Chaganum gerendo ab imperatore paciscebatur. qui legatos muneratus humaniter, et barbaros a Romanis exigere pecuniam inique patiens, hortatur Francos

χίαν ἐκέλευσε Φράγγοις παρέχεσθαι, ἀργυρολογεῖσθαι τὸ Ῥωμαϊκὸν ὑπὸ τῶν βαρβάρων οὐκ ἀνεχόμενος.

Ὁ δὲ Χαγᾶνος ἐπενθήκας λαμβάνειν τὰς συνθήκας ἐζήτει τὸν Καίσαρα. ἐπεὶ δὲ ὁ αὐτοκράτωρ τοῖς λόγοις τοῦ βαρβάρου ὤτων οὐκ ἐδίδου βαλβῖδα, ἀντελάμβανε παραυτίκα τὸν πόλεμον. καὶ οὖν ὁ Χαγᾶνος τοῖς Σκλαβηνοῖς προστάττει ἀκατίων D πλήθη τεκταίνεσθαι, ὅπως πρὸς διάβασιν σχοίη τὸν Ἴστρον πει- V 240 θήνιον. (4) οἱ μὲν τῆς Σιγγηδόνος οἰκήτορες ἀθρόαις ἐφόδοις τισὶν τῶν Σκλαβηνῶν τοὺς πόνους ληΐζονται, καὶ πυρὶ παραδιδοῦσι τὰ πρὸς ναυτιλίαν τούτων ἐπίχειρα. διά τοι τοῦτο πολιορκοῦσι τὴν Σιγγηδόνα οἱ βάρβαροι, ἡ δὲ πόλις ἐς τοὔσχατον ἀφικομένη κακοῦ ἰσχνὰς ἐπεφέρετο σωτηρίας ἐλπίδας. ἑβδόμη δὲ P 148 ἡμέρα, καὶ ὁ Χαγᾶνος τοῖς βαρβάροις προσέταττε τῆς πολιορκίας ἀπέχεσθαι γενέσθαι τε ὡς αὐτόν. ἐπεὶ δὲ τὸ βάρβαρον τούτων αὐτήκοον γέγονεν, ἀπολιμπάνει τὸ πόλισμα χρυσῶν δαρεικῶν χιλιάδας ἀπενεγκάμενος δύο τράπεζάν τε χρυσόπαστον καὶ στολήν. καὶ οὖν ὁ Χαγᾶνος παρασάγγας ποιησάμενος πέντε στρατοπεδεύεται ἀνὰ τὸ Μίρσιον, πλήθη τε Σκλαβηνῶν ξυλουργεῖν παρεσκεύαζεν, ὅπως τὸν ποταμὸν τὸν λεγόμενον Σάον ναυτιλλόμενος διανήξηται. ὁ μὲν οὖν πρὸς τὴν ἐπιστρατείαν ἠπείγετο, οἱ δὲ σύνδρομον τῷ προστάγματι τὴν ναυτιλίαν παρείχοντο· τοιαῦτα γὰρ οἶδε τῶν ταττομένων ὁ φόβος ταξιαρχῶν ἀπεργάζεσθαι. ἐπακτρίδων γοῦν ἄρτι τῷ βαρβάρῳ γενομένων τε B καὶ προκειμένων, τὸν ἀγχίθυρον ποταμὸν διαπεραιοῦται τὸ βάρβαρον. ὁ μὲν οὖν Χαγᾶνος δυνάμεως συντάξας ἀποδασμὸν προ-

ut citra stipendium seu vectigal, quod postulabant, armorum societate secum devinciri vellent.

Chaganus item pacta tributa augeri a Caesare contendebat; cui cum aures non darentur, continuo bellum moliri et Sclavis bonum numerum parandorum actuariorum ad Istrum traiiciendum indicere. (4) cives Singidonii Sclavorum labores crebris impressionibus depopulantur, eorumque in fabricandis navibus opera ignibus exurunt. quocirca barbari urbem obsidione circumdant. quae ad extremam devoluta miseriam spe salutis exigua alebatur, cum luce septima Chaganus barbaris edicit uti obsidione relicta ad se veniant. quibus dicto audientibus, ab obsessis duobus daricorum millibus mensaque auro illusa ac veste acceptis ab oppido recedit, confectisque parasangis quinque ad Mirsium castrametatur, ac multitudini Sclavorum componendarum navicularum ad amnem Saum transeundum negotium iniungit. et ille quidem expeditionem urget: hi iussa illico complexi, et constitutos decuriones ad opera exigenda metuentes, curandae navigationi operam dant. fabricatis igitur iam navigiolis et in medio propositis, vicinum flumen barbari transmit-

θέειν ἐκέλευε καὶ φοβερὰν τὴν ἐντυχίαν τῆς ἐπιστασίας Ῥωμαίοις παρέχεσθαι. πέμπτῃ δὲ ἡμέρᾳ, καὶ τῇ Βονωνίᾳ προσομιλεῖ. ὁ δὲ αὐτοκράτωρ στρατηγὸν χειροτονεῖ τῆς Εὐρώπης τὸν Πρίσκον, αὐτοσχεδίῳ δυνάμει συμφράξας αὐτόν. ὁ μὲν οὖν Πρίσκος ὑποστράτηγον Σαλβιανὸν ποιησάμενος, χιλίοις τε καθοπλίσας ἱππεῦσιν, ἐκέλευεν προκατασχεῖν τῶν ἐχυρωμάτων τὸ ἄσυλον. ὁ μὲν οὖν τῆς Προκλιανῆς τὰς διαβάσεις ἀγκαλισάμενος, χάρακα θέμενος ἐναυλίζεται, πεμπταῖός τε περαιτέρω τῶν ὀχυ- C ρωμάτων γενόμενος συντυγχάνει τοῖς προθέουσι τῶν βαρβάρων. διαγνοὺς τοιγαροῦν οὐκ ἀξιόμαχον ἐπιφέρεσθαι δύναμιν πρὸς παράταξιν, πρὸς τὴν τῶν ἐχυρωμάτων αὖθις ἀσφάλειαν τὴν καταφυγὴν ἐποιήσατο. οἱ δὲ βάρβαροι προσβαλόντες ταῖς διαβάσεσιν ἐς τὸ πρόσω χωρεῖν τὴν ἐγκοπὴν ἀπελάμβανον, τῆς ἀντιθέτου θυραυλούσης τῶν Ῥωμαίων δυνάμεως κωλύμην παρεχομένης τοῖς τῶν βαρβάρων κινήμασι. καὶ γοῦν ἐντεῦθεν περιίσταται Ῥωμαίοις τε καὶ βαρβάροις ἐς τὸ καρτερὸν συμπλοκή. διημερεύσας τοίνυν ὁ πόλεμος καὶ πολλῶν ὑπὸ τῶν βαρβάρων ἀναιρεθέντων, τὴν κρείττονα ὁ τοῦ Ῥωμαϊκοῦ ὑποστράτηγος ῥοπὴν ἀπελάμβανε. πρώτῃ τε φυλακῇ τῆς νυκτὸς καὶ ὡς τὸν Χαγᾶνον τὸ βάρβαρον γίνεται, ἀφηγεῖταί τε τῶν συγκυρησάντων τὴν ἔκβασιν. ἐξ ἑωθινοῦ τοιγαροῦν χιλιάσιν ὀκτὼ τὸν Σαμοὺρ ὁ Χαγᾶνος συμφράξας ἀπέστελλεν. Ῥωμαῖοι δὲ τὴν ἐπιγεγονυῖαν πληθὺν μὴ θαυμάσαντες ἀπρὶξ τῆς παρατάξεως εἴχοντο. ἡττηθέντων δὲ τῶν βαρβάρων, ἀναλαβὼν ὁ Χαγᾶνος τὰς δυνάμεις ἐχώρει πρὸς πόλεμον. ὁ δὲ Σαλβιανὸς καταπλαγεὶς τὴν ψυχὴν ἐπὶ τῷ πλήθει τῶν ἀπείρων δυνάμεων, δευτέρᾳ φυλακῇ τῆς

tunt. Chaganus partem copiarum segregat, quae praecurrat Romanisque adventus sui terrorem iniiciat. quinto die Bononiam accedit. imperator Priscum praetorem Europae declarans, extemporalem ei manum adiungit. is legatum sibi Salvianum creat, cui praecipit uti cum mille equitibus claustra praeoccupet. Salvianus Proclianes transitum cingens aggere excitato insidet. die quinto egressus barbaris praecedentibus occurrit, ac se ad pugnam viribus imparem cognoscens intra claustrum securitatis causa regreditur. barbari cum ad fauces pervenissent, ultra procedere vetabantur propterea quod Romani in stativis manentes iis sese opponerent. hic inter utrosque pugna atrox per diem totum commissa est, multisque barbarorum interfectis Romanus legatus praevaluit. prima noctis vigilia barbari ad Chaganum revenientes acta exponunt; qui mane Samurium cum octo millibus mittit. Romani copia tanta superveniente nihil territi praelio mordicus instant. victis barbaris Chaganus cum reliquiis accurrit. Salvianus innumerabili multitudine percul-

νυκτὸς τὰς διαβάσεις ἀπολιπὼν ὡς τὸν Πρίσκον ἐπάνεισι.

P 149 V 241 (5) ὁ δὲ Χαγᾶνος ἡμέρας τρεῖς ἀνὰ τὸν χῶρον τὸν πρὸ τῶν ἐχυρωμάτων ἐνδιατρίψας, τεταρταῖος διέγνω τὸ Ῥωμαϊκὸν ἀποδρᾶσαν. πέμπτῃ δὲ ἡμέρᾳ ὑπὸ πρώτην ἕω τῆς πορείας ἀπήρχετο, καὶ διαπεραιοῦται τὰς δυσχωρίας τῶν διαβάσεων. γίνεται γοῦν ἡμέρᾳ τρίτῃ εἰς τὸ λεγόμενον Σαβουλέντι Κανάλιν. εἶτα τῇ Ἀγχιάλῳ προσέμιξεν. ἀπάρας τε ἐντεῦθεν καὶ πρὸς τῷ νεῷ Ἀλεξάνδρου τοῦ μάρτυρος γεγονὼς ἐδίδου τοῦτον τῷ παμφάγῳ πυρὶ παρανάλωμα. τρία τε σημεῖα μεταβὰς τοῖς ἐπὶ κατασκοπῇ παρὰ τοῦ Ῥωμαίων στρατηγοῦ παραπεμφθεῖσι συνετύγχανεν.
B ὁ μὲν οὖν βάρβαρος αἰκισμοῖς διηρευνᾶτο τίς ἂν εἴη ὁ τῶν ἑαλωκότων σκοπός, τήν τε αἰτίαν τῆς πορείας αὐτοῖς ἐρεβοδιφούμενος ἤσχαλλεν, οὐκ ἔχων μαθεῖν τὸ τῆς ἀληθείας ἀκίβδηλον· νόθοις γὰρ αὐτὸν ἐξεκρούσαντο λόγοις. πέμπτης δὲ παρῳχηκυίας ἡμέρας πρὸς τὰ Δριζίπερα μετοχετεύει τὸν χάρακα, τήν τε πόλιν ἐνεχείρει πως παραστήσασθαι. ἐπεὶ δὲ οἱ τοῦ ἄστεος ἐς τὸ καρτερὸν παρετάττοντο, τὰς ἑλεπόλεις ἑβδόμῃ ἡμέρᾳ ὁ βάρ-
C βαρος ἐτεκταίνετο. θρύλλου γοῦν ἐξαισίου προσπεσόντος τῇ πόλει, ἐπισάλων τε τῶν τῆς σωτηρίας ἐλπίδων γινομένων αὐτοῖς, εἰς ἐπίπλαστον θράσος ἐφοίτησαν· τὰς γὰρ πύλας ἀναπετάσαντες τοῦ πολίσματος ἠπείλουν τοῦ ἕρκους καταφρονεῖν, ἰσοστάσιόν τε πρὸς τοὺς βαρβάρους ἀναλαμβάνειν τὸν πόλεμον. οἱ μὲν οὖν μέχρι φωνῆς καὶ τοῦ σχήματος τὴν παράταξιν ποιησάμενοι, ὑπὸ τῆς δειλίας καταπληττόμενοι οὐκ ἐξεχώρουν τοῦ ἄστεος·
D θείᾳ δὲ φροντίδι τινὶ ἀπείργετο τὸ βάρβαρον ἐπιτίθεσθαι. ἔδοξε

sus, transitu relicto secunda noctis vigilia ad Priscum est reversus. (5) Chaganus triduum in loco ante claustrum moratus, quarto die Romanos fugisse cognovit. quinto die sub primam auroram iter inceptat, difficilemque locum illum pertransit. tertio die Sabulentum Canalin dictum locum, inde Anchialum pervenit. Anchialo discedens, martyris Alexandri aedem edacibus flammis pro ludo exurit. inde tribus millibus distans in speculatores Romanos incidit; quos interceptos flagris quid vellent curiose interrogat. sed quanquam causam itineris indagaret sollicitissime, tamen, quoniam fictis eum responsis morabantur, liquidam veritatem, quod ei stomachum movit, elicere non potuit. post diem quintum Drizipera profectus urbem subigere aggreditur. oppidanis fortiter se defensantibus, die septimo machinas expugnatorias fieri curat. cum igitur civitatem ingens perturbatio incesseret et spes salutis fluctuaret, incolae audaces sese atque imperterritos fingunt. nam portis reseratis oppidum circumsidentes sese contemnere et aequo Marte cum illis dimicaturos iactitant. caeterum voce tantum et specie quadam tenus congredientes, prae timore magno intra moenia haerent. divina autem providentia quaedam barbaros ab urbe opprimenda cohibuit. visus est

γὰρ ἡμέρας μεσούσης ὁρᾶν Ῥωμαϊκὰς ἀπείρους συμφράττεσθαι φάλαγγας, ἀποχωρεῖν τε τοῦ ἄστεος καὶ ἀνὰ τὸ πεδίον ἐπείγεσθαι ὀργώσας πολεμεῖν καὶ θανατᾶν πρὸς παράταξιν. ἀσπάζεται τοίνυν αὐτοσχέδιον ὁ Χαγᾶνος ἀπόδρασιν. καὶ δόκησις ἦν τὸ ἀντίμαχον, μορμολυκεῖον ὄψεως καὶ διανοίας κατάπληξις. πέμπτῃ δὲ ἡμέρᾳ, καὶ ὁ Χαγᾶνος ἐπὶ τὴν Πείρινθον γίγνεται· Ἡράκλειαν δὲ ταύτην Ῥωμαῖοι προσαγορεύουσιν. ἐπεὶ δὲ Πρίσκος ἐξαπιναίως εἶδε τὸ βάρβαρον, τῇ ἐπιβολῇ ἀναβολὴν οὐ παρείχετο. συμπλακεὶς τοιγαροῦν τοῖς ἀνὰ τὸν Χαγᾶνον πρὸς πόλεμον αὐθωρὸν τοῖς πολεμίοις τὰ νῶτα ὑπέδειξε, τῇ ἀφθονίᾳ τῆς ἀντιθέτου δυνάμεως φέρειν οὐκ ἔχων τῆς μάχης τὴν ἔνστασιν.
ἀτὰρ εἰς Διδυμότοιχον ἅμα τῷ πεζικῷ ὁ τῶν Ῥωμαίων στρατη- P 150
γὸς ὑπεχώρησε. μετὰ τοῦτο εἰς Τζουρουλὸν ἀφικόμενος ἀσυλίαν ταῖς δυνάμεσι τὴν πόλιν περιεβάλετο. τὸ δὲ βάρβαρον τὸ ἄστυ περικαθήμενον γεννικῶς ἐπολιόρκει τὸν Πρίσκον. τούτων γοῦν ὁ αὐτοκράτωρ ἀκηκοὼς ἠδημόνει τε καὶ ἐδεδίει τὴν ἔκβασιν, καὶ μέγιστον τάραχον ἔσπασε τῇ ἀγγελίᾳ τοῦ συγκυρήσαντος. τετάρτῃ δὲ ἡμέρᾳ, καὶ ἀγχινοίας ἀκόλουθον βουλὴν προηνέγκατο· τῶν γὰρ σωματοφυλάκων τινὰ μετάκλητον ποιησάμενος ἑκοντὶ ἁλῶναι αὐτὸν ὑπὸ τῶν βαρβάρων ἐκέλευε, φάσκειν τε αὐτοκρα-
τορικὰς ὡς τὸν Πρίσκον ἐπιστολὰς ἐπιφέρεσθαι, ὅπως οἱ βάρβα- B
ροι καθά πού τι ἕρμαιον ταύτας ἀναλεξάμενοι τῆς τῶν ἐγγεγραμμένων δυνάμεως αὐτήκοοι γένοιντο, κἀντεῦθεν ἐκδειματούμενοι τὴν πρὸς τὰ οἴκοι ἀνάζευξιν φενακισθέντες ποιήσαιντο. τοιαῦτα δὲ ἄρα ἐνεκεχάρακτο γράμματα.

enim Chaganus medio diei videre innumeras Romanorum phalangas una frementes ex oppido procedere, et in campum ad animas in acie profundendas cupidissime properare. hinc se in fugam subito coniicit, tametsi quos viderat adversarii nihil essent nisi vana opinio, terriculamentum oculorum et consternatio animi. die quinto Chaganus Perinthum (Románis Heracleam) venit. quem Priscus ut inopinato conspexit, rei inceptandae moras interponendas non censuit. conserta igitur cum hostibus manu, eadem hora terga vertit, cum vim et impetum tam frequentis exercitus sustinere nullo modo posset. Didymotichum autem cum peditatu se contulit. post Zurulum petens muros pro tutamine habuit. barbari urbem circumdantes Priscum magna mole oppugnant. quibus intellectis imperator mirifice angebatur, timebatque exitum, et tanti casus nuntio perturbabatur vehementissime. quarto die solers consilium reperit. accito quippe uno de corporis custodibus, iussit ut se barbaris capiendum ultro offerret, diceretque se imperatorias ad Priscum litteras apportare; quo barbari velut insperatum adepti lucrum eas recitantes, auribus ipsi suis quae scripta essent perciperent, ex eoque perterriti, et delusi copias domum reducerent. earum litterarum exemplum infra sequitur.

V 242 „Πρίσκῳ τῷ ἐνδοξοτάτῳ στρατηγῷ τῆς περὶ τὴν Θρᾴκην
ἑκατέρας δυνάμεως. ἡ τῶν ἀλιτηρίων βαρβάρων ἐγχείρησις
θρύλλον τὸ παράπαν οὐκ ἐνεποίησε τῇ ἡμῶν εὐσεβείᾳ· τοὐναν-
τίον μὲν οὖν καὶ ἐπιμελεστέρους πρὸς τὴν τούτων ἀπώλειαν ἀπειρ-
C γάσατο. καὶ τοῦτο γινωσκέτω ἡ σὴ ἐνδοξότης, ὅτι ἀπαισίως
μετ' αἰσχύνης καὶ πολλοὺς ἀποβαλόμενος ἔχει ὁ Χαγᾶνος ἀπο-
χωρῆσαι εἰς τὴν ὑπὸ Ῥωμαίων αὐτῷ ἀφιερωθεῖσαν χώραν. διὰ
τοῦτο ἅμα τῷ εὐτυχεστάτῳ στρατῷ καρτερήσει ἡ σὴ ἐνδοξότης
ἐν Τζουρουλῷ τῇ πόλει, καὶ δείξει περιρρεμβεῖν τοὺς ἐπικατα-
ράτους Ἀβάρους. ἐπέμψαμεν γὰρ διὰ θαλάσσης πλοῖα καὶ στρα-
τόν, ἵνα ἀνέλθωσιν εἰς τὰς φαμιλίας αὐτῶν καὶ πάσας αἰχμαλω-
τεύσωσι, καὶ ἐντεῦθεν ἀναγκασθῇ μετὰ αἰσχύνης καὶ μεγάλης
D ζημίας ὁ ἐπικατάρατος τῶν Ἀβάρων ἡγούμενος εἰς τὴν ἑαυτοῦ
γῆν ὑποστρέψαι ἀπὸ τῆς καθ' ἡμᾶς πολιτείας."

Ὁ μὲν οὖν ἐπίπλαστος ἄγγελος τὸ προστεταγμένον πέρατι
παρεδίδου ἑβδόμῃ ἡμέρᾳ, καὶ ὑπὸ τῶν βαρβάρων ἁλοὺς τὰς βα-
σιλείας δέλτους παρεδίδου ἑκών· ὁ δὲ Χαγᾶνος τὰ ἐμφερόμενα
ἐν αὐταῖς ὑφ' ἑρμηνέως τῇ πατρίῳ φωνῇ διαγνοὺς ὑπὸ τῶν λό-
γων ἀλωπεκίζεται, καὶ περιδεὴς γενόμενος καὶ συνθήκας πρὸς
τὸν Πρίσκον διαθέμενος ἐπ' ὀλιγίστῳ χρυσίῳ ἐς τὴν ἑαυτοῦ ὡς
τάχιστα ἐπανέζευξεν. ἡ γὰρ τῆς φενάκης ἰσχὺς λίαν ἐγκρατῶς
ἀπεβουκόλει τὸν βάρβαρον.

P 151 6. Ὁ μὲν οὖν στρατηγὸς μετοπώρου ἀρχομένου διαλύσας
τὸν χάρακα ἐς Βυζάντιον ἧκε, Ῥωμαῖοι δ' ἀπόμαχοι εἰς τὴν
Θρᾴκην ἐχέοντο, ἀνὰ τὰς κώμας διατρεφόμενοι. ἦρος δὲ ἀρ-

"Prisco utrarumque Thraciae copiarum duci illustrissimo S. nefandorum barbarorum conatus nihil penitus pietatem nostram conturbavit: quin contra potius ad eos disperdendos diligentiores reddidit. sciat hoc tua gloria, Chaganum infeliciter, cum dedecore, multis suorum desideratis in provinciam sibi a Romanis definitam velit nolit reversurum. quocirca Zuruli cum fortunatissimo exercitu tua gloria perseverabit, et execrabiles Abaros circumvagari faciet. classem enim et classiarios per mare misimus, qui familias eorum invadant et captivos abducant, ut sic detestandus Abarum dux e solo nostro in terras suas recedere compellatur."

Personatus ille tabellarius die septimo iussa executus intercipitur: litteras imperatorias libens tradit. Chaganus patria lingua per interpretem cognitis quae illic exarata extabant, astu deluditur; magnopereque rebus suis diffisus pauxillum auri in conditione a Prisco accipiens, in ditionem suam redire maturat. vis enim deceptionis barbarum mirabiliter domum dispellebat.

6. Dux instante iam hieme exercitum dimittit Byzantiumque redit. Romani bello soluti per Thraciam diffunduntur, ac per vicos alimoniam

χομένου ὁ στρατηγὸς ὑπὸ τοῦ βασιλέως παρὰ τὸν Ἴστρον ἐπέμπετο, ὅπως τὰ τῶν Σκλαβηνῶν γένη διανήξασθαι τὸν ποταμὸν κωλυόμενα ἀφοβίαν ἄκοντα τῇ Θρᾴκῃ παράσχοιντο· ἔφασκε γὰρ ὁ αὐτοκράτωρ τῷ Πρίσκῳ, οὐκ ἂν ἠρεμοίη τὸ βάρβαρον, εἰ μὴ τὸν Ἴστρον ἐς τὰ μάλιστα τὸ Ῥωμαϊκὸν περιφρουρήσοιτο. ὁ μὲν οὖν Πρίσκος τῆς ἱππικῆς δυνάμεως τὰς ἡνίας ἐλάμβανε, Γέντζων δὲ τῆς πεζικῆς πληθύος ἐπιστατεῖν ὑπὸ τοῦ βασιλέως προστάττεται. τῇ δὲ περὶ τὴν Ἡράκλειαν ἦρος μεσοῦντος τὸ Ῥωμαϊκὸν B
συναγείρεται. ἑβδομαῖος δὲ ὁ στρατηγὸς τὴν τάφρον μεταφοιτᾶν ἐγκελεύεται, βάσανόν τε τοῦ συμμαχικοῦ ποιησάμενος, καὶ τὰς δυνάμεις διαριθμησάμενος, τὰς ἐγκυκλίους τῶν χρημάτων αὐτοῖς διανομὰς ἐποιήσατο. ἀπάρας ἐντεῦθεν, καὶ τέσσαρας ποιησάμενος χάρακας, ἐπὶ τὰ Δριζίπερα γίνεται. πέντε δὲ πρὸς ταῖς δέκα ἐνδιατρίψας ἡμέραις τῷ χώρῳ, εἴκοσι χάραξι πρὸς τὴν Δορόστολον παραγίνεται. ὁ μὲν οὖν Χαγάνος ἀκοῇ τὴν Ῥωμαϊκὴν ἐπιστρατείαν διέγνωκε, κἀντεῦθεν πρέσβεις ὡς τὸν Πρίσκον ἐξέπεμπεν. ἀφικομένων γοῦν τῶν πρέσβεων ὡς τὸν Πρίσκον ὁ C
Κὸχ (βάρβαρος δὲ οὗτος) τῶνδε τῆς πρεσβείας ῥημάτων ἀπήρξατο. "τί τοῦτο, θεοί; οἷς τὸ δεισιδαιμονεῖν ἐστὶν ἁρμόδιον, ἄρτι που τὸ δυσσεβεῖν καθέστηκε πρόχειρον. εἰρήνην τὸ Ῥωμαϊκὸν παρελύσατο, συνθήκης θεσμὸς κιβδηλεύεται, ἅλες ὁμολογίας ἠθέτηνται, πίστεως αἰδὼς κατηνάλωται, ὁ μεσίτης ὅρκος ἀπόλωλεν. Ἴστρος ὁρᾷ πολεμίαν ὄψιν καὶ χάρακα καὶ σιδηροφοροῦντα τὸν Πρίσκον τὸν πρὸ μικροῦ τὴν εἰρήνην Ἀβάροις τε καὶ Ῥωμαίοις νυμφαγωγήσαντα. ἀδικεῖς, ὦ Καῖσαρ, D

sibi quaeritant. vere ineunte Priscus auctoritate imperatoris ad Istrum movet, ut ab eo Sclavorum gens flumen traiicere prohibita vel nolens securitatem et otium Thraciae praestaret, aiebat siquidem Prisco imperator barbaros nunquam quieturos, ni Romani Istrum quam acerrime custodirent. Priscus itaque copias equestres ducit, pedestribus Genzonem praeponit. adulto vere ad Heracleam Romani congregantur. die septimo dux castra movere iubet, lustratisque auxiliaribus et copiis recensitis stipendia in orbem redeuntia constituit. abiens inde quartis castris Driziperis adest; quo in loco diebus quindecim consumptis, vicesimis castris Dorostolum advenit. Chaganus de infesto Romanorum adventu certior factus legationem ad Priscum mittit. ex qua Cochus quidam barbarus hunc in modum disseruit. "quid hoc rei est? o dii immortales. quibus proprium erat religiones colere, iis nunc facile ac promptum est impie agere. pacem Romani violarunt, foederis lex vitiata est, sal pactionis infatuatus, fidei reverentia evanuit, sequestre iusiurandum periit. Ister hostile spectaculum, et Priscum, qui paulo ante pacem Romanis et Abaris desponderat, ferro armatum videt. iniquus es,

V 243 ἀνοσίως κλέπτων τὸν πόλεμον. οὐκ ἔστι βασιλικὸν τὸ ἐγχείρημα, οὐκ ἐξουσίας ἔτι τὸ φρόνημα, τὸ βούλευμα ληστρικόν, τὸ δρᾶμα δημοκατάρατον. ἢ τῆς στεφάνης κατάθου τὸ κόσμιον, ἢ μὴ τῆς ἐξουσίας τὴν εὐσχημοσύνην διάφθειρε. ὑμεῖς τοῖς βαρβάροις ἐπολιτεύσατε τὴν φαυλότητα. τὸ παρασπονδεῖν οὐκ ἐγνώκαμεν, εἰ μὴ διδασκάλους ὑμᾶς τοῦ ψεύδους εὑρήκαμεν. οὓς ὁ πόλεμος ἠρεμοῦντας οὐκ ἔγνωκεν, οὐδὲ τὸ τῆς εἰρήνης ἀπομάχους τεθέαται ὄμμα. πολεμῶν ἀδικεῖς, σπενδόμενος ἀνιᾷς. καὶ πότε σοι πίστις ὑπολιμπάνεται τοῦ στέργειν τὴν ἡσυχίαν ἀπό-
P 152 λεμον; τὴν χθές, στρατηγέ, φιλανθρωπίαν αἰδέσθητι. φίλους ἐσομένους ὑμᾶς, οὐ πολεμίους ἐσώσαμεν. ὢ φιλανθρωπίας ὠδινούσης λύπην καὶ κίνδυνον! οἱ σωτηρίας παρ' ἡμῶν ἀρυσάμενοι νῦν τὴν ἀντίθετον ἀμοιβὴν ταλαντεύονται. καὶ πολεμούμεθα σὺν θεοῖς· πολιορκεῖται γὰρ ὅρκων ἀκρόπολις, καὶ τυραννεῖται τὸ κρεῖττον ὑπὸ τοῦ χείρονος, καὶ δόλος παρρησιάζεται, καὶ τὸ ψεῦδος ἡγεμονίαν πιστεύεται, καὶ τὰ τῆς ἐπηρείας ἀναφανδὸν ἐστρατεύσατο. εἰ μὲν οὖν, στρατηγέ, γνωσιμαχήσεις αἰδούμενος, μέχρι τῆς αἰσχύνης τὴν ζημίαν ἀποίσῃ· εἰ δὲ μή, τὴν ἀντίδοσιν ἕξεις διδάσκαλον, μετὰ τῶν ἀτυχημάτων τὸν μετάμελον ἀντεπάγουσαν." τούτων διαπεραιωθέντων τῶν λόγων,
B καὶ τῆς δυνάμεως βαρυνομένης ὑπὸ τῆς διαλέξεως, ἐδίδου τῷ θράσει τὴν συγγνώμην ὁ Πρίσκος καὶ βαρβάροις λόγοις συγχώρησιν. οὐκοῦν ἀνθυποφορὰν τῇ προπετείᾳ μὴ παρασχόμενος

Caesar, dum fraude mala bellum nefarie struis. non est imperatorium quod moliris; non sunt ab auctoritate isti spiritus: consilium istud est praedatorium; palam execrabile est factum tuum. aut coronae ornamentum depone, aut potestatis decus ne corrumpe. vos barbaros ad nequitiam instituistis. foedus dissolvere nescissemus, nisi vos mendacii magistros invenissemus, qui a bello nunquam feriamini et pacem nunquam complectimini. dum bellum geris, iniustus es: dum foedus percutis, moerorem ac dolorem affers. et quando tandem credi poterit te quietem ab armis diligere? quam nuper vobis humanitatem exhibuimus, Prisce dux, reverere. tanquam amicos, non hostes futuros vos servavimus. pro humanitas! quae nobis aegritudinem periculumque parturis. qui nobis salutem suam debent, nunc longe aliud remetiuntur, et nos iuxtaque deos ipsos oppugnant. obsidetur enim arx sacramenti, et quod praestantius est, a deteriore vexatur, et dolus libere grassatur, et mendacio principatus committitur, et iniuria palam exercitum ducit. si igitur tu, dux, vires tuas infirmas, nostras contra validas agnoscens, nos reverebere, damnum tuum praeter pudorem nullum erit. sin autem, ultio tibi magistra fiet, quae cum cladibus poenitentia adducet." hac oratione finita, cum milites gravem ex ea molestiam doloremque traxissent, Priscus audaciae et loquentiae barbarae veniam impertivit; nec

κατὰ τῶν Σκλαβηνῶν ἔφησεν ἄρασθαι πόλεμον· μὴ γὰρ νῦν ταῖς Ἀβαρικαῖς συνθήκαις τε καὶ σπονδαῖς καὶ τὸν Γετικὸν καταλύσασθαι πόλεμον. (7) δωδεκάτῃ δὲ ἡμέρᾳ, καὶ ναῦς ὁ στρατηγὸς C συμπηξάμενος τὸν ποταμὸν διενήξατο. ἀκηκοώς τε τὸν Ἀρδάγαστον ποιησάμενον τὰ τῶν Σκλαβηνῶν πλήθη ἀπόδημα, ὅπως λείαν ἐπικυρήσειε, μεσούσης νυκτὸς τὴν ἔφοδον ἐμπορεύεται. ὁ μὲν οὖν Ἀρδάγαστος ταῖς ὄψεσι τῶν ὀνειράτων χαίρειν εἰπών, τῇ τε τοῦ θρύλλου ἐπιτάσει διανήψας, τῆς ἵππου γυμνῆς ἐπιβὰς τὴν φυγὴν ἐπεποίητο. περιπίπτει γοῦν Ῥωμαίοις ὁ βάρβαρος, καὶ ἀποβὰς τῆς ἵππου κατασυστάδην τὴν μάχην ἀσπάζεται. ἐπεὶ δὲ φέρειν οὐκ εἶχε τὴν ἀντίθετον ῥύμην, διὰ δυσχωρίας τινὸς τὴν φυγὴν περιβάλλεται. ὁ οὖν Ἀρδάγαστος D ἐπροτέρευε τοῖς κινήμασιν, ἐθάδα πρὸς τοῦτο κεκτημένος τὴν φύσιν. σκαιοτέρας δὲ τύχης συμπεσούσης αὐτῷ πρέμνῳ μεγίστου δένδρου τινὸς περιπίπτει. ἐντεῦθεν τοῖς διώκουσιν ἦν ἂν θήραμα καὶ μάλα εὐκτόν, εἰ μὴ ποταμὸς αὐτῷ σωτήριος γέγονε· διανήξας γὰρ ἀποδιδράσκει τὸν κίνδυνον. οἱ μὲν οὖν Ῥωμαῖοι πλήθη Σκλαβηνῶν μαχαίρας ποιησάμενοι δεῖπνον τὴν ἀμφὶ τὸν Ἀρδάγαστον διατέμνονται χώραν, ἐν ἔρσει τε ξύλων τοὺς ζωγρηθέντας ποιήσαντες ἐς Βυζάντιον ἔπεμπον· ὁ δὲ Πρίσκος ἐγίγνετο τοῖς στρατεύμασιν ἀκοσμίας ὑπόθεσις. ἐνεχείρει γὰρ P 153 τὴν πρώτην τῆς λείας ἀπόμοιραν τὸν βασιλέα κομίζεσθαι, τὴν δὲ δευτέραν τὸν τοῦ αὐτοκράτορος παῖδα τὸν μείζονα, εἶτα καὶ τὴν λοιπὴν τοῦ βασιλέως ἐπιγονὴν μερίδας ἀποκληρώσασθαι, τῷ

tam protervae linguae quidquam opponens, bellum hoc adversus Sclavos susceptum esse confirmavit: non enim pactis et foederibus cum Abarum gente initis etiam in Getas expeditionem impediri. (7) die duodecimo navibus constructis dux fluvium transnavigat, auditoque Ardagastum Sclavorum manum sedibus suis ad praedas agundas eduxisse, ubi plerumque noctis processit, hostiliter in eum tendit. Ardagastus strepitus magnitudine expergefactus, visa somniorum valere iubens et equum nudum conscendens, fuga saluti consulit. porro in Romanos incidens, equo relicto, pugna stataria se defendit. sed quia contra certantibus haud quaquam par erat, per loca impedita fugam capessit. caeterum Ardagastus pedibus evasit, quod natura illum huic rei assuefecerat. fortuna porro quadam sinistra inter fugiendum in magnae arboris truncum offendit, unde insequentibus perquam optata praeda fuisset, nisi fluvius ei salutem dedisset; quo tranato discrimen effugit. Romani ingentem Sclavorum numerum gladiis perimunt; Ardagasti regiunculam arboribus segetibusque corruptis devastant; captos boiis in cervices inductis Byzantium ablegant. sed penes Priscum perturbati exercitus causa fuit. studebat enim uti primam partem de praeda imperator auferret, alteram

ἀφθόνῳ τῆς βασιλικῆς εὐτεκνίας τὴν πλεονεξίαν ἐμπορευόμενος.
ἐπεὶ γοῦν ἐξιτήλοις σκύλοις τὸ Ῥωμαϊκὸν καθυβρίζετο, τυραννὶς
ἐπεφοίτα καὶ τάραχος ἡγεμόνευεν. ὀρρωδήσας γοῦν ὁ στρατηγὸς
τὸ πραχθέν, καὶ μεταμέλῳ τῶν προϋπηργμένων τὴν ἐπιβολὴν
ὀβελίσας, ταῖς δευτέραις φροντίσιν ἐδίδου τὰ νικητήρια. τοίνυν
V 244 ἐπὶ λυκόφως τοὺς ἡγεμόνας τῶν δυνάμεων μετεπέμπετο, καὶ πεί-
B θει τῇ τῶν ῥημάτων περιστροφῇ ὡς οὐδὲν τῶν μὴ καθηκόντων
κατὰ τὴν προτεραίαν εἰργάσατο. ὅ τε τοίνυν τὸ ἀραρὲν ὑπὸ τῆς
τῶν λόγων πειθοῦς οἱ τῶν ταγμάτων ἐξάρχοντες συμφώνως ἀπε-
δογμάτισαν, ὡς τὸν στρατηγὸν τὰ πλήθη συρρέουσι. καὶ γοῦν
ὁ στρατηγὸς τῇ πατρίῳ φωνῇ τοῖς Ῥωμαίοις τῶνδε τῶν λόγων
ἀπήρξατο.

"Ἄνδρες καὶ φίλοι καὶ στρατιῶται καὶ σύμμαχοι, οἱ πρὸς
πόλεμον ἀριστεύοντες, ἐν δὲ ταῖς ἀκοσμίαις ἰδιωτεύοντες, εἰ
τὴν ἀκοὴν εὐθετήσητε καὶ τὴν καρδίαν εὐθύνητε, κἀγὼ τῶν
νουθετημάτων ἀπάρξομαι. ἴσως δέ τι τοῖς λόγοις καὶ λυπήσω
μικρόν, τὸ διάστροφον τῶν τρόπων ἐπανορθούμενος· κἀντεῦ-
θεν γὰρ τῷ ταξιάρχῃ καλὸν μηδέν τι δεδοικέναι τῆς διαλέξεως διὰ
C τὸν τῆς φιλίας κίνδυνον. τί καθ' ἡμῶν συστρατεύοντες ἐχθές
τε καὶ τρίτην εἰκῇ τε καὶ λίαν ὡς ἔπος εἰπεῖν ἐφρυάξασθε; παρε-
λύπουν τὰ ὑμέτερα λαφυραγωγῶν βασιλεῖ. ἠνιᾶσθε τοὺς θριάμ-
βους ἐπιδεικνυμένοις. ἐνεκότει πᾶς τῷ στρατηγῷ τῇ πόλει καὶ
βασιλεῦσι καὶ δήμοις κατακληροδοτοῦντι ἀριστεῖα καὶ τρόπαια.

eius filius natu maior, reliquas reliqua soboles; quo pacto multitudini liberorum imperatoris providebat. postquam igitur negatis spoliis Romani iniuria sunt multati, violentia ingruit et turbatio dominari coepit. ea re dux metu perstrictus, ac prius tentata resipiscendo improbans, posterioribus cogitationibus ut sapientioribus concedit. quare ante ortum solis copiarum praefectos convocat, verborum ambagibus persuadere nititur se hesterno die nihil indecorum fecisse. ubi duces eius verbis inducti eum recta dicere concorditer decreverunt, gregarii certatim incurrunt, ad quos patria lingua sic est concionatus.

"Viri et amici et milites et socii, ad certamen strenui, turbis autem et seditionibus excitandis rudes atque imperiti, si aures atque animos probe accommodetis, ego vos admonere instituam. quanquam verbis meis quippiam molestiae vobis fortasse aspergam, dum nonnihil detortos a linea mores vestros correxero. nam et hic pulcrum est duci, nihil amicitiae amittendae metu subactum reticere. quid est quod heri et nudius tertius conspiratione quadam adversum nos temere, ut ita dicam, fremuistis? tristitia vos afficiebam, cum spolia vestra imperatori adiudicabam. dolebatis vestros ostentari triumphos. quilibet ira in ducem urbi, imperatoribus et populo praemia ac tropaea vestra distribuentem

καὶ τίνας ἕξετε τῶν ἀνδραγαθημάτων ἀποφήνασθαι μάρτυρας; τίς ὑμῖν θεατὴς τῶν πόνων γενήσεται; ποῦ τῆς εὐκλείας τοὺς πίνακας καθυβρίσωμεν; ὅπως τε καὶ ποῖ καὶ πότε καὶ τίσι τὴν ἀνδρείαν κηρύξωμεν; εἰ γὰρ τῶν κατατιθεμένων ὑμεῖς ἔσεσθε μάρτυρες, ἄπιστος ὁ πόνος, ἀναπόδεκτον τὸ εὐτύχημα, μῦθος τὰ τρόπαια, ἀβέβαια τὰ τῶν διηγημάτων ἐπίκομψα ἐνέχυρα, D
τοῦ λόγου χηρεύοντος καὶ τοῦ πιθανοῦ τὴν ἀπορίαν ἐπέχοντος. οἱ φιλοσοφοῦντες τὸν θάνατον καὶ πάντα καὶ πάσχειν καὶ πράττειν ἑλόμενοι οὐ καταφρονήσητε λαφύρων διὰ τὴν εὔνοιαν; οὐ φορολογήσητε τὰ λάφυρα, ἵνα τὸν κρότον μακρολογήσητε; τί τὰς ψυχὰς ὑπὸ φιλοχρηματίας ἀνδραποδίζεσθε οἱ δουλαγωγεῖν τὸ πολέμιον ὀρεγόμενοι καὶ κινδύνοις ψυχῆς τὰς νίκας ὠνούμενοι; οὐκ ἴσασι τῶν κτημάτων οἱ ἔρωτες εὐδοξίας ὑπόθεσις γίνεσθαι, ἀλλ' οὐδὲ τῶν χρημάτων ἡ ὄρεξις διασώζειν τῶν ἐπαίνων τὴν ἔφεσιν. ἢ θάτερον οὖν ἀπολείπετε, ἢ τοὺς τῆς στρατείας νόμους μὴ κιβδηλεύετε."

8. Ἔτι γοῦν τοῦ στρατηγοῦ τοῖς λόγοις ἐπικυμαίνοντος P 154
καὶ τὰ Θεμιστοκλέους Ῥωμαϊκῶς ἀττικίζοντος κρότος ὑπὸ τοῦ πλήθους ἀνέθορε, καὶ πρὸς εὔνοιαν τὰ τῆς δυσμενείας μετήρχετο, ὁ δὲ ψόγος πρὸς ἔπαινον, πρὸς ἀποδοχὴν τὰ τοῦ σκώμματος, καὶ πάντα μετεγίνετό τε καὶ μετετίθετο· οἶδε γὰρ γλώττης ἀλκὴ καὶ φύσεως ἄρχειν καὶ κατὰ τῆς ἀνάγκης νομοθετεῖν, καὶ μετοχετεύειν γνώμης κινήματα ἀμείβειν τε τύχας, καὶ πάντα

ardebat. et quosnam alios facinorum vestrorum testes mihi demonstrabitis? quis laborum vestrorum praeterea spectator erit? in quas alias tabulas gloria vestra referetur? quomodo et ubi et quando et apud quos demum fortitudinem vestram praedicabimus? nam si vos ipsi eorum quae comparata sunt testes esse volueritis, incredibilis erit vester labor, non approbabitur felicitas; fabulae erunt tropaea, incertae narrationes, et scita magis quam vera pignora, cum oratio probabilitate destituta sit. vos qui mortem philosophamini, omniaque et facere et pati elegistis, nonne propter adipiscendam benevolentiam spolia ista contemnetis? non ideo spolia exigetis, ut longa fama plausuque celebremini? quid animos vestros propter avaritiam servituti subiicitis, qui hostes facere servos desideratis, vitaeque discriminibus victorias emitis? amor facultatum nominis claritatem non capit; nec pecuniarum cupiditas nutrire laudis desiderium potest. aut alterum igitur horum relinquite, aut mores militares ne adulterate."

8. Duce adhuc orationis flumen fundente et Themistoclem Atheniensem Romana lingua exprimente, plausum concio sustulit, malevolentiaque in benevolentiam, reprehensio in laudem, dicteria in approbationem transierunt, omnia demum conversa et commutata sunt. possunt enim linguae vires etiam naturae imperare, necessitati leges imponere, animi

B μεταμορφοῦν καὶ πλάττειν καὶ δημιουργῆσαι πειθήνιον. τοίνυν ὁ Πρίσκος κρατήσας τοῖς λόγοις ἐς βασιλέα ἀπέπεμπε τὰ τῶν πόνων ἐπίχειρα, τριακοσίοις συμφράξας τὴν λείαν, πρόταγόν τε τούτων τὸν Τατίμερ προεστήσατο. ὁ μὲν οὖν Τατίμερ τῆς ἐς Βυζάντιον πορείας ἀπήρχετο, ἕκτῃ δὲ ἡμέρᾳ, καὶ Σκλαβηνοῖς περιτυχὼν ἐς ἀδόκητον καταγίνεται κίνδυνον· μεσούσης γὰρ ἡμέρας ἐκλύτως καὶ φροντίδος ἐκτὸς στρατοπεδεύοντι, καὶ τὴν χλόην νεμομένης τῆς ἵππου, τὸ βάρβαρον ἐπιτίθεται. βοῆς
C τοιγαροῦν γενομένης, τῶν τε Ῥωμαίων καθεστώτων ἀφίππων, προθέει μετ᾽ ὀλίγων ὁ Τατίμερ, ἀγχίθυρός τε τῶν βαρβάρων γενόμενος ἐς μέγα ὀλέθρου κατέπιπτε· φέρειν γὰρ οὐκ ἔχων τὴν ἀντιμέτωπον μάχην ἐτέτραπτο πρὸς φυγήν, βαλλόμενός τε οὐ καιρίαις βολαῖς μόλις ἀπέδρα τὸν κίνδυνον. τῶν οὖν Ῥωμαίων ἐπιγενομένων πεζῶν καὶ διασωσάντων τὸν Τατίμερ, πρὸς τοὺς
V 245 Σκλαβηνοὺς λοιπὸν ἐχειρούργουν τὸν πόλεμον. τῆς τοίνυν μάχης ἐς τὸ καρτερὸν γενομένης κρατοῦσι τῶν Σκλαβηνῶν Ῥωμαῖοι,
D φόνον τε πολὺν ἀπεργασάμενοι, πεντήκοντα βαρβάρους ζωγρήσαντες ἐπανήεσαν πρὸς τὸν χάρακα, λείαν Ῥωμαϊκὴν ὑπὸ τῶν Σκλαβηνῶν διασωσάμενοι. ὁ μὲν οὖν Τατίμερ τὸ σῶμά πως ἀκεσάμενος ἐς Βυζάντιον ἧκεν, ἀξιολογωτάτην προνομὴν ἐπιφερόμενος. ἡσθεὶς τοιγαροῦν ὁ αὐτοκράτωρ ἐπὶ τοῖς συγκυρήσασιν, ἐπὶ τὸ τοῦ θεοῦ μέγιστον ἀνὰ τὴν πόλιν ἐπαννύχιζε τέμενος, εἶτα μετὰ τοῦ λεὼ τὰς ἱκετηρίας εὐχὰς ποιησάμενος ἠξίου τὸ θεῖον ἐπισημότερα δοῦναι τὰ τρόπαια.

motiones alio derivare, alternare fortunas, et ad obsequium suum transformare fingere fabricare omnia. simulatque igitur Priscus verbis obtinuit quod voluit, praedam laborum praemia ad imperatorem cum trecentis custodibus, Tatimere praeposito, misit. Tatimer Byzantium pergebat, cum die sexto Sclavis occurrentibus periculo improviso est implicitus. nam cum meridie animo vacuus curarumque liber subsisteret, et equi gramina tonderent, barbari imminent. clamore exorto, Romanisque ab equis haud paratis, Tatimer aliquantum praecurrens et hostibus appropinquans summum discrimen adiit, et cum a fronte prementes sustinere nequiret, fugam arripuit. quanquam vero letalibus plagis non est ictus, exitium tamen aegre vitavit. superveniunt Romani pedites, ac Tatimere conservato arma in Sclavos convertunt, et pugna summa contentione pugnata victoriam adipiscuntur, multisque interemptis et quinquaginta captis ac praeda a Sclavis defensa in castra se referunt. Tatimer plagis consanescentibus Byzantium cum manubiis minime vulgaribus intrat. quibus rebus recreatus imperator in amplissimo urbis templo pervigilium agit. deinde supplicationem cum populo obiens, deum precatur uti illustriora tropaea largiatur.

Ὁ δὲ πολέμαρχος Πρίσκος ἐπὶ κατασκοπῇ προθέειν ἀνδράσιν ἐκέλευεν ἡμέρᾳ δευτέρᾳ, καὶ οὐ διέγνω ἀνὰ τοὺς χώρους πολέμιον. οὐκοῦν εἰς τὰ πρόσω τοῦ Ἠλιβακία ποταμοῦ ἐξ ἑωθινοῦ ποιεῖσθαι τὴν βάδισιν τῷ Ἀλεξάνδρῳ προστέταχεν. ὁ μὲν οὖν Ἀλέξανδρος τὸν γείτονα διανηξάμενος ποταμὸν ἐντυγχάνει Σκλαβηνοῖς. οἱ δὲ βάρβαροι πολεμίαν θεασάμενοι ὄψιν πρὸς P 155 τὰ πλησίον τενάγη ἐπί τε τὴν ὕλην τὴν ἀποφυγὴν ἐποιοῦντο. οἱ δὲ Ῥωμαῖοι τούτους ἐνεχείρουν ἑλεῖν. ἐπεὶ δὲ τῇ ἰλύϊ συγγίνονται, περιπίπτουσι δυσκαταγωνίστῳ κακῷ· καὶ ἂν διώλωλεν ἅπαν τὸ σύνταγμα, εἰ μὴ θᾶττον ὁ Ἀλέξανδρος ὑπεξήγαγε τοὺς Ῥωμαίους τοῦ τέλματος. ὁ μὲν οὖν Ἀλέξανδρος ὁ ταξίαρχος περιστοιχίσας τὸν χῶρον παραδιδόναι τούτους ἐπειρᾶτο πυρί· ἡ δὲ φλὸξ νοθηλευομένη ὑπὸ τῆς ὑγρᾶς κατεμαλθακεύετο φύσεως, καὶ B ἦν τῷ Ἀλεξάνδρῳ τὰ τῆς ἐπιβολῆς οὐκ εὐδόκιμα. τοίνυν Γήπαις ἀνήρ, ἐκ τῶν Χριστιανῶν θρησκείας πάλαι ποτὲ πεφυκώς, μετὰ τῶν βαρβάρων ὑπῆν. οὗτος πρὸς τοὺς Ῥωμαίους αὐτομολῶν δακτυλοδεικτεῖ καὶ τὴν εἴσοδον. οἱ μὲν οὖν Ῥωμαῖοι τῶν εἰσόδων γενόμενοι κύριοι κρατοῦσι τῶν βαρβάρων. ὁ δὲ Ἀλέξανδρος ἀνετάζων κατεπυνθάνετο πόθεν τοῖς ἑαλωκόσι τὸ γένος. οἱ δὲ βάρβαροι εἰς ἀπόνοιαν καταπεπτωκότες θανάτου χάριν ἔφραζον ταῖς κολάσεσιν, ὡς περὶ ἀλλοτρίου τοῦ σώματος τὰς ἐκ τῶν μαστίγων ἀλγηδόνας διατιθέμενοι. (9) ὁ δὲ Γήπαις διεξ- C ῄει τε ἅπαντα καὶ διήλεγχεν ἐκ λεπτοῦ τὰ πράγματα, φάσκων ὑπὸ Μουσώκιον τὸν λεγόμενον ῥῆγα τῶν βαρβάρων φωνῇ τοὺς

20. an χαίρειν?

Die postero Priscus speculatoribus praemissis hoste vacare locum cognovit. itaque trans fluvium Helibaciam mane ut progrediatur, Alexandro mandat. Alexander amne vicino traiecto Sclavos offendit. qui visis hostibus in proximas paludes silvamque trepide aufugiunt. iis capiendis Romani insistunt. sed in limum incurrentes malo vix eluctabili se induunt; perissetque agmen universum, nisi Alexander tribunus celeriter e palustribus et coenosis illis locis eos eduxisset. qui cum igne undique circumiecto Sclavum perdere conaretur, flamma humore praepedita convalescere non potuit. et omnino aggressio illa parum honorifica Alexandro cecidit. Gepida porro quidam, olim Christianus, a barbaris ad Romanos transfugiens, qua via intrarent, intenta manu demonstravit. Romani aditu potiti simul barbarorum potiuntur. captos Alexander flagris subiiciens percunctatur unde illis genus. qui vesana subnixi confidentia, cruciatus et mortem nihili faciebant, doloresque flagellorum velut in alienis corporibus patiebantur. (9) at enim Gepida enarrabat omnia, et minima quaeque rerum indicabat, dicebatque captivos illos subesse Musocio cuidam nomine, quem barbari regem appellarent. cum triginta

ἐζωγρημένους ἐπεῖναι, τοῦτον δὲ τὸν Μουσώκιον ἐναυλίζεσθαι
μετὰ παρασάγγας τριάκοντα, τοὺς δὲ ἁλόντας ἐκπέμψαι ἐπὶ
κατασκοπῇ τῆς Ῥωμαίων δυνάμεως, ἀκηκοέναι τε καὶ τὰ περὶ
τὸν Ἀρδάγαστον γεγονότα πρὸ μικροῦ δυστυχήματα. παρῄνει τε
Ῥωμαίους ἀθρόαν τὴν ἐπιστασίαν ποιήσασθαι, τόν τε βάρβαρον
ἑλεῖν τῷ ἀδοκήτῳ τῆς ἐπιθέσεως. ὁ μὲν οὖν Ἀλέξανδρος παρὰ
D τὸν Πρίσκον γενόμενος τοὺς βαρβάρους ἠνέγκατο, ὁ δὲ πολέ-
μαρχος ἀναιρέσει τούτους παρέδοτο. γίνεται γοῦν πρὸς τὸν στρα-
τηγὸν ὁ Γήπαις ἐκεῖνος ὁ βάρβαρος, καὶ διέξεισι Πρίσκῳ τὰ τῶν
βαρβάρων διανοήματα, εἰσηγεῖτό τε ἐπιστῆναι τῷ βαρβάρῳ τὸν
Πρίσκον. καὶ πίστιν τῆς ἐπιτεύξεως ἐδίδου φενακίζειν ὁ Γήπαις
τὸν βάρβαρον. ἐπιχαρῶς τοίνυν ὁ Πρίσκος τοὺς λόγους ἀράμε-
νος, δώροις τε λαμπροῖς τὸν ηὐτομοληκότα λιπάνας ἐπαγγελίαις
τε περιδόξοις ἐχυρωσάμενος, ἐξαπατῆσαι τοῦτον ἐπεπόμφει τὸν
βάρβαρον. καὶ οὖν ὁ Γήπαις πρὸς Μουσώκιον γίνεται, αἰτεῖ τε
μονοξύλων πλήθη ἀπὸ τούτου ἑλεῖν, ὅπως τοὺς ἠτυχηκότας περὶ
P 156 τὸν Ἀρδάγαστον περαιώσηται. ὁ μὲν οὖν Μουσώκιος ἕρμαιόν τι
δοκῶν τὰ ὑπὸ τῆς ἀπάτης αὐτῷ καττυόμενα ἐδίδου μονόξυλα,
V 246 ὅπως ὁ Γήπαις τοὺς περὶ τὸν Ἀρδάγαστον διασώσηται. ἑκατὸν
τοίνυν πρὸς τοῖς πεντήκοντα ἀκατίοις λαβών, καὶ προσκώπους
τριάκοντα, εἰς τὸ ἀντιπέραν τοῦ ποταμοῦ παραγίνεται, ὃν οἱ
ἐγχώριοι Πασπίριον ὀνομάζουσιν. ὁ δὲ Πρίσκος κατὰ τὸ σύν-
θημα ἐξ ἑωθινοῦ ἀπήρχετο τῆς βαδίσεως. ἀτὰρ ὁ Γήπαις ἀνὴρ
τῶν συνεληλυθότων κλέψας τὴν αἴσθησιν μεσούσης τῆς νυκτὸς

21. nonne τριακοσίους?

parasangis ab eo loco habitare; captos illos ad Romanorum copias explorandas misisse: audiisse enim quam cladem paulo ante Ardagastus acceperit, hortabaturque Romanos ut repente eo copias promoverent, ac barbarum inexpectato aggressi captivum facerent. Alexander itaque barbaros secum trahens ad Priscum proficiscitur; quos ille e medio tollit. ad eum Gepida veniens cogitata barbarorum memorat, et regis opprimendi consilium impertit, ac promissione doli, quo barbarum irretiret, rem bene eventuram fidem sibi conciliat. his Priscus non sine voluptate auditis, transfugam muneribus eximiis et promissis magnificis prosecutus, ad barbarum fraude circumveniendum mittit. Gepida Musocium adit, lintrium copiam ad calamitosos Ardagasti subditos transvehendos petit. Musocius pro emolumento non sperato amplectens, quam Gepida fraudem consuebat, monoxyla ad Ardagasti populum transvectione conservandum attribuit. actuariolis igitur centum quinquaginta cum remigibus triginta acceptis, in ulteriorem fluminis, quem accolae Paspirium vocant, ripam traiicit. Priscus ex constituto mane iter ingreditur. Gepida multitudinem fallens, nocte media ad ducem Romanorum vadens,

πρὸς τὸν τῶν Ῥωμαίων πολέμαρχον γίνεται, καὶ ἠξίου ἑκατὸν B ὁπλίτας ἀποίσεσθαι, ὅπως στόματι μαχαίρας τοὺς πρὸς τῇ ὄχθῃ βαρβάρους ὀλέσειε. τοίνυν ὁ στρατηγὸς ἄνδρας διακοσίους συμφράξας τῷ ταξιάρχῳ δίδωσιν Ἀλεξάνδρῳ. ἐπεὶ δὲ τὸ Ῥωμαϊκὸν τῷ Πασπιρίῳ ἐπλησίαζε ποταμῷ, εἰς ἐνέδραν τὸν Ἀλέξανδρον ὁ Γήπαις ἐκάθισε. νυκτὸς τοιγαροῦν γεγονυίας οἱ μὲν βάρβαροι κατωφερεῖς περὶ τὸν ὕπνον ὄντες ἐτύγχανον, ἔξοινοί τε γεγονότες λίαν τῶν ἐνυπνίων ἀντείχοντο. ὁ δὲ Γήπαις τοὺς βαρβάρους διαφθείρειν κατειρωνεύετο, τρίτῃ δὲ φυλακῇ καί τι μικρὸν μεταστὰς C καὶ πρὸς τὴν ἐνέδραν γενόμενος ὑπεξάγει τοῦ λόχου Ἀλέξανδρον. καὶ οὖν διιθύνας Ῥωμαίους ἐπὶ τὸν Πασπίριον ποταμόν, καὶ σύνθημα λαβών τε καὶ δούς, ἐπὶ τοὺς βαρβάρους ἐχώρησεν. ἔτι τοίνυν τῶν βαρβάρων προσομιλούντων τῷ ὕπνῳ δι' Ἀβαρικῶν ᾀσμάτων ἐδίδου ὁ Γήπαις τῷ Ἀλεξάνδρῳ τὸ σύνθημα. ὁ δὲ Ἀλέξανδρος ἐπιστὰς τοῖς βαρβάροις ὕπνον καὶ ζωῆς τὴν ζημίαν παρείχετο. ἐπεὶ δὲ τῶν ἀκατίων γέγονεν ἐγκρατής, πρὸς τὸν στρατηγὸν ἀγγέλους ἐξέπεμπεν, τῆς ἐπιβολῆς τὰς ὁρμὰς ἐπιτείνων. D ὁ δὲ Πρίσκος τρισχιλίους ἀράμενος καὶ διανείμας εἰς τὰ ἀκάτια τὸν Πασπίριον ποταμὸν διενήξατο. καὶ δῆτα καὶ μεσούσης νυκτὸς τῇ ἐφόδῳ παρεῖχον τὴν ἔναρξιν. ὁ μὲν οὖν βάρβαρος κάτοικος ὢν τῇ μέθῃ διέφθαρτο· ἦν γὰρ αὐτῷ κατὰ τὴν ἡμέραν ἐκείνην ἐπιτάφιος ἑορτὴ ἐπὶ ἀδελφῷ κατοιχομένῳ, ὡς ἔθος αὐτοῖς. ὁ μὲν οὖν φόβος μέγας ἐγίγνετο. ζωγρηθεὶς τοίνυν ἥλω ὁ βάρβαρος. οἱ δὲ Ῥωμαῖοι κατεπαννυχίζοντο ἐν τοῖς αἵμασιν. ἡμέρας δὲ λαμπούσης ἐλάμβανεν ὁ φόνος ἀπὸ τοῦ στρατηγοῦ τὴν ἀνάπαυλαν. ὑπὸ δὲ τρίτην ὥραν τὴν ἀποσκευὴν τάς

26. τὰς δὲ IP.

centum armatos ab eo poscit, quorum opera barbaros ad ripam interficiat. dux ducentos instructos Alexandro tribuno committit. postquam flumini Paspirio appropinquarunt, Gepida eos in insidiis locat. noctu barbari somno vinoque sepulti somniis suis detinentur. Gepida eos occisurum dissimulans, tertia vigilia paululum abscedens Alexandrum subducit, eumque ad fluvium dirigens, composita tessera ad barbaros gressum recipit. quibus etiamtum ex Abaricis cantilenis consopitis, Alexandro signum dat. is in eos irruens somno et vita pariter multat. postquam naviculas obtinuit, nuntios ad ducem pro numero ad impressionem corroborandam mittit. Priscus cum tribus millibus in acatia distributis Paspirium transit, mediaque nocte infesti accessus initium facit. barbarus prae ebrietate mentem amiserat: illo quippe die funeralia festa fratri, ut mos est barbaris, celebrarat. itaque singulari timore perculsis omnibus, rex vivus in potestatem adducitur. Romani reliquum noctis totum in sanguine fundendo consumunt. lucis exortu dux receptui canit.

τε δυνάμεις ὁ στρατηγὸς διεπορθμεύσατο. τοίνυν οἱ Ῥωμαῖοι φρονηματισθέντες ἐπὶ τοῖς συγκυρήσασι πρὸς τροφὴν κατεκλίνοντο. εἶτα τῇ μέθῃ συρράπτονται, καὶ τῇ παροινίᾳ τὰς εὐπραξίας νοθεύσαντες τῆς διαφρουρᾶς κατημέλησαν, ἣν σκοῦλκαν συνηθὲς τῇ πατρίῳ φωνῇ Ῥωμαίοις ἀποκαλεῖν. τὸ μὲν νενικημένον συναθροισθὲν ἀντιταλαντεύει Ῥωμαίοις τὴν ἔφοδον· καὶ ἦν ἂν ἡ ἀντίδοσις χαλεπωτέρα τῆς ἐπιτεύξεως, εἰ μὴ ὁ Γέντζων τὰς δυνάμεις τὰς πεζικὰς περιστησάμενος τῆς μάχης ἐκράτησεν. ἐξ ἑωθινοῦ δὲ ὁ Πρίσκος τοὺς φρουράρχους ἀνεσκολόπιζε, καὶ δὴ καί τινας τοῦ ὁπλιτικοῦ πικρῶς ἐμαστίγωσεν.

P 157 10. Ὁ δὲ αὐτοκράτωρ Τατίμερα ἀντιπέμπει πρὸς τὸν πολέμαρχον, βασιλείους δέλτους ἐπιφερόμενον· ἦν δὲ ἡ τῶν δέλτων ἀξίωσις τὴν χειμέριον ὥραν αὐτόθι τοὺς Ῥωμαίους ποιήσασθαι. παραγεγονότος τοίνυν τοῦ Τατίμερ καὶ τῶν βασιλικῶν γνωρισθέντων λογίων, θρύλλος ὑφάπτεται τῷ στρατεύματι. καταστασιάζει τοίνυν ἡ Ῥωμαίων πληθύς, παρωσαμένη τοὺς λόγους τοῦ αὐτοκράτορος, οἴκοι τε τὴν τοῦ ψύχους ὥραν ἐνεχείρει ποιήσασθαι· οὐ γὰρ ἐπὶ βαρβάρου γῆς ἐναυλίζεσθαι· B ἔφασκον γὰρ ψύχη ὑπεῖναι δυσυπομόνητα, τά τε τῶν βαρβάρων πλήθη ἀκαταγώνιστα. ὁ δὲ στρατηγὸς πειθοῖ τινὶ τακτικῇ τῆς στρατιᾶς τὸ δυσήνιον ὑπεμάλαττεν. ἐπεὶ δὲ γίνονται αἱ δυνάμεις πειθήνιοι, ἐπὶ βαρβάρου γῆς ὁ τῶν Ῥωμαίων πολέμαρχος διαλύει τὸν χάρακα.

Ἐν ταύταις τοιγαροῦν ταῖς ἡμέραις θείᾳ φροντίδι τινὶ ὁ τὸν φόνον ἐπὶ τὴν Ἀγχίαλον ποιησάμενος, ὅτε τῆς ἐλάφου πολλῶν

diei hora tertia praedam et exercitum per fluvium reducit. Romani his rebus gestis confidentia elati, ad delicias et compotationem convertuntur, felicitatemque suam helluatione corrumpentes custodiae, quam Sculcam patrio sermone nominant, obliviscuntur, victi siquidem densata caterva Romanis irruptionem rependunt; superassetque acceptam calamitatem vicissim illata saevitia, nisi Genzo peditatu circumfusos pugnando fregisset. mane Priscus custodiae praefectos palis suffixit, et quosdam de exercitu dirum in modum flagellavit.

10. Imperator Tatimerem ad summum ducem cum litteris mittit, quibus mandatur ut illic exercitum in hibernis habeat. quod ut milites compererunt, tumultuose ac seditiose mandata repellentes domi hiberna agitare contendunt, in regione barbara permanere detrectantes, tum quod illic frigora intoleranda saeviant, tum quod barbari ob multitudinem sint inexpugnabiles. dux suadela quadam officio suo conveniente refractarios illorum spiritus moderatur; ac postquam eos in solo barbaro obedientes habuit, concionem dimittit.

Diebus illis divina providentia deprehensus est qui ad Anchialum caedem patrarat, quando cervos multi de imperatoris stipatoribus inse-

περὶ τὸν αὐτοκράτορα δίωξις ἐγεγόνει. οὐκ ἀπὸ δὲ τρόπου καὶ τὴν αἰτίαν διεξελθεῖν τῆς δραστικῆς προνοίας, τῆς περὶ τὴν οἰκουμένην C διατρεχούσης ὁσημέραι, ἀκαμάτῳ τε ὀφθαλμῷ ἐπισκοπούσης V 247 τὰ τῇδε, τάς τε ἀντιδόσεις τῶν βεβιωμένων πρὸς τοῖς ἀνθρώποις πρυτανευούσης ἀεί. ἥλω τῷ δακτύλῳ τῆς δίκης ὁ τοῦ φόνου πατήρ. μετὰ χρόνον γὰρ ἐπὶ τὸ βασίλειον ἄστυ γενόμενος τὰ τῆς χρυσῆς ζώνης ἐπίσημα χρυσουργῷ τεχνίτῃ τινὶ διαχωνεῦσαι παρείχετο. ὁ μὲν οὖν τεχνίτης τὰ μέλη τῆς ζώνης κατανοήσας λίαν ἐπίδοξα τό τε σχῆμα τῆς ἐφηλώσεως βίαιον τήν τε τοῦ προσώπου ποιότητα βάρβαρον, κλοπὴν δρασθῆναί τινα ὑπὸ τοῦ ἀνδρὸς ὑπειλήφει. παραπεμψάμενος τοίνυν ἐκ τοῦ λεγομένου D πραίτορος τῶν δήμων ἄνδρας ἑπτὰ παρεδίδου τῷ δικαστηρίῳ τὸν βάρβαρον. οἱ μὲν οὖν ὑψαυχενιζόμενον καὶ λίαν κατασταστασιάζοντα ἐν τῷ οἴκῳ τῶν ἐγκλημάτων τὸν βάρβαρον διεκόμιζον, ἑρμηνέα τε προστησάμενοι κατεπυνθάνοντο πόθεν αὐτῷ ζώνης περιβλέπτου καὶ λίαν μεγαλοπρεποῦς ὑπέστη λείψανα. ὁ μὲν οὖν φονευτὴς (Γήπαις δὲ οὗτος ἄρα ἐτύγχανεν ὤν) λίαν σοφιστικῶς τὴν ἀπολογίαν παρείχετο. ἃ δὲ εἶπε, ταῦτα ἐκεῖνά ἐστι. τοῦ Λογγοβάρδου ἔθνους Ἀλβοῦις τὴν ἡγεμονίαν ἐκέκτητο. οὗτος εἰς ἔρωτα καταπίπτει νεάνιδός τινος. ἡ δὲ νεᾶνις θυγάτριον ἐτύγχανεν ὂν Κονιμούνδου τοῦ τῶν Γηπαίδων ἡγεμονεύοντος. ἐπεὶ δὲ τοῖς λόγοις πείθειν οὐχ οἷός τε ἦν, βίᾳ πρὸς τὴν πρᾶξιν ἐχώρησεν. ἐνέδραν τοιγαροῦν συστησάμενος ἀδοκήτως τε ἐπιθέμενος ἀφαρπάζει τὴν παρθένον ὁ ἐραστής. ἐντεῦθεν ὁ πόλεμος P 158 λαμβάνει τὰ σπέρματα. οἱ μὲν οὖν Λογγόβαρδοι κατὰ

quebantur. non erit autem abs re rationem quoque commemorare agentis providentiae, mundum percurrentis assidue, et res nostras indefesso lumine aspicientis, semperque mortalibus factorum praemia remetientis. digito iustitiae captus est homicida. nam cum post intervallum temporis in urbem imperatoriam venisset, aureum balteum ob insignes in eo bullas conflandas dedit. aurifex bullas opere pulcerrimo et solido zonae allaboratas, ac faciem praeterea hominis barbaram attentius considerans, furtum ab eo factum suspicatus est. accersitis igitur a praetore populi, qui dicitur, apparitoribus septem, barbarum tribunali tradit. qui erecta cervice ambulantem et contumacem in praetorium deducunt, adhibitoque interprete quaerunt unde illi baltei tam conspicui tamque magnifici spolia. ibi interfector Gepida admodum astute se tueri in hanc sententiam. Longobardicae gentis principem fuisse Alboinum. hunc adolescentulam Conimundi Gepidarum regis filiam deperisse. cui cum verbis quod volebat persuadere nequivisset, ad vim processisse, compositisque insidiis improviso virginem invasisse ac rapuisse. inde bellum extitisse, in quo

τὸν πόλεμον ἐπροτέρησαν. διά τοι τοῦτο ὁ Κονιμοῦνδος πρέσβεις ἀπέστειλε πρὸς τὸν νεώτερον Ἰουστῖνον τὸν αὐτοκράτορα, συμμαχεῖν αὐτῷ ποτνιώμενος. ὅπως δὲ τῷ αὐτοκράτορι αἰδέσιμα τὰ περὶ τὴν πρεσβείαν προσγένοιτο, δῶρα ὁ ἠδικημένος μεγαλοπρεπῶς ἐπεπόμφει παρὰ τὸν Καίσαρα. ὁ δὲ αὐτοκράτωρ τὸ φιλότιμον θαυμάσας τοῦ ἱκετεύσαντος πρὸς ἔλεον ἐπικλίνεται,
B ἐπιστολήν τε συντάξας προστάττει Βαδουαρίῳ στρατηγῷ τὰς περὶ τὴν Σκυθίαν καὶ Μυσίαν δυνάμεις ἀθροίσαντα βοηθεῖν Κονιμούνδῳ. ἠγγέλθη τοίνυν ταῦτα τῷ Ἀλβουῒ, καὶ τὰς Ῥωμαίων ὀρρωδήσας δυνάμεις συνθήκαις ἠξίου καὶ δώροις λαμπροῖς πρὸς τὸν ἠδικημένον ὡς ἔπος εἰπεῖν διαλύσασθαι, ἐζήτει τε καὶ τὴν ἐπιγαμβρίαν γαμηλίοις νόμοις ποιήσασθαι. ὁ δὲ Κονιμοῦνδος τὸ δριμὺ μὴ φέρων τῆς ὕβρεως πολέμοις ἠξίου τὰς ὕβρεις τῶν ἐκβάσεων γίνεσθαι. γεγονυίας τοίνυν τῆς παρατάξεως νικῶσι Ῥωμαῖοι, καὶ κύριοι τῶν σκύλων οἱ νενικηκότες καθίστανται.
C "ἐντεῦθεν" φησὶν "ἡ τῆς λαμπρᾶς ταύτης ζώνης ἐπίκτησις." εἶτα ἀνακρίνεται ὑπὸ τῆς περιπόλου τάξεως τοῦ δικαστηρίου, καὶ τίς οὗτος ὃς τὴν ἐπιφανῆ ταύτην περιέκειτο ζώνην. ὁ μὲν οὖν ἐπισυνάπτει πλάσματα πλάσματι, καὶ φησίν "υἱὸς ἐκ παλλακῆς τοῦ λεγομένου τῶν Λογγοβάρδων ῥηγὸς ἐτύγχανεν ὤν, ὃς τὴν ἐπιφανῆ ζώνην περιεβάλλετο. τοῦτον ἀνελὼν καὶ λαφυραγωγήσας τὸν τεθνεῶτα μισθὸν τῶν κινδύνων ἀνειλόμην τὴν ζώνην." οὕτω μὲν οὖν ὁ βάρβαρος λίαν σοφιστικεύει δεινῶς, καὶ γίνεται
D πιθανὸς τῷ διηγήματι, καὶ τέως μικρὸν ἀποκρύπτει τὸν φόνον.

Longobardos priores tulisse. quocirca Conimundum legatos ad Iustinum iuniorem misisse et auxilium obsecrasse. quo autem legatio plus apud imperatorem valeret, dona quoque augusta adiunxisse. imperatorem in supplice munificentiam admiratum, et ad miserationem inflexum, per epistolam Baduario duci praecepisse ut e Scythia et Mysia collectis copiis Conimundo succurreret. iis Alboino nuntiatis, eum Romanos timentem exercitus, foedere et donis sumptuosis, ut paucis absolvam, cum eo cui iniuriam intulerat pacem facere voluisse, atque etiam affinitatem nuptiarum legibus contrahere studuisse. Conimundum acerbitatem contumeliae non ferentem, bello acceptas iniurias ulcisci postulasse. collatis igitur signis Romanos victoriam et spolia obtinuisse. inde se huncce tam insignem balteum acquisisse. postea a cohorte tribunal circumstante interrogatur quisnam fuisset hoc tam eximio cinctus balteo. ille mendacium mendacio assuens, Longobardorum regis ex pellice filium fuisse; eum se interfecisse, exanimem spoliasse, balteumque periculorum suorum praemium abstulisse. hoc modo barbarus, cum perquam veteratorie pro se responderet et caedem ad exigui temporis momentum occultaret non in-

ἀνέθη τοιγαροῦν τοῦ ἐγκλήματος. ἐπεὶ δὲ ἀφέθη, εἷς τις ἀνὴρ τῶν παρεστηκότων τῷ πραίτωρι συνεστὼς ἀνακρίνει τοὺς λόγους, καὶ πυθέσθαι διεγχειρεῖ τὸν χρόνον τῶν ἱστορηθέντων ὑπὸ τοῦ Γήπαιδος. διά τοι τοῦτο οἱ τοῦ δικαστηρίου ἐπιφθάνουσι δρόμῳ τὸν βάρβαρον, καὶ ἐπανήκειν αὖθις εἰς τὸ δικαστήριον ἀναγκάζουσιν. εἰσεληλυθότος γοῦν τοῦ βαρβάρου ἠρώτα ὁ ἡγεμὼν τὸν χρόνον τῶν ἀφηγηθέντων αὐτῷ. ἐπεὶ τοίνυν πρεσβυτέρων πραγμάτων ἔκθεσις ἦν, τριάκοντά τε ἔτεσι προτερεύειν τὴν ἱστορίαν διέγνωστο, τούτων δὲ τῶν διηγηθέντων πεφυκέναι νεώτερον, πρὸς στρεβλώσεις ὁ προεστὼς τοῦ δικαστηρίου τὸν βάρβαρον ἔφερε. τῆς τοίνυν γλώττης ἀντιθέτους ποιούσης τοὺς λόγους, τῶν τε κολάσεων κατεπειγουσῶν πρὸς τὰ εἰκότα τὸν βάρβαρον, ὁ φονευτὴς αὐτοκατάθετος γίνεται καὶ παραγυμνοῦνται τὰ σφάλματα ἐξαγορευθέντος τοῦ ἐγχειρήματος. ὁ μὲν οὖν παλαμναῖος ἐκεῖνος καὶ βάρβαρος δίκας τῆς ὠμότητος εἰσπραττόμενος ὀδοῦσι θηρίων παρεδίδοτο ψήφοις, εἶτα τῷ παμφάγῳ πυρὶ παρείχετο παρανάλωμα.

11. Ἐν τούτῳ δὴ τῷ ἐνιαυτῷ εἰς τὰ πρὸ τοῦ ἄστεος τί- P 159 V 248
κτονται παράδοξα τέρατα, παιδίον τετράπουν, ἄλλο δὲ δικόρυφον. λέγουσι δὲ οἱ τὰς ἱστορίας μετ' ἐπιμελείας συγγράψαντες μὴ εἶναι εἰς ἀγαθὸν τὴν τῶν τεράτων ταῖς πόλεσιν ἐπιφάνειαν. τὰ μὲν οὖν τέρατα ἐπιδεδειγμένα Μαυρικίῳ τῷ αὐτοκράτορι παρεδόθη τῷ φόνῳ· ὁ δὲ βασιλεὺς ἀποχειροτονεῖ τὸν πολέμαρχον, καὶ τὸν ἀδελφὸν (Πέτρος δὲ ὄνομα αὐτῷ) ἡγεμόνα τῶν Ῥω-

1. ἀνέθη] immo ἀφέθη.

credibilia narrare visus criminе absolvitur. tum quidam praetori astantium eius verba inter se componens discutit, et eorum quae narraverat tempus nosse gestit. quamobrem apparitores cursu eum insecuti in iudicium retrahunt. ingressum praetor de tempore eorum quae narrasset percunctatur. quoniam igitur certum erat quiddam antiquius fuisse expositum et ante annos triginta factum, quot annos aetatis ipse nondum haberet, praetor eum tormentis addicit. ubi lingua aliam cantilenam edente, et cruciatibus ad vero consentanea fatenda barbarum urgentibus, confessus ipsemet quod res erat, delictum suum aperit. ita cruentus ille crudelitatis suae poenas exigitur, bestiisque dilaniandus iudicum sententiis obiicitur, deinde pro auctario flammis rapidis iniicitur.

11. Hoc ipso anno mirabilia portenta in suburbanis generata sunt, puer quadrupes, alius biceps. affirmant qui diligenter historias explicarunt, nihil faustum civitatibus portendi, quoties monstra conspiciantur. haec igitur monstra Mauricio ostensa neci data sunt. porro imperator Priscum exauctorans, Petrum fratrem Romanarum copiarum praefectum

μαίων ποιεῖται δυνάμεων. ὁ μὲν οὖν Πρίσκος τούτων οὔπω
B ἐπέπυστο. καὶ οὖν τὰς δυνάμεις ἀράμενος διαπεραιοῦται τὸν ποταμόν. δυσαναςχετεῖ γὰρ τὰ πλήθη τὴν τριβὴν πρὸς βάρβαρον χώραν ποιήσασθαι· ἐδεδίει γὰρ μή πως ἐξαπιναίως ἐφεστηκότες οἱ βάρβαροι τὴν λείαν ἀποίσονται. ὁ δὲ Χαγᾶνος ἀκηκοὼς τοῦ Ῥωμαϊκοῦ τὴν ἀπόβασιν λίαν ἐθαύμαζεν· εἶτα ἀγγέλους πρὸς τὸν Πρίσκον ἐξέπεμψε, τῆς ἀναζεύξεως τὴν αἰτίαν πυθέσθαι γλιχόμενος. ὁ μὲν οὖν Πρίσκος ἀπεβουκόλησεν ὥς οἷόν τε τοῖς λόγοις πιθανῶς. ἡμέραι δὲ τρεῖς, καὶ ἠγγέλθη τῷ Πρίσκῳ
C μέλλειν διεγχειρεῖν τὸν Χαγᾶνον ταῖς Ῥωμαϊκαῖς δυνάμεσιν ἐπιτίθεσθαι, τὰ δὲ τῶν Σκλαβηνῶν πλήθη προστάττειν διαπεραιοῦσθαι τὸν Ἴστρον· τῷ ὄντι γὰρ ἐχαλέπαινεν ἐνεκότει τε λίαν ἐνευδοκιμηθείσαις ταῖς Ῥωμαίων δυνάμεσιν. ὁ μὲν οὖν Ταργήτιος οἵ τε τῶν βαρβάρων λογάδες τῷ Χαγάνῳ παρῄνουν παραλύειν τὸν πόλεμον· ἔφασκον γὰρ μὴ ἐνδίκως αὐτὸν χαλεπαίνειν Ῥωμαίοις. μεγαλοφρόνως τοίνυν ὁ Πρίσκος πρέσβυν ὡς τὸν Χαγᾶνον ἐξέπεμψε (Θεόδωρος ὄνομα αὐτῷ), τὴν φύσιν ἄνδρα δεξιόν τε καὶ εὐεπίβολον, τὴν τέχνην ἰατρόν, τὴν γλῶτταν ἐλεύθε-
D ρον. οὗτος δὲ κραταιὸς πρὸς τὸν Χαγᾶνον ἐγίνετο. ὁ μὲν οὖν βάρβαρος φρονηματισθεὶς ἐπὶ τοῖς αὐτῷ συγκυρήσασι λίαν ὑψαυχενίζετο, καὶ κύριον ἑαυτὸν ἔθνους ἔφασκεν ἅπαντος, μὴ προσεῖναί τε, ὅσον περ ἥλιος ἀνατείνει τὸ βλέμμα, τὸν ἀντιτάξασθαι δυνησόμενον. διά τοι τοῦτο ὁ πρέσβυς ἱστορίας πολλῆς γενόμενος κάτοχος βαρβαρικὰ παραδείγμασιν ἐταπείνου φρυάγματα. εἰπεῖν δὲ καὶ τὰ τῆς ἱστορίας οὐκ ἀνακόλουθον ὕπεστιν.

22. προσιέναι Exc.

instituit. cuius rei Priscus adhuc nescius cum copiis, quas in regione barbara haerere moleste ferret, amnem transit. timebat enim ne a barbaris de subito irruentibus diriperentur. Chaganus Romanorum descensu audito, etiam atque etiam admiratus, per internuntium reditionis huius causam studiose exquirit. Priscus qua potest verborum probabilitate Chaganum ludit. post triduum nuntiatur Prisco Chaganum in Romanos invasurum, et iam Sclavos Istrum iussisse traiicere: vere enim eorum felicitate dolens, ira inflammabatur. caeterum Targitius et nobilitas arma dissuadentes, ipsum Romanis immerito irasci affirmabant. magno igitur animo Priscus oratorem ad Chaganum mittit, Theodorum nomine, hominem ingenio dextrum et sagacem, professione medicum, lingua liberum, qui velut firmo cinctus praesidio ad Chaganum veniebat. barbarus propter res secundas conceptis spiritibus non parum superbiebat, seque omnium gentium dominum gloriabatur, nec reperiri sub sole qui sibi posset resistere. quocirca legatus antiquitatis bene peritus hominis insolentiam atque fastidium exemplo quodam compescit; quod apponere

ἔφησε γὰρ "ἄκουε, Χαγᾶνε, παλαιοῦ τινὸς καὶ λίαν σοφοῦ διηγήματος." ἐπεὶ δὲ ἡ ἔναρξις προσεχῆ πρὸς ἀκρόασιν ἐνεποίει τὸν βάρβαρον, οὐκ ἐλάμβανεν ἐγκοπὴν ἡ τῆς ἱστορίας ἀφήγησις. "Σέσωστριν φασι γεγενῆσθαί ποτε ἄνδρα λίαν εὐδαίμονα καὶ τῆς Αἰγυπτιακῆς βασιλείας ἐπιφανέστατον. τοῦτον κομᾶν ἐπὶ τῷ P 160
πλούτῳ λόγος πρεσβύτης ἐρεῖ, ταῖς δὲ δυνάμεσι πεφυκέναι λίαν ἀκαταμάχητον. τὸν δὲ ἐπὶ τοσοῦτον ὡς ἔπος εἰπεῖν κραιπαλᾶν, ὥστε ἁρμάμαξαν συμπήξασθαι χρυσοκόλλητον, λίθους τε τιμίους ταύτῃ περιβαλεῖν, ἐφιζάνειν τε ἐπὶ ταύτης τὸν βάρβαρον, καὶ ταῖς μὲν ἵπποις καὶ ταῖς ἡμιόνοις χαίρειν εἰπεῖν, τοὺς δὲ τῶν ἡττημένων βασιλέων τῷ ταύτης ζυγῷ τοὺς αὐχένας περιβαλεῖν, ἕλκειν τε ἐπὶ τῆς ἀγορᾶς τοὺς ἠτυχηκότας τῶν βασιλέων τὸ τοῦ Σεσώστριδος ὄχημα. τοῦ τοίνυν Αἰγυπτίων βασιλέως μὴ μετριοπαθοῦντος ἐπὶ ταῖς εὐπραγίαις, ἀλλὰ περιφανῶς πολλάκις B
κατονειδίζοντος τοῖς ἡττημένοις τὴν συμφοράν, ἕνα τινὰ τῶν βασιλέων φασὶ τῶν ὑποβεβλημένων τῷ ζυγῷ τοῦ ὀχήματος ἐν μεγάλῃ τινὶ καὶ περιφανεῖ ἑορτῇ, τῶν Αἰγυπτίων συρρευσάντων ὄχλων, μὴ ἐθέλειν ἕλκειν τὸ ὄχημα, πυκνά τε εἰς τοὐπίσω στρέφεσθαι καὶ τὴν ἐπὶ τῶν τροχῶν κίνησιν διορᾶσθαι. ἀσυμφώνου τοίνυν τῆς ὁλκῆς γινομένης διὰ τὸ μὴ μίαν σύννευσιν τοὺς ἐπὶ τούτῳ συντεταγμένους ποιήσασθαι, ὁ τῶν Αἰγυπτίων βασιλεὺς V 249
ἔφησε πρὸς τὸν τὰς πυκνὰς ποιούμενον συστροφάς "ἄνθρωπε, τί πρὸς τοὐπίσω τὸ βλέμμα κινεῖς; τί τοὺς τροχοὺς ἱστορεῖς; ποῖ

6. an αἱρεῖ? 16. ὑποβεβλημένων Exc. ἐπιβεβλημένων IP. 18. στρέφεσθαι Exc. συστρέφεσθαι IP.

non erit instituto alienum. dicebat ergo "audi, Chagane, priscam quandam et sapientiae plenam historiam." hoc exordium ubi barbarum attentum fecit, sic Theodorus continuavit. "fuisse aiunt aliquando Sesostrin, hominem nimis quam felicem et Aegypti regem illustrissimum. hunc divitiis circumfluxisse, potentiaque et viribus invictum extitisse, vetus est narratio. eo autem dementiae velut per crapulam processisse, ut currum inauratum insertis gemmis pretiosis conscenderet, cui relictis equis et mulis victos ab se reges subiungeret, qui illum miseri in forum protraherent. hic igitur rex Aegyptius cum in prosperitate sua moderationem animi non adhiberet, sed palam et saepius victis regibus de calamitate insultaret, ferunt quendam ex currum trahentibus, cum forte magno et insigni die festo frequens populus convenisset, noluisse trahere, crebroque retro conversis oculis rotae volubilitatem contemplatum esse. cum ita currus inaequaliter traheretur, propterea quod trahentes non paribus simul momentis traherent, rex toties respicientem compellans, quid est, inquit, bone vir, quod oculos in tergum toties retorques? quid ita rotas

C διεξεῖναι κέχηνας;" τὸν δὲ φῆσαι μετὰ φιλοσοφίας πολλῆς πρὸς τὸν Σέσωστριν "τεθαύμακα τῶν τροχῶν τὰ κινήματα. ἀνώμαλον ἔχει τὴν κίνησιν· τὰ τοίνυν τούτων μέρη μετεωρούμενα αὖθις καταχθόνια γίνεται, καὶ ἔμπαλιν τὰ περιπέζια μετὰ τοῦτο ἀπεωρίζεται." τούτων τοιγαροῦν λέγουσιν ἀκηκοότα τὸν Σέσωστριν παιδευθῆναι μὴ μεγαλοφρονεῖν, νομοθετῆσαί τε τοὺς βασιλικοὺς αὐχένας τῶν ζυγῶν ἀφεθῆναι, εἶτα ἡμιόνοις τὴν ὁλκὴν ἐπιτρέψαι. ταῦτά σε παιδευέτω, Χαγᾶνε. οὐδὲν ἀπιστότερον εὐπραγίας." ὁ μὲν οὖν Χαγᾶνος ἀποθαυμάσας τὴν ἐπιείκειαν
D τοῦ ἀνδρὸς κολάζει τὸν τῦφον, καταπαύει τὸ θράσος, μεταβάλλει πρὸς εἰρηναίαν σχέσιν τὰ πράγματα. τοιγαροῦν ὥρας ἀποσιωπήσας πολλὰς ἔφηκε πρὸς Θεόδωρον "οἶδα καὶ τυραννεῖν θυμὸν ἐξοιδαίνοντα, οἶδα καὶ στρατεύειν ὀργήν, ἀλλ' ὅτε καιρός. χαλεπότητος διαλέλυμαι τῷ Πρίσκῳ, Θεόδωρε. ἔστω δέ μοι καὶ αὐτὸς φίλος ἐπιεικής. ἀγέραστος τῆς λείας μὴ μενέτω Χαγᾶνος. ἐπὶ τῆς ἐμῆς γῆς ἐπιβέβηκε, περὶ τοὺς ἐμοὺς ὑπηκόους ἐξήμαρτεν. ἔστω τὰ τῆς εὐπραγίας κοινά." ἐπὶ τούτοις φιλοφρονησάμενος πρὸς τὸν Πρίσκον τὸν Θεόδωρον πέπομφεν. ὁ μὲν οὖν Θεόδωρος γεγονὼς πρὸς τὸν Πρίσκον διεξῆλθεν αὐτῷ τοῦ βαρβάρου τοὺς λόγους, ὁ δὲ Πρίσκος τῇ ὑστεραίᾳ ἐκκλησίαν ἐκάθισε, παρῄνει τε Ῥωμαίοις κοινωνὸν τῶν λαφύρων ποιήσασθαι καὶ τὸν βάρβαρον. οἱ δὲ Ῥωμαῖοι τέως πρὸς τὸ συνοῖσον μὴ ἐνδημήσαντες κατεστασίαζον τοῦ στρατηγοῦ. ὁ δὲ στρατηγὸς πολλοῖς καὶ ποικίλοις καὶ λίαν ἐντελέσι λόγοις χρησάμενος τὰς

4. περιπέζια Exc. περιπέτεια IP. 10. κολάζει Exc. βαλάζει IP.

aspectas? quonam abire inhias? tum ille cordate, miror, ait, tam varios rotarum motus. earum quippe partes in altum sublatae rursus in humum descendunt, iterumque ascendunt quae descenderant. his auditis narrant Sesostrin ad modestiam correctum esse, mandasseque deinde iunctis mulis a collo regum iuga demi. haec tibi documento sint, Chagane, felicitate nihil esse inconstantius." Chaganus hominis in admonendo lenitate commotus, fastum abiicit, confidentiam comprimit, ad pacem se dat; et postquam horis pluribus conticuit, tandem Theodorum his affatur. "novi imperare animo meo, cum limites egreditur: novi iram debellare, sed in tempore. desino Prisco irasci, Theodore: ille vicissim ex aequo et bono mihi amicus esto. partem praedarum Chaganus consequatur. in ditionem meam invasit; subditos meos afflixit. bona inde parta communia sunto." posthaec mira humanitate tractatum ad Priscum remittit; cui Theodorus barbari verba renuntiavit. die altero Priscus acto conventu Romanos hortatur uti barbarum praedae socium fieri patiantur. Romani tunc, quid expediret, non considerantes, duci

δυνάμεις ὑπέπεισε δοῦναί τι τῷ βαρβάρῳ τῆς λείας. ἀπέδοντο
τοίνυν Ῥωμαῖοι τοὺς ἑαλωκότας τῷ Χαγάνῳ βαρβάρους, τῶν δὲ P 161
λοιπῶν λαφύρων ἀμέτοχον αὐτὸν ποιησάμενοι διαλύουσι τὸ ἀμφίβολον. ἀσμενίσας τοίνυν ὁ Χαγᾶνος τὴν τῶν βαρβάρων ἀπόδοσιν χώραν ἐδίδου ταῖς διαβάσεσιν. οὕτω μὲν οὖν οἱ Ῥωμαῖοι πέντε χιλιάδας βαρβάρων τῷ Χαγάνῳ προῖκα καταβαλλόμενοι ἐπὶ τὰ Δριζίπερα γίνονται. ὁ δὲ στρατηγὸς ἀφίκετο ἐς Βυζάντιον. τοιγαροῦν ὁ Μαυρίκιος τῷ Πρίσκῳ ἐμέμφετο, σφάλμασί τε εὐηθείας αὐτὸν περιέβαλλεν ἀσυνέτως ἀποδεδωκότα τῷ βαρβάρῳ τὴν λείαν.

adversantur, qui multis variis prudentissimisque sermonibus eo illos adegit ut aliquid de spoliis barbaro donandum putarent. dant igitur Chagano barbaros captivos, et reliqua praeda sibi retenta controversiam omnem dirimunt. Chaganus libenter illis receptis, per regionem suam transitum Romanis permittit. ita illi quinque millibus captivorum redditis Drizipera veniunt. dux Byzantium proficiscitur, quem Mauricius de stultitia facti reprehendit, ut qui barbaro partem praedae sine iudicio restituerit.

ΘΕΟΦΥΛΑΚΤΟΥ
ΙΣΤΟΡΙΩΝ
ΛΟΓΟΣ Ζʹ.

THEOPHYLACTI
HISTORIARUM
LIBER VII.

PONTANI ARGUMENTUM.

(1) Petrus dux Prisco substitutus ad exercitum cum mandatis ab imperatore discedit. ob annonam partim in vestibus, partim in armis, partim in auro signato accipiendam miles tumultuatur. Mauricius in concione probris appetitur. iratos dux lenit, edictumque imperatoris gratiosum de praemiis bene meritorum proferens benevolentiam exercitus reconciliat. omissis maledictis imperator collaudatur. (2) seditio imperatori nuntiatur. exercitum mille anteambulant, qui cum Sclavis praedam opimam ducentibus pugna congrediuntur. cuiusdam Romani virtus. barbari occiduntur. Petrus in venatu crus allisu frangit. imperator morarum impatiens probrose ad eum scribit; audiensque Sclavos Byzantium iter infestum moliri, in Thracia illi remansionem imperat. eius e loco in locum profectio. a Nobensibus exoratur uti cum ipsis solemne sancti Lupi martyris agat. Theodoropolim postmodum abit. (3) ab Asimitis tum civibus tum praesidiariis honestissime Petrus excipitur. eximiorum militum aspectu delectatus ab oppidanis eos impetrare frustra laborat. saeva lis cum sacrorum etiam locorum et episcopi contemptu enascitur. denique desiderio frustratus et probris oneratus urbem deserit. (4) mille exploratores a Petro missi in mille Bulgaros incidunt, quos telis appetunt. barbari pacem incassum petunt. Romani e praelio fugiunt. quamobrem barbari fugientes non sint persecuti. de violato foedere Chaganus querimoniam habet et muneribus placatur. hostium consilia Petrus explorat; exploratores capiuntur; modus explicatur. (5) Romani e flumine exeuntes a barbaris obtruncantur: caeteri ex ipso flumine cum iisdem depugnant. Piragastus occumbit. barbari caeduntur fuganturque. Romanorum ex aquae penuria

calamitas. indicio barbari cuiusdam fluvio reperto vires instaurant: ab adversa ripa hostium iaculis conficiuntur, et e flumine egressi ab iisdemque devicti fugiunt. Priscus Petro succedit. (6) *elogium Ioannis patriarchae Cpolitani, a voluptatum contemptu, a domitis animi perturbationibus, a ieiuniis, a misericordia in egentes, a studio paupertatis. eius lecto ligneo, stragulo, penulae quantum honorem pius imperator habuerit. Maurorum in Africa rebellio. Carthaginensium metus. Gennadii adversum barbaros victoria. ostentum cometae, et de cometis eruditorum sententiae.* (7) *Priscus exercitum diminutum offendens a Petri accusatione suorum consiliis avocatur. ut Istrum transiit, Chaganus eum super adventu interrogat. inter ambos de finibus litigium. de Scythis Caucaseis et Borealibus digressio, et ibi de victoriis Chagani cuiusdam. non esse Germanos Abares ad Istrum, et unde illis hoc nominis. Taugast urbs nobilissima, et eius incolae: vicini item Mucritae laudantur.* (8) *unde Abares in Europa, et qua occasione hoc nomen assumpserint. Ogor gentis 30 myriades a Chagano interfectae. de Thurum tyranno ab eodem caeso. legatio Chagani ad Mauricium de suis victoriis. mons aureus cur ita vocetur. apud Turcas pestilentia nunquam visa, terraemotus rari. eorum sacra.* (9) *Chagani foedus cum Taugastensibus. eorum mores. fluvius per medios labens. conditor urbis huius et alterius Alexander M. Chubdanensium principis mors quemadmodum ab ipsius concubinis lugeatur. plura super Chubdan urbe. albi Aethiopes ad Septentrionem.* (10) *Chaganus Singidonis moenia diruit, populum ad hostes demigrare cogit. Priscus in insulam Istri, deinde Constantiolam venit. Chagani de iure finium regundorum violato expostulatoria oratio; in qua officii in pace conservanda tuendoque foedere Priscus serio monetur.* (11) *in vexanda Singidone Chagani iniquitatem Priscus redarguit, eumque ab avaritia dehortatur, et a victoriae inconstantia ac mutabilitate rerum terret, et sententias loquitur. barbarus ira inflammatus graviora comminatur. ad Singidonem liberandam Gudois mittitur. obiectu plaustrorum barbari se tuentur. tandem fugam faciunt. muri deiecti instaurantur. Chaganus aperte foedus solvit.* (12) *in Dalmatia Chaganus urbem et quadraginta castra expugnat. Gudois cum delecta manu ad rem inspiciendam mittitur. quamobrem per impedita et invia loca iter fecerit. praedam barbaris interemptis recipit. Chaganus moeret. Mauricio et liberis eius caedes a monacho strictum portante gladium, a quodam insuper Herodiano praenuntiatur.* (13) *Chaganus Tomeam obsidet, cui Priscus succurrit. in castris hiberna aguntur utrinque. Chagani singularis et insperata in commeatu Romanis ad dies sacros sufficiendo liberalitas. petenti Priscus vicissim donat aromata. sub iisdem tentoriis pacifice degunt ambo exercitus. festis transactis separantur. Comentiolus Chaganum contra se venientem timens recedit. milites ad Iatrum urbem, velut proditi, probris eum conscindunt.* (14) *Romani diligentius sese obarmant. Comentiolus de permutatis ordinibus reprehenditur. eius astus. Romanorum fuga. barbari claustra transitu prohibendo circumsident: a Romanis repelluntur. Comentiolus ut ignavus fugitor Drisiperis ingressu contumeliose arcetur. eam urbem barbari occupant. in templum Alexandri martyris eiusque cineres eorum impietas.* (15) *supplicium barbaris propter Alexandrum martyrem divinitus irrogatum saeva pestilentia. Chagani item filii septem uno die moriuntur; cui calamitoso historicus insultat. Comentioli in urbem Cpolim reditus formido immodica malorum cives incessit. imperator copias ad longum murum defendendum mittit. suadente senatu legatio ad Chaganum placandum instituitur. eius luctus acerbissimus. Romanorum de pace turbata reprehensio. conditiones in quas facta pax.* (16) *duo portenta, unum virili, alterum muliebri specie in Nilo conspecta. utrumque accurate describitur, et prius a praefecto adiuratur. reprehensa obiter curio-*

βηνοῖς λείαν ἐπαγομένοις Ῥωμαίων πολλήν· τὰ γὰρ Ζαλδαπὰ
καὶ Ἄκυς καὶ Σκόπις καταπρονομεύσαντες αὖθις ἐλαφυραγώγουν
τοὺς ἀτυχήσαντας, ἦν δὲ αὐτοῖς ἐπὶ πλήθους πολλοῦ ἁμαξῶν ἡ
ἀποσκευὴ τῶν λαφύρων. ὡς δὲ ἐπιόντων ἔβλεψαν τοὺς Ῥω-
C μαίους οἱ βάρβαροι, εἶτα καὶ ἀντεβλέφθησαν, ἐπὶ τὸν φόνον
τῶν αἰχμαλώτων ἐτράποντο. ἀναιρεῖται τοίνυν ἡ τῶν ἀρρένων
αἰχμαλώτων ἡβηδὸν ἡλικία. ἐπεὶ δὲ δύσφευκτος τοῖς βαρβάροις
ὑπῆν ἡ συνάντησις, τὰς ἁμάξας συνθέντες περιεβάλοντο χάρακα,
V 253 ἅμα τοῖς μειρακίοις τὰ γύναια εἰς τὸ μεσαίτατον τῆς τάφρου ἐνα-
ποθέμενοι. οἱ δὲ Ῥωμαῖοι πεπλησιακότες τοῖς Γέταις (τοῦτο
γὰρ τοῖς βαρβάροις τὸ πρεσβύτερον ὄνομα) οὐκ ἐθάρρουν εἰς
χεῖρας ἐλθεῖν· ἐδεδίεσαν γὰρ τὰ ἐκ τοῦ χάρακος κατὰ τῶν ἵππων
ὑπὸ τῶν βαρβάρων ἀκόντια προερχόμενα. ὁ τοίνυν τούτων ἐπι-
στατῶν (Ἀλέξανδρος ὄνομα αὐτῷ) τῇ πατρίῳ τῶν Ῥωμαίων
φωνῇ τοῖς Ῥωμαίοις ἐνεκελεύετο καὶ κατασυστάδην τῶν πολεμι-
D κῶν κινδύνων ἐφάπτεσθαι. ἀτὰρ οἱ Ῥωμαῖοι ἀποβάντες τῶν
ἵππων προσομιλοῦσι τῷ χάρακι, ἐδίδοσάν τε καὶ ἀντελάμβανον
τὰς ἐκπομπὰς τῶν βελῶν. τῆς μάχης τοιγαροῦν διαρκούσης ἑκα-
τέρᾳ δυνάμει Ῥωμαῖός τις εἰσεπήδησε, καὶ ἀνεὶς ἐπὶ μιᾶς ἐπι-
βαίνει ἁμάξης συνηνωμένης τῷ χάρακι καὶ περιφρουρούσης τὸ
βάρβαρον, εἶτα στὰς ἐπὶ ταύτης τῷ ξίφει τοὺς πλησιάζοντας
ἔπαιε. γίνεται τοίνυν τοῖς βαρβάροις ἀμεθόδευτον τὸ κακόν·
λύουσι γὰρ ἐντεῦθεν οἱ Ῥωμαῖοι τῶν βαρβάρων τὸν χάρακα. οἱ
δὲ βάρβαροι ἀπειρηκότες τοῦ σώζεσθαι τὴν ἐπίλοιπον τῆς αἰχμα-
λωσίας μοῖραν ἀπέσφαττον. οἱ δὲ Ῥωμαῖοι ἐγκρατῶς ἐπιθέμε-

18. διακρούσης IP.

vos praeda Romana onustos incidunt. Zaldapa namque Acys et Scopes depopulati de integro miseros expilaverant, plaustra complura spoliis impleverant. barbari ut Romanos imminentes viderunt et ab iis visi sunt, ad captivos iugulandos prorumpunt, pubemque totam e medio tollunt. quoniam vero occursum Romanorum vitare se vix posse cernebant, vehiculis iunctis pro vallo se circumsepiunt, pueros et mulieres in medium recipiunt. Romani Getis (hoc enim illis nomen vetus est) propiores facti manum conserere cominus non audebant, e vallo accidentia in ipsorum equos tela metuentes, cum Alexander praefectus eos ad discrimen stataria pugna subeundum patria lingua cohortatur. ergo Romani de equis descendentes ad vallum procedunt. tela utrinque iaciuntur. et ex parte utraque Marte continuato, Romanus quidam insilit, enitensque plaustrum vallo coniunctum et pro defensione obiectum conscendit, illique insistens accedentes gladio ferit. barbaris deest cladis effugiendae consilium. perrumpunt quippe vallum Romani; ex quo barbari salutis spe orbati reliquum captivorum necant. Romani magna mole irruentes,

νοι ὀψέ που καὶ μόλις τοὺς περὶ τὸν χάρακα βαρβάρους ἀπέκτειναν. δευτέρα δὲ ἡμέρα, καὶ οἱ νενικηκότες τῷ στρατηγῷ τὰ συγχυρήσαντα διεξήεισαν. πεμπταῖος δὲ ὁ στρατηγὸς κατὰ τοῦτον τὸν χῶρον γενόμενος, καὶ δὴ τὰ ἐπίχειρα τῶν προθεόντων ἰδών, ἠμείψατο τοὺς ἀνδραγαθήσαντας δώροις. τῇ δὲ ὑστε- P 168 ραίᾳ κυνηγετεῖν ὁ Πέτρος πειρώμενος γίνεται πρὸς ἄλσος βαθύ. συὸς τοίνυν μεγίστου ἐν τούτῳ τῷ τέμπει κατεμφωλεύοντος, καὶ τῆς ὑλακῆς τῶν κυνῶν γενομένης μεγάλης, τὸ θηρίον τοῦ ἑδράσματος ἐξανίσταται καὶ κατὰ τοῦ Πέτρου χωρεῖ. ὁ δὲ στρατηγὸς πρὸς φυγὴν ἀναστρέψας τὸν ἵππον τὸν εὐώνυμον πόδα ἐξέθλιψεν δένδρῳ ὑψιτενεῖ προσραγείς. ὀδύναις τοιγαροῦν ὁ Πέτρος ἀφορήτοις σφακελιζόμενος ἐνδιατρίβει τῷ χώρῳ, ἐπὶ τῷ σφάλ- B ματι κραταιῶς λίαν νοσηλευόμενος. ὁ δὲ Καῖσαρ ἀσχάλλων ἐπὶ τῇ τριβῇ τοῦ στρατηγοῦ, τήν τε περὶ τὸν πόλεμον ἀπραξίαν θαυμάσας, τὸν στρατηγὸν ἐλογογράφει ταῖς ὕβρεσιν. ὁ τοίνυν Πέτρος τὴν ἐν γράμμασι δυσφημίαν μὴ φέρων τοῦ αὐτοκράτορος, ἔτι πικρῶς ὑπὸ τῆς νόσου κατατρυχόμενος μεταποιεῖται τὸν χάρακα, καὶ τάφρους τέτταρας ἐναλλάξας ἐπὶ τὰς τῶν Σκλαβηνῶν ἐνεφοίτα διατριβάς. δεκάτη δὲ ἡμέρα, καὶ ὁ αὐτοκράτωρ Μαυ- C ρίκιος βασίλειον ἐπιστολὴν τῷ αὐταδέλφῳ ἐξέπεμπεν ἐνδημῆσαι τῇ Θρᾴκῃ· ἠκηκόει γὰρ ὁ Μαυρίκιος τῶν Σκλαβηνῶν τὰ πλήθη ἐς Βυζάντιον τὰς ὁρμὰς ἐπιφέρειν. ὁ δὲ στρατηγὸς ἐκ τούτου ἐπὶ τὸ Πίστου γίνεται φρούριον, μετὰ τοῦτο πρὸς τὰ Ζαλδαπὰ ἀφικνεῖται. δευτέρα δὲ ἡμέρα, καὶ πρὸς τὴν Ἰατρὸν τὴν πόλιν φοιτᾷ, καὶ δῆτα τὸ Λαταρκίου φρούριον παραμείψας εἰς Νοβὰς στρατοπεδεύεται. οἱ τοίνυν ἐγχώριοι ἀκηκοότες τὸν στρατηγὸν

sero licet et vix, barbaros intra vallum trucidant. altero die victores Petro duci eventa exponunt. qui die quinto in eodem loco versans, praemiaque a praecurrentibus parta conspiciens, donis eos ob virtutem est prosecutus. postridie venationem exorsus in densum quendam saltum venit, in quo aper immanis delitebat, qui resonis canum latratibus e latibulo suo excitus ducem petit. is equo ad fugam converso sinistrum pedem excelsae arbori illisum comminuit. doloribus ob id intolerandis tabescens, et ex illo infortunio laborans gravissime, in locis illis sese tenet. imperator moras indignans tantamque belli cessationem admirans, stomachosiores litteras ad eum scribit. Petrus convicia non ferens, quanquam adhuc acerbis oppressus cruciatibus, itineri se dat, et quartis castris loca ubi Sclavi morabantur attingit. decimo die Mauricius fratri epistolam transmittit, qua praecipit ut, quoniam audierit Sclavorum copias infestas Byzantium adventare, ipse Thracia ne excedat. ob hoc Pistum castellum, deinde Zaldapa contendit. postero die Iatrum urbem venit, Latarcioque castello praeterito Nobas appropinquat. eius adventu

ἐλευσόμενον τοῦ ἄστεος ἐξεχώρησαν, καὶ συνάντησιν αὐτῷ λίαν
ἐπίδοξον ἐποιήσαντο, καὶ τὸν Πέτρον καθικετεύουσι συνθιασώ-
την τῆς Λούπου γενέσθαι τοῦ μάρτυρος πανηγύρεως· κατ' ἐκεί-
νην γὰρ τὴν ἡμέραν ἦν ἡ προεόρτιος ἑορτὴ Λούπου τοῦ μάρτυ-
ρος. ὁ μὲν οὖν στρατηγὸς διημερεῦσαι περὶ τὸν χῶρον διὰ τὴν
ἐκ τῆς ἀνάγκης ὁδοιπορίαν μὴ δύνασθαι ἔφασκεν· οἱ δὲ τοῦ
ἄστεος παχύναντες τὴν ἀξίωσιν τῇ ὑπεροχῇ τῶν δεήσεων τὸν
στρατηγὸν ἐβιάσαντο μέτοχον γενέσθαι τῆς πανηγύρεως. ὁ μὲν
οὖν Πέτρος ἡμέρας δύο ἀνὰ τὸ πόλισμα γεγονὼς ἀπαίρει ἐντεῦ-
θεν, καὶ ἐπὶ τὴν Θεοδώρου πόλιν τάφρον ἐχάραξεν, ὑπὸ πρώ-
D την δὲ ἕω ἐν τῇ λεγομένῃ Κουρίσκᾳ φοιτᾷ. (3) τρίτῃ δὲ ἡμέρᾳ,
V 254 καὶ ἐν Ἀσίμῳ τῇ πόλει τὰς ἐπαύλεις ποιεῖται. ἐπεὶ δὲ οἱ τοῦ
ἄστεος ἐμεμαθήκεσαν προσδόκιμον ὄντα τὸν στρατηγόν, ἔξω γε-
γονότες τοῦ ἄστεος συναντῶσι τῷ Πέτρῳ, καὶ περιφανῆ τὴν περὶ
τὸ ἄστυ τοῦτο ἐπεποίηντο εἴσοδον. ἐν τῷ πολίσματι τούτῳ ἀπὸ
πρεσβυτέρων χρόνων τινῶν ὁπλιτικὸν συνετέτακτο ἐπὶ διαφρουρᾷ
P 169 τῶν τῆς πόλεως· πυκνότερον γὰρ περὶ ταύτην τὴν πόλιν οἷα
διάττοντες οἱ βάρβαροι κατεσπίλαζον. πυθόμενοι τοιγαροῦν τὸ
ἐν ταύτῃ τῇ πόλει ὁπλιτικὸν καθεστὸς μέλλειν ἥκειν τὸν στρατη-
γόν, τὰ σημεῖα ἀράμενον, ἃ βάνδα Ῥωμαῖοι κατονομάζουσιν,
ἀποχωροῦσι τῆς πόλεως, εἶτα τοῖς ὅπλοις περιφραξάμενοι λίαν
εὐκλεῶς τὸν στρατηγὸν ὑπεδέχοντο. ὁ μὲν οὖν Πέτρος τὸ μεγα-
λοπρεπὲς τῶν περὶ τὴν πόλιν στρατιωτῶν θεασάμενος ἐνεχείρει
τούτους ἀπὸ τῆς πόλεως ἀφαιρεῖν καὶ ταῖς περὶ αὐτὸν συναναμῖ-
ξαι δυνάμεσιν. οἱ μὲν οὖν ἀστοὶ τό τε περὶ τὴν πόλιν ὁπλιτικὸν
B Ἰουστίνου τοῦ αὐτοκράτορος ὑπεδείκνυον νόμον, χαριζομένου τῇ

23. τῶν] τὸ IP.

in urbem perlato incolae perhonorifice obviam prodeunt, enixius rogantes uti festum diem Lupi martyris, cuius eo die praefestum erat, cum ipsis agere ne gravaretur. respondet propter necessariam profectionem illic se nec unum diem posse commorari. tum cives magis atque magis instantes summis precibus quod volunt extorquent. biduo ibidem peracto discedit, et ad Theodoropolim castrametatur, primoque diluculo Curiscam venit. (3) tertio die in oppido Asimo subsistit. oppidani ubi eum affore didicerunt, obviam se effundunt et insigni pompa introducunt. huic oppido praesidium militare iam pridem impositum erat, quod barbari crebrius id incursantes lacerarent. itaque et praesidiarii postquam appropinquare ducem intellexerunt, sublatis vexillis, quae Romanis banda dicuntur, moenibus armati procedunt, eumque magna cum dignitate excipiunt. Petrus tam praestantes oppidi milites contemplatus, eos inde abducere et suis adiungere copiis machinatur. cives, atque adeo praesidiarii ipsi, praesidium illud Iustini imperatoris auctoritate urbi attribu-

πόλει τὴν ἔνοπλον ταύτην διάδοχον πρόνοιαν. τῇ δὲ ἐπαύριον
ὁ πολέμαρχος ἔνστασιν ποιησάμενος ἀφαιρεῖσθαι τῆς πολίχνης
τοὺς συντεταγμένους ἐπὶ τῇ ταύτης φρουρᾷ κατηπείγετο. διὰ
τοῦτο ἐπὶ τὸ τῆς πόλεως ἱερὸν οἱ περὶ τὴν πόλιν στρατιῶται τὴν
καταφυγὴν ἐποιοῦντο. τούτων ὁ στρατηγὸς ἀκηκοὼς τῷ ἐπισκο-
ποῦντι ἐδήλου τῶν ἱερῶν ὑπεξαγαγεῖν αὐτούς. δυσανασχετοῦν-
τος δὲ τοῦ ἱερέως, ἀποστέλλει ὁ στρατηγὸς Γέντζωνα τὸν ταξίαρ-
χον μετὰ πλήθους στρατιωτῶν ἐξωθῆσαι πρὸς βίαν τοὺς ἐπὶ τῷ C
νεῷ τὴν καταφυγὴν ποιουμένους. τούτων δὴ ἀκηκοότες οἱ ἐν
τοῖς ἱεροῖς ἑδράσμασι καταφεύγοντες, ὅπλοις φραξάμενοι τὰς
θύρας τοῦ ἱεροῦ ἐναποκλείουσι πάντοθεν. ὁ μὲν οὖν Γέντζων
τὴν ἔνστασιν τὴν ἐν τῷ ἱερῷ περιβόλῳ θεασάμενος τήν τε ἀτο-
πίαν τοῦ πράγματος διαγνούς, ἅμα δὲ καὶ τὴν αἰδῶ τοῦ ναοῦ
σεβασθείς, ἄπρακτος ἀπεφοίτα. ὁ δὲ στρατηγὸς καταθυμω-
θεὶς ἐπὶ τούτοις ἀποχειροτονεῖ τῆς στρατηγίας τὸν Γέντζωνα·
ἦν δὲ ὁ Γέντζων τῆς πεζικῆς δυνάμεως ἡγεμών. τῇ δὲ ὑστεραίᾳ D
ἕνα τινὰ τῶν τοῦ βασιλέως σωματοφυλάκων, ὃν σκρίβωνα Ῥω-
μαῖοι κατονομάζουσιν, εἰς τὴν ἑαυτοῦ σκηνὴν μετάκλητον ποιη-
σάμενος ἀναιδῆ τινὰ διεγχείρησιν τούτῳ προσέταττεν· ἡ δὲ ἀξίω-
σις ἦν τὸν ἐπισκοποῦντα τὴν πόλιν ἠτιμωμένως ἕλκειν ἐπὶ τὸν
χάρακα. τούτων οἱ τῆς πόλεως μάρτυρες γεγονότες ἅπαντες συν-
αθροίζονται, καὶ τὸν ὑπὸ τοῦ στρατηγοῦ ἀποσταλέντα κατὰ
τοῦ ἱερέως ἐξωθοῦσι βίᾳ τῆς πόλεως, τάς τε πύλας τοῦ τείχους
συγκλείσαντες καθύμνουν ταῖς εὐφημίαις τὸν αὐτοκράτορα, τὸν
δὲ στρατηγὸν ὕβρεσι περιέβαλλον. ὁ δὲ Πέτρος περιστοιχίσας

tum, et hanc quasi vicariam ipsius et armatam providentiam ab eo sibi donatam esse docent. die sequenti dux vehementius rem urgens, oppidulum constitutis defensoribus nudare annititur. qua de causa milites in aedem sacram tanquam in asylum confugiunt. eo comperto dux episcopo mandat uti eos inde educat. quod cum ille facere detrectaret, Gentonem taxiarchum cum cohorte ad perfugas illos per vim templo expellendos destinat. hoc simulatque illi resciverunt, arreptis armis templi ianuas occludunt. Gento hominum in sacro illo septo pertinaciam videns, et improbum ducens quod imperatum erat, nec non templi sanctitatem reveritus, irrito incepto recedit. ea re dux furore impulsus, officio Gentonem (ducebat autem peditatum) exuit. postridie quendam de satellitibus imperatoris (Romani scribonem nominant) in tabernaculum suum advocat, cui facinus impudens iniungit. postulat enim uti urbis episcopum cum dedecore in castra pertrahat. id conspicati cives, concursu facto satellitem adversus episcopum a duce missum urbe eiiciunt, obseratisque portis laudes in imperatorem congerunt, Petrum maledictis cooperiunt. sic Petrus alios indagine cingens, ipse a praesidio urbis ut reti

ἀπὸ σημείου τῆς πόλεως ἐνεκυλίετο. ἐπεὶ δὲ τὰ τῆς ἐγχειρήσεως
ἦν αὐτῷ κατονείδιστα, καταλιμπάνει τὸ πόλισμα, καὶ ἐς τὸ
πρόσω βαδίσεως ἔναρξιν ἐποιεῖτο, μεγάλαις βλασφημίαις προπεμ-
πόμενος ἐκ τῆς πόλεως.

P 170 V 256 4. Ἕκτη δ' ἡμέρα, καὶ πρὸς τὸ σκοπῆσαι τοὺς πολε-
μίους ἄνδρας χιλίους συνέταξεν. οὗτοι ἑκατοντάσι δέκα Βουλ-
γάροις προσπίπτουσιν. οἱ μὲν οὖν βάρβαροι, ἅτε δὴ εἰρήνης
Ῥωμαίοις καὶ Χαγάνῳ ὑπούσης, ἀπεριμερίμνως ἐποιοῦντο τὴν
βάδισιν· οἱ δὲ Ῥωμαῖοι γνώμῃ τοῦ στρατηγοῦ κατὰ τῶν βαρβά-
ρων τοῖς ἀκοντίοις ἐκέχρηντο. οἱ δὲ Βούλγαροι πρέσβεις ἐξέπεμ-
πον τήν τε μάχην ἀποκηρυκεύοντες, καὶ παρῄνουν Ῥωμαίοις τὴν
εἰρήνην μὴ διαφθείρειν. ὁ δὲ τοῦ συντάγματος ἔξαρχος πρὸς
B τὸν στρατηγὸν τοὺς πρέσβεις ἐξέπεμπεν, ἀπὸ σημείων ὀκτὼ πε-
φυκότα τοῦ χωρίου. καὶ οὖν ὁ Πέτρος τοὺς εἰρηναίους λόγους
ἀποσεισάμενος τοῖς προθέουσιν ἐδήλου φόνῳ μαχαίρας τοὺς βαρ-
βάρους παραχρῆμα ὀλλύναι. οἱ μὲν οὖν Βούλγαροι πρὸς μάχην
χεῖρας ἐνέμιξαν, καὶ λίαν ἡρωϊκῶς συνταξάμενοι εἰς φυγὴν ἀπο-
κλῖναι Ῥωμαίους ἠνάγκασαν. τούτου δῆτα γεγονότος ὑπανα-
χωροῦσι κατὰ μικρὸν καὶ οἱ βάρβαροι ἐντροπαλιζόμενοι, ὀλίγον
C γόνυ γουνὸς ἐπαμείβοντες, ἵνα καί τι τῆς Ὁμηρικῆς δέλτου τοῖς
διηγήμασιν ἀναμίξωμεν· ἐδεδίεσαν γὰρ μή πως ἐπίθετος δύνα-
μις τοῖς ἡττηθεῖσι προσομιλήσασα αὖθις συσταίη πρὸς πόλεμον.
ὁ μὲν οὖν Πέτρος δῃτυχηκὼς τοῦ βουλήματος, τὸν ταξίαρχον
τῶν προθεόντων τῆς ἐσθῆτος γυμνώσας δουλοπρεπῶς ἐμαστί-

quodam involutus est. quando igitur coeptum ei in probrum et infamiam vertit, relicto oppido ultra pergere instituit, diris eum oppidanorum maledictis prosequentibus.

4. Sexto die mille viros ad hostes explorandos legit, qui in mille Bulgaros praeter opinionem incurrunt. barbari tanquam pace inter Romanos et Chaganum composita securi nihilque sollliciti porro gradiuntur; in quos Romani ducis sui voluntate tela coniiciunt. Bulgari oratores mittunt, pugnam deprecantur, et de pace non dissuenda Romanos admonent. hos oratores dux barbaricus ad Romanum ducem ab eo loco passuum octo millibus abseutem misit. Petrus verba de pace aversatus, Bulgaris exercitum praecurrentibus mox sese barbaros ferro perditurum significat. itaque Bulgari pro tempore ad conflictum instructi manus conserunt, et servatis admodum viriliter ordinibus Romanos in fugam compellunt, conversique sensim recedunt, paulum genua alternantes, ut etiam de Homericis libris aliquid historiae nostrae admisceamus. formidabant etenim, ne forte, si fugientes premendo assequerentur, redintegrare praelium cogerentur. Petrus proposito suo lapsus, praecurrentium exploratorum suorum taxiarchum detractis vestibus servilem in modum

γνωσε. παραγίνονται τοίνυν ἐπὶ τὸν Χαγᾶνον οἱ βάρβαροι, καὶ τὰ παρηκολουθηκότα παραγυμνοῦσιν αὐτῷ. ὁ μὲν οὖν βάρβαρος ὡς τὸν Πέτρον πρέσβεις ἐξέπεμπε, καὶ παρασπονδοῦντί πως αὐτῷ κατωνείδιζεν. ὁ δὲ Πέτρος τοὺς πρέσβεις πιθανοῖς λόγοις D ἀπεβουκόλησε, καὶ ἄγνοιαν τοῦ σφάλματος προεφέρετο. δώροις τοίνυν λαμπροῖς καὶ λαφύρων ζημίαις μετατίθησι τὸν βάρβαρον πρὸς εὐμένειαν.

Τετάρτη δὲ ἡμέρα, καὶ πλησίον γίνεται τοῦ γείτονος ποταμοῦ, καὶ εἴκοσι συλλεξάμενος ἄνδρας ἐπεπόμφει διαπεραιοῦσθαι τὸν ποταμὸν καὶ διανοῆσαι τὰ τῶν πολεμίων κινήματα. οἱ μὲν οὖν τὸν ποταμὸν διαπορθμευσάμενοι ἥλωσαν ἅπαντες. ὁ δὲ τρόπος τῆς ἁλώσεως οὗτος. εἴθισται τοῖς ἐπὶ κατασκοπῇ συντεταγμένοις ἀεὶ τὰς νύκτας ποιεῖσθαι τὴν βάδισιν, ἡμέρας δὲ λαμπούσης ὕπνοις προσομιλεῖν. οὗτοι πολλὴν τῇ προτεραίᾳ διαπεποιηκότες πορείαν, εἶτα κεκοπιακότες ἐπὶ τοῖς σώμασιν, ὑπὸ τὸ λυκόφως εἰς ἀνάπαυλαν τρέπονται περί τινα πλησίον λόχμην. περὶ δὲ τὴν τρίτην ὥραν πάντων καθευδόντων, καὶ μὴ P 171 ὑπόντος τοῦ διαφρουροῦντός τινος, γίνονται περὶ τὴν λόχμην οἱ βάρβαροι. ἀποβάντες τοίνυν οἱ Σκλαβηνοὶ τῶν ἵππων ἐνεχείρουν ψυχάζειν τοῖς τε ἵπποις ἀνακωχῆς μεταδιδόναι τινός. τοιγαροῦν ἐκ τοῦ παρήκοντος γίνονται οἱ Ῥωμαῖοι κατάφωροι. καὶ ζωγρηθέντες οἱ δείλαιοι ἀνητάζοντο διεξελθεῖν, ὅσα τοῖς Ῥωμαίοις βεβούληται. οἱ μὲν οὖν ἀπογνόντες τὴν σωτηρίαν διεξήεσαν ἅπαντα. ὁ δὲ Πειράγαστος (φύλαρχος δὲ οὗτος τῆς πλη-

14. τὴν προτεραίαν IP.

flagris caedit. Chagano barbari, quae sibi evenerunt, coram edisserunt. ille Petro per legatos foederis violati crimen exprobrat. Petrus legatos verbis ad fidem faciendam compositis deludit, et delicti huius ignorantiam praetexit. quamobrem donis insignibus, et spoliis praeterea ultro in poenam restitutis, barbarum ad benevolentiam traducit.

Quarto die flumini vicinior Petrus viginti delectis negotium dat, ut illo traiecto hostium sensus et consilia odorari studeant. traiiciunt, capiunturque omnes in hunc modum. constitutis exploratoribus noctu semper ambulare, die redeunte somnum capere mos est. hi quod nocte praeterita longa ambulatione corpora delassaverant, primo diluculo in propinqua virgultorum densitate quieti concedunt. tertiam circiter horam consopitis omnibus, ad virgulta illa Sclavi accedunt, ab equis descendunt, frigus in umbra captare et equis tantisper indutias dare instituunt. dum praetereunt, Romanos deprehendunt, miseros capiunt, et ab iis quid molirentur Romani expiscantur. capti salutem desperantes aperiunt omnia. Piragastus, tribunus catervae barbaricae, cum suis ad transitum

*θύος ἐκείνης τῶν βαρβάρων) τὰς δυνάμεις ἀναλαβὼν ἐπὶ τὰς τοῦ
ποταμοῦ διαβάσεις στρατοπεδεύεται, καὶ ταῖς ὕλαις ἐγκρύπτεται
B οἷά τις ἐπιφυλλὶς ἀθεώρητος.* (5) *ὁ δὲ στρατηγὸς ὁ τοῦ αὐ-
τοκράτορος ἀδελφός, ἀπευδοκιμήσας ἐντεῦθεν πολεμίους ὑπεῖ-
ναι, κελεύει τὸν ποταμὸν διαπεραιοῦσθαι τὸ στράτευμα. χιλίων
τοίνυν διανηξαμένων τὸν ποταμόν, ἅπαντας ἀναιροῦσιν οἱ βάρ-
βαροι. τοῦτο διεγνωκὼς ὁ στρατηγὸς κατεπείγει τὰ πλήθη μὴ
ἀνακερμάτιστον ἀλλὰ σύμφωνον ποιήσασθαι τὴν διάβασιν, ἵνα
μὴ κατ' ὀλίγον τὸν ποταμὸν περαιούμενοι παρανάλωμα τοῖς ἀν-
C τιπάλοις γενήσωνται. οὕτω τοίνυν τῆς Ῥωμαϊκῆς κοσμηθείσης
συντάξεως, περὶ τὴν ὄχθην τοῦ ποταμοῦ οἱ βάρβαροι παρατάτ-
τονται. οἱ μὲν οὖν Ῥωμαῖοι ἀπὸ τῶν πορθμιδίων τοὺς βαρβά-
ρους κατακοντίζονται, οἱ δὲ βάρβαροι τὰ πλήθη τῆς ἐκπομπῆς
τῶν βελῶν φέρειν ἀδυνατήσαντες ὀρφανὰς τὰς ὄχθας καταλιμ-
πάνουσιν. ἀναιρεῖται τοίνυν ὁ τούτων ταξίαρχος, ὃν Πειρά-
γαστον ὁ λόγος φθάσας ἐδίδαξε· βέλους γὰρ ἐπὶ τῆς λαγόνος
καταβληθέντος αὐτῷ, ἐν καιρίῳ τε τῆς πληγῆς γεγονυίας, θά-
D νατος αὐτῷ πραγματεύεται. καὶ οὖν πεπτωκότος τοῦ Πειραγά-
στου τρέπεται πρὸς ἀποφυγὴν τὸ πολέμιον. γίνονται τοίνυν οἱ
Ῥωμαῖοι κύριοι τῆς ὄχθης τοῦ ποταμοῦ. εἶτα τὰ πλήθη τῶν
βαρβάρων περιβάλλοντες φόνῳ πολλῷ πρὸς ἀπόδρασιν χωρεῖν
αὐτοὺς κατηνάγκαζον. τὴν δὲ δίωξιν ἐς μακρὰν μὴ οἷοί τε ὄντες
ποιήσασθαι διὰ τὸ τῆς ἵππου χηρεύειν, πρὸς τὸν χάρακα ἐπανέ-
ζευξαν. γίνεται τοίνυν τῇ ὑστεραίᾳ μεγάλη πλάνη τοῖς ποδη-
γοῦσι τὸ στράτευμα, ὅθεν καὶ ἀνυδρία τῷ στρατοπέδῳ ἐνέσκηψε,*

4. an *ἐνταῦθα*? 25. an forte *ἐνέσκηψεν. ἡμέρα δευτέρα, καὶ*?

fluminis procedit, atque in proxima silva haud secus quam racemus sub frondibus latet. (5) porro dux, imperatoris frater, haud ratus illic hostes latitare, amnem traiicere suos iubet. mille traiiciunt, quos ad unum barbari interficiunt. id ubi dux sensit, dat operam sedulo ut non palatim sed iunctim omnes simul traiiciant, ne alioqui ab hostibus deleantur. sic igitur Romano agmine aggregato et adornato, ad ripam barbari acie digesta consistunt. Romani e naviculis tela mittunt, quorum multitudinem barbari cum defendere non possent, ripam deserunt, caditque ipsorum ductor, cui Piragasto nomen fuisse diximus: sagitta quippe in eius ilia contorta, letale vulnus mors est consecuta. occiso Piragasto hostes in fugam convertuntur. Romani ripam obtinentes et in barbaros multa caede grassantes, caeteros item fugere cogunt. cum autem fugientes longius insequi nequirent propterea quod equis carebant, ad vallum sese recipiunt. postridie multum de via aberrantibus qui exercitui pedibus praeibant, in loca inaquosa deveniunt, crescitque

καὶ τὰ τῆς συμφορᾶς ἐπετείνετο. οὐ φέροντος τοίνυν τοῦ ὁπλιτικοῦ τὴν σπάνιν τοῦ ὕδατος οὔρῳ παρεμυθοῦντο τὸ δίψος. ἡμέρα δὲ τρίτη, καὶ τὸ κακὸν ἐμηκύνετο. καὶ ἂν ἡ στρατιὰ διώλωλεν ἅπασα, εἰ μὴ βάρβαρός τις ἁλοὺς τὸν Ἠλιβακίαν αὐτοῖς ἐξέλεξε ποταμόν, τέτταρας παρασάγγας ἀπέχοντα. οὕτω μὲν οὖν οἱ Ῥωμαῖοι ἐξ ἑωθινοῦ περιτυγχάνουσιν ὕδατι. τοίνυν οἱ μὲν προκλίναντές πως τὰ γόνατα τοῖς χείλεσι τὸ ὕδωρ λα- P 172
φύττουσιν, οἱ δὲ ἐπικεκυφότες ταῖς χερσὶν ἠρύοντο ὕδατα, ἄλλοι ἀπήντλουν ταῖς ὑδρίαις τὸ νᾶμα. δασέος δὲ τέμπους ὑπόντος εἰς τὸ ἀντιπέρας τοῦ ποταμοῦ, καὶ βαρβάρων ἐγκρυπτομένων αὖθι, γίνεται μεγίστη τοῖς Ῥωμαίοις ἐπήρεια· ἀκοντίοις γὰρ ἔβαλλον τοὺς ὑδρευομένους οἱ βάρβαροι. οὐκοῦν ἐξ ἀπόπτου φόνος πολὺς ἐπεγίνετο. δυοῖν τοίνυν θάτερον ἦν ἑλέσθαι B
ἀνάγκη, τοῦ ὕδατος ἀπειπεῖν καὶ ἀπὸ τοῦ δίψους τὸν βίον ἀπολιπεῖν, ἢ μετὰ τοῦ ὕδατος ὑπαντλεῖν καὶ τὸν θάνατον. ἀτὰρ πορθμία οἱ Ῥωμαῖοι ναυπηγησάμενοι τὸν ποταμὸν διενήξαντο, ὅπως κατάφωρον τὸ πολέμιον γένοιτο. ἐπεὶ δὲ πρὸς τὸ ἀντιπέρας τὸ ὁπλιτικὸν παρεγένετο, ἀθρόον οἱ βάρβαροι ἐπιθέμενοι τῶν Ῥωμαίων κρατοῦσιν. οἱ μὲν οὖν Ῥωμαῖοι νενικημένοι πρὸς φυγὴν ἀποκλίνουσι. καταπολεμηθέντος τοίνυν ὑπὸ τῶν βαρβάρων τοῦ Πέτρου Πρίσκος γίνεται στρατηγός, καὶ οὖν ἀποχειροτονηθεὶς τῆς ἡγεμονίας ὁ Πέτρος ἐς Βυζάντιον ἧκεν. C

6. Πρὸ τεττάρων τοίνυν τούτων ἐνιαυτῶν (πρὸς γὰρ τὰ V 257
πρεσβύτερα τῆς ἱστορίας αὖθις γινόμεθα) Ἰωάννης ὁ τὴν ἐς Βυζάντιον ἐκκλησίαν ἰθύνων τὸν τῇδε βίον ἀπέλιπεν, ὃς διὰ τὸ κα-

semper calamitas. milites aqua se defici non sustinentes, urina sitim consolantur. cum in diem tertium duraret augereturque miseria, periissent utique universi, ni barbarus quidam captus de Helibacia fluvio quatuor parasangis distante illis indicasset. ita mane Romani aquam inveniunt. tum alii inclinatis genibus proni ore avido hauriunt, alii se incurvantes manu cava potum excipiunt, alii vasculis utuntur. et quia ex adverso fluminis opacum nemus erat, in quo se barbari condiderant, iterum Romani ope maxima invaduntur, iaculisque in aquantes immissis non parva de improviso strages editur. e duobus igitur alterum oportebat eligere, aut aqua penitus destitutos desperare et prae sitis magnitudine emori, aut una cum aqua etiam interitum haurire. veruntamen scaphis compactis flumen tranant, quo hostes comprehenderent. ubi in ulteriorem ripam venerunt, confestim barbari prosilientes Romanis superiores evadunt: victi fugae se mandant. Petro a barbaris debellato Priscus dux renuntiatur, et Petrus abrogata sibi functione Byzantium revenit.

6. Ante quatuor hosce annos (rursum enim ad antiquiora revolvitur narratio) Ioannes ecclesiae Byzantinae praesul huius lucis usuram

ταφιλοσοφῆσαι λίαν τῶν ἡδονῶν τυραννῆσαί τε τῶν παθῶν αὐτοκράτορά τε τῆς κοιλίας γενέσθαι νηστευτὴς ὑπὸ τῶν Βυζαντίων κατωνομάζετο. λέγεται δὲ καὶ ὑπὸ Μαυρικίου τοῦ αὐτοκράτορος ἱκανὰ δανεισάμενον τάλαντα γραμματεῖον ἐκθέσθαι, τήν τε οἰκείαν περιουσίαν ἐν ταῖς ὁμολογίαις τοῦ δανείσματος ὑποθέσθαι. ἐπεὶ δὲ μετῆρεν ὁ ἱερεὺς τῶν τῇδε, ὁ αὐτοκράτωρ [D] *Μαυρίκιος τὴν τοῦ ἱεράρχου οὐσίαν διερευνησάμενος εὑρίσκει τὸν ἄνδρα ἀχρηματίαν φιλοσοφήσαντα, καὶ λίαν ἀγασθεὶς τὴν ἐς ἄκρον τοῦ ἱερέως δικαιοσύνην διέρρηξε προῖκα τὸ πρὸ μικροῦ συνταγὲν γραμματεῖον. μηδὲν γὰρ τῷ ἱερεῖ ἕτερόν φασι τὸν βασιλέα εὑρεῖν ἢ σκίμποδα ξύλινον καὶ σισύραν ἐξ ἐρίου ἐς τὰ μάλιστα εὐτελῆ φαιλώνην τε ἀκαλλῆ· δυσείμων γὰρ ἦν ὁ ἀνὴρ λιτότητι βίου καταλαμπόμενος. ταῦτα δήπου, ταῦτα ἀντὶ πολλῶν ἂν χρημάτων καὶ λίθων Ἰνδικῶν ὁ αὐτοκράτωρ Μαυρίκιος τιμησάμενος εἰς τὰ βασίλεια μετηγάγετο. ταῖς ἐαριναῖς τοιγαροῦν τῶν Χριστιανῶν νηστείαις ἐναβρυνόμενος, χαίρειν φράσας ταῖς χρυ-* [P 173] *σαῖς καὶ λιθοκολλήτοις κλίναις, τοῖς τε νήμασι τῶν Σηρῶν, ἐπὶ τοῦ ἱερέως ξυλίνην στιβάδα ὁ βασιλεὺς κατεπαννυχίζετο, θείας τινὸς ἐντεῦθεν ὥσπερ οἰόμενος μεταλήψεσθαι χάριτος.*

Κατὰ τούτους τοὺς χρόνους οἱ περὶ τὴν Λιβύην Μαυρούσιοι διωμοσίαν κατὰ τῶν Ῥωμαίων ποιοῦνται. ἐπεὶ δὲ τὰ πλήθη συνέρρευσαν, ἐς μέγα φόβον οἱ Καρχηδόνιοι γίνονται. ὁ μὲν οὖν Γεννάδιος τὸ τηνικαῦτα Δέκαρ, οὗ στρατηγὸς ἐτύγχανεν

9. *τὸ* deest IP. 12. *ἦν*] *οὖν* IP.

reddidit; qui quod voluptates egregie pessundaret et vitiosas animi motiones compesceret ventrique assiduum bellum faceret, ieiunator a Byzantiis cognomentum tulit. fertur quoque a Mauricio complura talenta mutuatus syngrapham illi dedisse, et rem familiarem pignori opposuisse. postquam die suo est perfunctus, Mauricius in eius facultates inquirens paupertatem consectatum invenit, ac magnopere singularem hierarchae sanctimoniam admiratus, syngrapham paulo ante conscriptam gratuito conscidit, nihil siquidem aliud invenisse aiunt praeter lectum ligneum et laneum stragulum nullius pretii ac deformem penulam: vili enim vestitu delectabatur vir frugalitate vitae conspicuus. atque ista, ista, inquam, grandi pecuniae et Indicis lapillis Mauricius anteponens, in palatium transfert, iisque glorians, vernis Christianorum ieiuniis (in Quadragesima) aureos gemmatosque lectulos et stragula serica valere iubens, ligneo antistitis cubili totam noctem incubat, cum se divinam quandam gratiam inde percepturum arbitraretur.

Per idem tempus Mauri in Africa communiter contra Romanos coniurarunt. quibus copias cogentibus Carthaginenses in timorem non mediocrem adducti sunt. Gennadius itaque tum Decar, non praetor Li-

ὢν τῆς Λιβύης, τεθεαμένος ἀμυθήτῳ πλήθει τινὶ τὸν κατ' αὐτοῦ συστάντα πόλεμον, δόλῳ τοὺς βαρβάρους κατεπολεμήσατο. ὑποκρινόμενος γὰρ πεποιῆσθαι ἅπαντα ὅσα περ οἱ βάρβαροι βούλονται, καὶ εἰς ἄνεσιν περιτρέψας τὸ βάρβαρον, εὐωχουμένοις αὐτοῖς ἐπιτίθεται. τοῦ φόνου τοιγαροῦν γεγονότος πολλοῦ τῆς B τε λείας περιφανοῦς ὁ Καρχηδόνιος πόλεμος ἐλάμβανε τὴν διάλυσιν. οὕτω μὲν οὖν κατὰ τὴν Λιβύην εὖ καὶ μάλα καλῶς διετίθετο τοῖς Ῥωμαίοις.

Ἐν ταύταις ταῖς ἡμέραις κομήτης ἐν τῷ ὑπεκκαύματι φαίνεται. περὶ τούτων τοιγαροῦν τῶν δοκούντων συνεστάναι ἀστέρων οἱ μὲν φιλόσοφοι πρὸς μετεωρολογικὰς καταφεύγουσιν ἀφορμάς, ἃς Σταγειρῖται καὶ Πλάτωνες ἐν τῷ Ἑλικῶνι τῆς μνήμης βίβλοις ἐναπεγράψαντο· ἀστρολόγοι δὲ καὶ ἱστοριογράφοι τινὲς προαγόρευσιν ἐσομένων τινῶν λυπηρῶν ἀπεφήναντο. ἀλλ' ἡμεῖς τοὺς περὶ τούτων λόγους τῇ ἀναβολῇ τῆς διηγήσεως χαρισάμενοι πρὸς τὸν σκοπὸν ἐπιτοξάζεσθαι τὴν ἱστορίαν καταναγκάσωμεν.

7. Ἦρος ἀρχομένου καὶ ὁ Πρίσκος τοῦ Βυζαντίου ἀπο- C V 258 φοιτᾷ. εἶτα πρὸς τῇ Ἀστικῇ τὰς δυνάμεις συνήθροισε, τόν τε ἀριθμὸν τῆς δυνάμεως ἐξετάσας εὑρίσκει ὁ στρατηγὸς πολὺ τῶν Ῥωμαίων πλῆθος διαφθαρέν. πειρᾶται τοιγαροῦν ἐς Μαυρίκιον τὸν αὐτοκράτορα κατάδηλα τὰ τοῦ Πέτρου ποιήσασθαι σφάλματα. ὅμως ὑποπείθεται ὑπὸ συμβούλων τινῶν κρύψαι τὰ πλημμελήματα. δέκα τοίνυν καὶ πέντε ποιησάμενος χάρακας, D τόν τε Ἴστρον διαπεραιωθεὶς ποταμόν, τετάρτῃ ἡμέρᾳ, καὶ εἰς Νόβας τὰς ἄνω ὁ στρατηγὸς παραγίνεται. ὁ δὲ Χαγᾶνος τοῦτο

byae, cum exercitu numerosissimo bellum sibi intentari videret, dolo de barbaris triumphum egit. simulans enim facta a se omnia quae illi voluissent, dum feriis et epulationibus indulgent, eos appetit, multisque occisis finem Carthaginensi bello memorabilem imponit. hunc in modum res Romanae in Africa secunda admodum fortuna administrata est.

Per eosdem dies cometes ardere conspectus. in huiuscemodi astris, ut videntur, philosophi ad causas meteorologicas confugiunt, quas Stagiritae et Platones in Helicone libris ad memoriam commendaverunt. astrologi autem historiarumque scriptores quidam rerum tristium habere praesagium asseverant. verum nos huiusmodi disputationem narrationi pertexendae condonantes, ad destinatum scopum historiam urgeamus.

7. Initio veris Priscus Byzantio discedit, copiisque in Astica congregatis et recensitis magnum Romanorum numerum perisse deprehendit. quare cum Petrum neglecti officii accusare apud imperatorem vellet, tamen monitis quorundam motus eius delicta dissimulanda existimavit. quintis igitur et decimis castris, et Istro amne transmisso, quarto die Nobas superiores venit. eo rescito Chaganus per legatos ex Prisco ad-

μεμαθηκὼς ὡς τὸν Πρίσκον πρέσβεις ἐξέπεμψε, τήν τε αἰτίαν ἐξηρεύνατο μαθεῖν τῆς τῶν Ῥωμαίων ἀφίξεως. ὁ δὲ στρατηγὸς τοὺς τόπους ἔφασκεν εὐφυεῖς ἐς κυνηγέσια πεφυκέναι, ἱππασίμους τε καὶ λίαν εὐύδρους. ὁ δὲ Χαγᾶνος ἐδήλου ἐπ' ἀλλοτρίας γῆς ἐπιβαίνειν Ῥωμαίους, παρασπονδῆσαί τε Πρίσκον, καὶ ἀοράτως τὴν εἰρήνην ὑπ' αὐτοῦ περισχίζεσθαι. ἔφασκε τοίνυν ὁ P 174 Πρίσκος Ῥωμαϊκὸν ὑπεῖναι τὸ ἔδαφος, ὁ δὲ βάρβαρος ὅπλοις καὶ νόμοις πολέμων Ῥωμαίους ἀποκτήσασθαι τοῦτο. τοῦ τοίνυν Χαγάνου ζυγομαχοῦντος καὶ διαμφιβάλλοντος περὶ τούτων τῶν τόπων, φασὶ τὸν Πρίσκον τὴν ἐκ τῆς ἕω ἀπόδρασιν ὀνειδίσαι Χαγάνῳ.

Ἀλλ' ἐπεὶ περὶ τῶν Σκυθῶν τῶν πρὸς τῷ Καυκάσῳ τῶν τε πρὸς βορρᾶν τετραμμένων μνήμην ἐποιησάμεθα, φέρε δὴ φέρε τὰ παρηκολουθηκότα κατὰ τούτους τοὺς χρόνους τοῖς μεγίστοις ἔθνεσι τούτοις ὥσπερ ἐμβόλιμά τινα διηγήματα τὴν ἱστο- B ρίαν μεσολαβήσαντες παραθώμεθα. θέρους ἐνεστῶτος κατὰ τοῦτον δὴ τὸν ἐνιαυτὸν ὁ πρὸς τῇ ἕῳ ὑπὸ τῶν Τούρκων Χαγᾶνος ὑμνούμενος πρέσβεις ἐξέπεμψε Μαυρικίῳ τῷ αὐτοκράτορι, ἐπιστολήν τε συντεταχὼς ἐπινίκια ἐνεχάραττεν ἐν αὐτῇ. ἡ δὲ τῆς ἐπιστολῆς ἐπιγραφὴ εἶχεν ἐπὶ λέξεως οὕτως "τῷ βασιλεῖ τῶν Ῥωμαίων ὁ Χαγᾶνος ὁ μέγας δεσπότης ἑπτὰ γενῶν καὶ κύριος κλιμάτων τῆς οἰκουμένης ἑπτά." τῷ ὄντι γὰρ τὸν ἐθνάρχην τῶν Ἀβδελῶν (φημὶ δὴ τῶν λεγομένων Ἐφθαλιτῶν) καταπολεμήσας οὗτος αὐτὸς ὁ Χαγᾶνος ἐνίκησε, τήν τε τοῦ ἔθνους ἀρχὴν

23. νεφθαλιτῶν IP.

ventus causam exquirit. respondet Priscus, quia loca illa ad venandum et equitandum natura accommodata sint et aquis abundent. Chaganus docet Romanos in regione aliena pedem ponere, et Priscum foedus transgredi occulteque pacem convellere. Priscus haec contra, Romanum esse solum. et barbarus, armis ac iure belli Romanos id amisisse. Chagano igitur rixante et super his locis disceptante, Priscum ei ex Oriente fugam obiecisse ferunt.

Sed quoniam de Scythis ad Caucasum et Boream habitantibus mentio illata est, agedum, quae maximis hisce gentibus per haec tempora acciderunt, cursu historiae insititia quadam narratione interrupto prodamus. aestate huius anni appetente Chaganus in Oriente a Turcis celebratus legatos ad Mauricium imperatorem mittit, cum epistola, in qua de triumphis suis gloriatur. inscriptio ad verbum talis erat. "Imperatori Romanorum Chaganus magnus despota septem gentium et dominus septem mundi climatum." sane principem gentis Abdelarum, qui aliter Ephthalitae, bello hic Chaganus subegit, sibique imperium illud

περιεβάλετο. ἐπὶ τῇ νίκῃ τοίνυν εἰς μέγα ἀρθεὶς, καὶ τὸν Στεμβισχάδαν σύμμαχον ποιησάμενος, C τὸ τῶν Ἀβάρων ἔθνος κατεδουλώσατο. ἀλλὰ μή τις οἰέσθω παριστορεῖν ἡμᾶς κατὰ τούτους τοὺς χρόνους, Ἀβάρους εἶναι διανοούμενος τοὺς ἀνὰ τὴν Εὐρώπην καὶ τὴν Παννονίαν προσοικοῦντας βαρβάρους, καὶ τούτων τὴν ἄφιξιν πρεσβυτέρων γενέσθαι τῶν χρόνων Μαυρικίου τοῦ αὐτοκράτορος. ψευδωνύμως γὰρ Ἀβάρων προσηγορίαν οἱ περὶ τὸν Ἴστρον περιεβάλοντο βάρβαροι· ὅθεν δὲ τὸ γένος αὐτοῖς, ὅσον οὔπω εἰρήσεται. ἡττηθέντων γοῦν τῶν Ἀβάρων (πρὸς γὰρ τὸν λόγον ἐπάνιμεν) οἱ μὲν πρὸς τοὺς κατέχοντας τὴν Ταυγὰστ παραγίνονται. πόλις ἐπιφανής, τῶν τε λεγομένων D Τούρκων ἀπῴκισται χιλίοις πρὸς τοῖς πεντακοσίοις σημείοις· αὐτὴ ὅμορος καθέστηκε τοῖς Ἰνδοῖς. οἱ δὲ περὶ τὴν Ταυγὰστ αὐλιζόμενοι βάρβαροι ἔθνος ἀλκιμώτατον καὶ πολυανθρωπότατον, καὶ τοῖς κατὰ τὴν οἰκουμένην ἔθνεσι διὰ τὸ μέγεθος ἀπαράλληλον. ἕτεροι τῶν Ἀβάρων ἐπὶ τὴν ἧτταν πρὸς ταπεινοτέραν ἀποκλίναντες τύχην παραγίνονται πρὸς τοὺς λεγομένους Μουκρί. τοῦτο δὲ τὸ ἔθνος πλησιέστατον πέφυκε τῶν Ταυγάστ, ἀλκὴ δὲ αὐτῷ πρὸς τὰς παρατάξεις πολλὴ διά τε τὰ ἐκ τῶν γυμνασίων ὁσημέραι μελετήματα διά τε τὴν περὶ τοὺς κινδύνους τῆς ψυχῆς ἐγκαρτέρησιν. ἐπιβαίνει τοίνυν καὶ ἑτέρου ἐγχειρήσεως ὁ Χαγᾶνος, καὶ τοὺς Ὀγὼρ ἐχειρώσατο πάντας. ἔθνος δὲ τοῦτο τῶν ἰσχυροτάτων καθέστηκεν διά τε τὴν πολυανδρίαν καὶ τὴν πρὸς τὸν πόλεμον ἔνοπλον ἄσκησιν. οὗτοι δὴ πρὸς ταῖς ἀνατολαῖς τὰς οἰκήσεις ποιοῦνται, ἔνθα ὁ Τὶλ διαρρεῖ ποταμός, ὃν

vindicavit. ea victoria inflatus, et Stembischada ad armorum societatem adiuncto, Abarum quoque nationem in ditionem suam redegit. nolim autem quemquam opinari me huius temporis res mala fide commemorare, dum sentit Abaros esse barbaros illos, qui in Europa et Pannonia sedes habent, eoque ante Mauricii tempora advenerunt. falso enim id nomen barbari Istrum accolentes usurpant. unde porro et illis genus, infra dicetur. ergo devictis a Chagano Abaris (sursum enim redeo) alii eorum ad Taugastenses confugerunt (est autem Taugast Turcarum nobilis colonia, stadiis mille quingentis ab India distans, cuius indigenae et strenuissimi et frequentissimi et praestantia quovis populo in orbe terrarum superiores), alii propter amissam libertatem humiliorem sortiti conditionem ad Mucritas qui dicuntur, Taugastensibus vicinissimos se contulerunt, ad praelia ineunda tum propter quotidiana belli exercitia tum propter tolerantiam in periculis eximio animorum robore praeditos. aggressus est et aliud facinus Chaganus, et Ogor gentem totam domuit. fuit haec gens tum numero tum armorum exercitatione validissima. haec

Μέλανα Τούρκοις ἀποκαλεῖν ἔθος. οἱ δὲ τούτου τοῦ ἔθνους παλαιότατοι ἔξαρχοι Οὐὰρ καὶ Χεουννὶ ὠνομάζοντο· ἐκ τούτων καί τινα τῶν ἐθνῶν ἐκείνων τὴν ὀνομασίαν ἐκληρώσαντο, Οὐὰρ
P 175 V 259 καὶ Χουννὶ ὀνομαζόμενα. (8) Ἰουστινιανοῦ τοίνυν τοῦ αὐτοκράτορος τὸ βασίλειον κράτος ἐπέχοντος ἐκ τούτων τῶν Οὐὰρ καὶ Χουννὶ ὀλίγη ἀποδράσασα μοῖρα τοῦ ἀρχεγόνου φύλου ἐκείνου ἐνδημεῖ τῇ Εὐρώπῃ. οὗτοι Ἀβάρους ἑαυτοὺς ὀνομάσαντες τὸν ἡγεμόνα τῇ τοῦ Χαγάνου προσηγορίᾳ φαιδρύνουσιν. ὅθεν αὐτοῖς ὁ τρόπος πρὸς μετάθεσιν ὀνομάτων ἐχώρησε, λέξωμεν τῆς ἀληθείας κατὰ μηδὲν ἀφιστάμενοι. Σαρσὴλτ καὶ Οὐννουγοῦνοι καὶ Σαβίροι, Οὐννικά τε πρὸς τούτοις ἕτερα ἔθνη, ὁπηνίκα τῶν Οὐὰρ καὶ Χουννὶ ἔτι ἀπόμοιραν κατὰ τοὺς τόπους αὐ-
B τῶν ἀποδιδράσκουσαν ἐθεάσαντο, εἰς μέγιστον καταπίπτουσι φόβον, ὑποτοπάσαντες Ἀβάρους ὑπεῖναι τοὺς ἐνδημήσαντας. διὰ τοῦτο δώροις λαμπροῖς τοὺς φυγάδας τιμήσαντες ἔδοξαν ἀντιλαμβάνειν παρ' αὐτῶν τὴν ἀβλάβειαν. οἱ τοίνυν Οὐὰρ καὶ Χουννὶ ὡς εἶδον τὴν τῆς ἀποφυγῆς ἐπιδέξιον ἔναρξιν, τὴν πλάνην τῶν πρεσβευσαμένων οἰκειωσάμενοι Ἀβάρους ἑαυτοὺς κατωνόμασαν· λέγεται γὰρ ἐν τοῖς ἔθνεσι τοῖς Σκυθικοῖς τὸ τῶν Ἀβάρων ὑπεῖναι ἐντρεχέστατον φῦλον. ἀμέλει τοι καὶ μέχρι
C τῶν χρόνων τῶν καθ' ἡμᾶς οἱ Ψευδάβαροι (λέγειν γὰρ οὕτως αὐτοὺς οἰκειότερον) ταῖς γενεαρχίαις διῄρηνται, καὶ οἱ μὲν Οὐὰρ ἀρχαιοπρεπῶς ὀνομάζονται, οἱ δὲ Χουννὶ προσαγορεύονται.

12. τῶν] τὸν IP.

in Oriente ad fluvium Til accolit, quem Turcae Nigrum appellare solent. eius vetustissimi principes Var et Cheunni vocabantur, a quibus etiam nonnullae illarum gentium adeptae sunt appellationem, ut Var et Chunni nominarentur. (8) Iustiniano porro Augusto imperium obtinente, ex hisce gentibus Var et Chunni exigua pars a primaevo genere illo profugiens in Europam se intulit, qui se Abares et principem suum Chaganum honoris causa nominarunt. qua vero occasione nomina commutarint, nihil a veritate abeuntes explicabimus. Sarselt et Unnugani et Sabiri et insuper aliae gentes Hunnicae, postquam partem Var et Chunni ad loca sua confugientem viderunt, ingenti metu perculsae sunt, quod advenas illos Abaros esse suspicarentur. quocirca securitati consultum cupientes, donis amplissimis eos coluerunt. Var itaque et Chunni, ut perfugium sibi feliciter evenisse animadverterunt, errorem sese honorantium non aspernati, Abares dici voluerunt. etenim inter gentes Scythicas ingenio omnibus antecellere Abares existimantur. nimirum etiam usque ad nostram aetatem Pseudabares (sic enim magis proprie appellari debent) generis origine distincti, alii Var, alii Chunni veteri

ἐπεὶ δὲ τὰ περὶ τῶν Ψευδαβάρων ὡς ἐν ἐπιτομῇ διεξήλθομεν, πρὸς τὰ συνεχῆ τῆς ἱστορίας τὴν ἔκθεσιν ποιησώμεθα. τοῦ τοίνυν Ὀγὼρ λίαν ἐγκρατῶς νενικημένου, τὸν τοῦ Κὸλχ ἐθνάρχην στόματι ῥομφαίας ὁ Χαγᾶνος παρέδωκεν. ἀναιροῦνται τοίνυν ἐκ τούτου δῆτα τοῦ ἔθνους κατὰ τὸν πόλεμον μυριάδες τριάκοντα, ὡς ὁδὸν ἡμερῶν τεττάρων ἐπέχειν τὴν τῶν καταπεπτωκότων D σωμάτων συνέχειαν. οὕτω δῆτα τῆς νίκης τῷ Χαγάνῳ μειδιώσης ἐπιφανῶς, συγκροτεῖται τοῖς Τούρκοις ἐμφύλιος πόλεμος. ἀνήρ τις Τουροὺμ ὀνομαζόμενος, πρὸς γένος καθεστὼς τῷ Χαγάνῳ, νεωτερίσας δυνάμεις μεγάλας συνήθροισεν. ἐπεὶ δὲ κατὰ τὴν μάχην τὰ τοῦ τετυραννηκότος ἦν ἐγκρατέστερα, πρεσβεύεται ὁ Χαγᾶνος πρὸς ἑτέρους τρεῖς μεγάλους Χαγάνους· ταῦτα δὲ τούτοις ὀνόματα, Σπαρζευγοῦν καὶ Κουναξολὰ καὶ Τουλδίχ. συναθροισθείσης τοίνυν τῆς ὅλης ἐκτάξεως εἰς τὸ Ἰκὰρ (χῶρος δὲ οὗτος πεδίοις ἐνειλημένος μεγάλοις), τῶν τε ἀντιθέτων κατὰ τοῦτον δῆτα τὸν τόπον ἀντιταξαμένων ἡρωϊκῶς, πίπτει ὁ τύραννος καὶ εἰς φυγὴν αἱ συμμαχοῦσαι δυνάμεις ἐξέκλιναν, καὶ πολλοῦ γενομένου τοῦ φόνου πάλιν κύριος τῆς ἑαυτοῦ ὁ Χαγᾶνος χώρας ἐγένετο. τούτων τῶν ἐπινικίων τὴν μήνυσιν διὰ P 176 τῶν πρέσβεων ὁ Χαγᾶνος πρὸς τὸν αὐτοκράτορα Μαυρίκιον ἐπεποίητο. τὸ δὲ Ἰκὰρ τοῦ ὄρους τοῦ λεγομένου χρυσοῦ τετρακοσίοις σημείοις ἀπῴκισται. τοῦτο δῆτα τὸ ὄρος ἐπὶ τὰς ἀνατολὰς ἔχει τὴν ἵδρυσιν, χρυσοῦν δὲ παρὰ τῶν ἐγχωρίων κατονομάζεται τοῦτο μὲν διὰ τὴν δαψίλειαν τῶν ἐν αὐτῷ φυομένων καρπῶν, τοῦτο δὲ καὶ διὰ τὸ θρεμμάτων καὶ νωτοφόρων ζώων

nomine dicuntur. quoniam ergo de Pseudabaris breviter disseruimus, quae de historia sequuntur, scribere persequamur. Ogor magna ope debellatis, Colch gentis principem Chaganus gladio sustulit. ex qua gente caesa bello trecenta millia, ut cadaverum continuata series dierum quatuor viam occuparet. hunc igitur in modum victoria Chagano insigniter arridente, civile inter Turcas bellum exarsit. vir quidam vocabulo Turum cum Chagano cognatione coniunctus, res novans, copias ingentes contraxit, collatisque cum eo signis superior discessit. Chaganus alios tres Chaganos sibi per legatos adiungit, quibus nomina propria fuerunt Sparzeugun, Cunaxolan, Tuldich. universis itaque copiis ad Icar, locum latis in campis situm, constitutis et instructis, adversariisque ibidem fortissime dimicantibus, tyrannus occumbit. eius agmen fugae se dat, et Chaganus magna cum caede ditionem in potestatem reducit. harum victoriarum laetitiam Chaganus Mauricio per legatos significavit. Icar vero a monte aureo, ut appellatur, quadringentis millibus abest. hic mons Orientem spectans partim ab ubertate et copia fructuum in eo provenientium, partim a pecudibus et iumentis, quibus est frequentissimus, apud indigenas aurei nomen invenit. est autem lege receptum apud

εἶναι κατάκομον. νόμος δὲ Τούρκοις τῷ κρατεστέρῳ Χαγάνῳ
B τοῦ χρυσοῦ ὄρους παραχωρεῖν. δυσὶ δὲ μεγίστοις τισὶ τὸ Τούρκων ἔθνος μεγαλαυχεῖ· φασὶ γὰρ ἄνωθεν αὐτοὺς καὶ ἐξ ἀρχῆς μηδέποτε λοιμῶν ἐπιδημίαν θεάσασθαι, τῶν τε σεισμῶν σπάνιν εἶναι κατ' ἐκείνην τὴν χώραν. τὴν δὲ Βακὰθ ὑπὸ τῶν Οὐννουγούρων πάλαι ποτὲ πολισθεῖσαν καταπεσεῖν τοῖς σεισμοῖς, τὴν δὲ Σογδαηνὴν καὶ λοιμῶν καὶ σεισμῶν ἔμπειρον πεφυκέναι. τιμῶσι τοιγαροῦν οἱ Τοῦρκοι λίαν ἐκτόπως τὸ πῦρ, ἀέρα δὲ καὶ
V 260 ὕδωρ γεραίρουσιν· ὑμνοῦσι τὴν γῆν. προσκυνοῦσι δὲ μόνως καὶ
C θεὸν ὀνομάζουσι τὸν πεποιηκότα τὸν οὐρανὸν καὶ τὴν γῆν. τούτῳ θύουσιν ἵππους καὶ βόας καὶ πρόβατα, ἱερεῖς κεκτημένοι, οἳ καὶ τὴν τῶν μελλόντων αὐτοῖς δοκοῦσιν ἐκτίθεσθαι προαγόρευσιν. κατ' αὐτὸν τὸν χρόνον οἱ Ταρνιὰχ καὶ οἱ Κοτζαγηροὶ (καὶ οὗτοι δὲ ἐκ τῶν Οὐὰρ καὶ Χουννὶ) ἀπὸ τῶν Τούρκων ἀποδιδράσκουσι, καὶ πρὸς τὴν Εὐρώπην γενόμενοι τοῖς περὶ τὸν Χαγᾶνον τῶν Ἀβάρων συνάπτονται. λέγεται δὲ καὶ τοὺς Ζαβενδὲρ ἐκ τοῦ γένους πεφυκέναι τῶν Οὐὰρ καὶ Χουννί. ἡ δὲ γεγονυῖα ἐπίθετος δύναμις τοῖς Ἀβάροις εἰς δέκα χιλιάδας ἠκρίβωτο.
D (9) ὁ μὲν οὖν τῶν Τούρκων Χαγᾶνος τὸν ἐμφύλιον καταλυσάμενος πόλεμον εὐδαιμόνως ἐχειραγώγει τὰ πράγματα, ποιεῖται δὲ καὶ συνθήκας πρὸς τοὺς Ταυγάστ, ὅπως βαθεῖαν πάντοθεν τὴν γαλήνην ἐμπορευόμενος ἀστασίαστον τὴν ἀρχὴν καταστήσηται. ὁ δὲ τῆς Ταυγὰστ κλιματάρχης Ταϊσὰν ὀνομάζεται, ὅπερ υἱὸς θεοῦ ταῖς Ἑλληνικαῖς φωναῖς ἐνσημαίνεται. ἡ γὰρ ἀρχὴ

Turcas potentiori Chagano montem aureum cedere. caeterum duabus rebus, iisque maximis Turcarum gens gloriatur. aiunt enim iam inde a priscis temporibus et a principio nunquam pestilentiam eos invasisse, rarasque in ea regione terrae concussiones existere. Bacath ab Unnuguris olim aedificatam terra conquassata corruisse, Sogdianam vero et pestilentiam et terrae tremores experiri. Turcae admodum stolide ignem colunt, aëremque et aquam venerantur, telluri hymnos concinunt, adorant autem tantummodo et deum nuncupant, qui hanc rerum universitatem aedificavit. huic equos et boves et oves sacrificant; habentque sacerdotes, in quibus inesse vaticinandi facultatem arbitrantur. per idem tempus et Tarniach et Cotzageri (hi populi etiam ex Var et Chunni gentibus erant) a Turcis profugi Europam immigrant, et Abaribus Chagano subiectis se admiscent. traditum est etiam Zabender ex Var et Chunni propagatos. qui ad Abaros accesserunt, eos ad decem millia fuisse plane compertum est. (9) Chaganus igitur civili bello finito rem felicibus auspiciis administrat, et cum Taugastensibus foedus percutit, ut tranquillitatem et pacem supremam undique nactus, principatum sibi omnis seditionis expertem efficeret. princeps autem in Taugast Taisan audit, quae vox Graeca lingua filium dei sonat. hoc regnum nullis intestinis discordiis

τῆς Ταυγάστ οὐ στασιάζεται· γένος γὰρ αὐτοῖς τὴν χειροτονίαν τοῦ ἡγεμόνος παρέχεται. τούτῳ δὲ τῷ ἔθνει θρησκεία ἀγάλματα, νόμοι δὲ δίκαιοι, καὶ σωφροσύνης ἔμπλεως ὁ βίος αὐτοῖς. ἔθος δὲ τούτοις νόμον μιμούμενον, μηδέποτε κόσμῳ χρυσῷ καλλωπίζεσθαι ἄρρενας, καίτοι ἀφθονίας πολλῆς ἀργύρου τε P 177 καὶ χρυσοῦ κύριοι καθεστῶτες διὰ τὰς μεγάλας, καὶ ἐπωφελεῖς ἐμπορίας. ταύτην τὴν Ταυγάστ ποταμὸς διορίζει. πάλαι τοίνυν ποτὲ δύο μεγίστοις ἔθνεσιν ὁ ποταμὸς ἐμεσίτευεν, ἀντιθέτοις ἀλλήλοις· ἐσθὴς δὲ τῷ μὲν ἑνὶ μέλαινα, τῷ δὲ ἑτέρῳ κοκκόβαφος. ἐν τοῖς χρόνοις τοίνυν τοῖς καθ' ἡμᾶς, Μαυρικίου τὰ Ῥωμαίων σκῆπτρα ἐπέχοντος, καὶ τὸ ἔθνος τῶν μελαινοφόρων τοῖς τὴν ἐρυθρὰν περιβεβλημένοις ἐσθῆτα διαπεραιωσάμενον τὸν ποταμὸν συνίστησι πόλεμον, εἶτα νενικηκὸς τῆς ὅλης ἡγεμονίας γίνεται κύριον. ταύτην δὴ τὴν Ταυγάστ οἱ βάρβαροι λέγουσι κτίσαι τὸν Μακεδόνα Ἀλέξανδρον, ὁπηνίκα τούς τε Βακτριανοὺς B καὶ τὴν Σογδοανὴν ἐδουλώσατο, δέκα καὶ δύο καταφλέξας μυριάδας βαρβάρων. ἐν ταύτῃ τῇ πόλει τὰ τοῦ βασιλεύοντος γύναια ἐκ χρυσοῦ πεποιημένας ἔχουσι τὰς ἁρμαμάξας, ἑλκομένην ἑκάστην ὑπὸ βοϊδίου ἑνός, κεκοσμημένα πολυτελῶς ἐκ χρυσοῦ καὶ λίθου μεγατιμίου· εἰσὶ δὲ καὶ χαλινοὶ τοῖς βουσὶ χρυσοκόλλητοι. ὁ μὲν οὖν τὴν ἡγεμονίαν ἀνειληφὼς ἑπτακοσίαις γυναιξὶ κατεπαννυχίζετο, τὰ δὲ γύναια τῶν περιφανεστέρων τῆς Ταυγάστ ἀργυραῖς κέχρηνται ταῖς ἁρμαμάξαις. λόγος δὲ καὶ ἑτέραν τὸν Ἀλέξανδρον δείμασθαι πόλιν, ἀπὸ σημείων ὀλίγων· Χουβδὰν ὀνομάζουσι ταύτην οἱ βάρβαροι. τεθνηκότα δὲ τὸν C

agitatur, propterea quod princeps illic a successione generis creatur. statuas venerantur; iustis reguntur legibus; frugalitatem in omni vita excolunt. consuetudo est apud eos, vim legis obtinens, ut mares ornatu aureo in perpetuum abstineant, quanquam auro argentoque propter magnorum mercimoniorum commoditatem abundant. hanc urbem fluvius discriminat, qui olim duos frequentissimos populos dissidentes dividebat, quorum alter nigra, alter cocco tincta veste utebatur. nostris itaque temporibus, Mauricio imperatore, nigram gestantes transmisso fluvio rubram indutis bellum intulerunt, victoresque toto illo imperio potiti sunt. urbem Taugast barbari memorant Alexandrum condidisse, quando Bactrianos et Sogdianam centum viginti barbarorum millibus igne consumptis subiugavit. uxores regiae auro et lapillis pretiosissimis conspicuae curribus vehuntur aureis, quorum singuli a singulis iuvencis, frenis auro et gemmis sumptuose exornatis trahuntur. princeps cum feminis septingentis noctem exigit. nobilium coniugibus pilenta sunt argentea. fama est Alexandrum aliam quoque urbem, non multis millibus distantem, quam barbari Chubdan nominant, aedificasse. eius principem demor-

ἡγεμόνα ὑπὸ τῶν γυναίων πενθεῖσθαι διὰ παντὸς ξυρομένων μὲν τὰς κεφαλὰς καὶ μέλαιναν περιβαλλομένων ἐσθῆτα· καὶ νόμος αὐταῖς μηδέποτε τὸν τάφον ἀπολιπεῖν. ἡ δὲ Χουβδὰν δύο μεγάλοις διείληπται ποταμοῖς, αἱ δὲ τούτων ὄχθαι ταῖς κυπαρίττοις ὡς ἔπος εἰπεῖν κατανεύονται. ἐλέφαντες δὲ τῷ ἔθνει πολλοί. τοῖς δὲ Ἰνδοῖς κατὰ τὰς ἐμπορείας συναναμίγνυνται· τούτους γάρ φασι τοὺς περὶ τὰ βόρεια τετραμμένους Ἰνδοὺς καὶ λευκοὺς πεφυκέναι. οἱ δὲ σκώληκες, ἐξ ὧν τὰ Σηρῶν καθέστηκε νήματα, πάνυ παρὰ τῷ τοιούτῳ ἔθνει πολλοὶ ἐναλλὰξ καὶ ποικίλην τὴν χροιὰν κεκτημένοι, τήν τε περὶ τὰ τοιαῦτα ζῶα φιλοτεχνίαν φιλοτίμως ἀσκοῦσιν οἱ βάρβαροι. ἵνα δὲ μὴ ἔξω τῆς νύσσης τὴν ἱστορίαν παροδηγήσωμεν, μέχρι τούτων περὶ τῶν Σκυθῶν τῶν πρὸς τῇ Βακτριανῇ καὶ Σογδοανῇ καὶ τῷ μέλανι ποταμῷ.

D
V 261 10. Δεκάτῃ δὲ ἡμέρᾳ (πρὸς γὰρ τὰ περὶ Πρίσκον παλινδρομήσομεν), καὶ ἄγγελοι εἰς τὸ τοῦ στρατηγοῦ σκηνοπήγιον γίνονται. ἀκηκόει τοίνυν ὁ Πρίσκος τὰ τείχη καταβαλεῖν τῆς Σιγιδόνος τὸν βάρβαρον, καταναγκάζειν τε τοὺς λαοὺς τὰ οἶκα
P 178 καταλιπόντας εἰς τὴν πολεμίαν τὰς ἀποικίας ποιήσασθαι. καὶ οὖν ὁ Πρίσκος μηδὲν τῇ ἀναβολῇ ἀναθεὶς, τὸν ποταμὸν ναυτιλόμενος, εἰς Σιγγὰν τὴν νῆσον ἐλλιμενίζεται· αὕτη δὲ ἐπὶ τὸ ῥεῖθρον τοῦ Ἴστρου ἔχει τὴν ἵδρυσιν, ἀπῴκισται δὲ Σιγγιδόνος τῆς πόλεως σημεῖα τριάκοντα. ὁ μὲν οὖν Πρίσκος τῇ νήσῳ τὰς δυνάμεις περιβαλὼν, ταχυναυτούσας ὁλκάδας παραστησάμενος, ἃς δρόμωνας εἴωθεν ὀνομάζειν τὸ πλῆθος, ἐπὶ τὰ Κωνσταντίολα παραγίνεται. ἐν τούτοις δῆτα τοῖς χώροις ἐντετυχηκὼς τῷ

tuum uxores ipsius rasis capitibus et pullatae continenter lugent; neque per legem eius sepulcrum deserere unquam possunt. Chubdan duo latissimi amnes disterminant, quorum ripis cupressi, ut ita loquar, annuunt. multos habent elephantos, et cum Indis negotiantur. hos autem Indos in plaga Boreali habitantes albis corporibus esse praedicant. bombycum, unde fila Serica, magna et diversicolor apud eos copia; in quibus curandis barbari magnum et artificiosum studium praestare solent. verum ne historiam a meta proposita abducamus, hactenus de Scythis ad Bactrianam, Sogdianam, et nigrum fluvium a nobis dictum esto.

10. Decimo die (nam ad Prisci res regrediemur) nuntii in eius tabernaculum afferuntur, barbarum Singidonis muros evertisse ac cives deserto lare in hostium regionem habitatum compellere. ille nihil cunctandum ratus per fluvium insulam in eo positam et a Singidone triginta milliaribus dissitam petit. ibi copiis expositis celocibus, quas vulgus dromones appellat, Constantiolam allabitur; quo in loco de Singidone

Χαγάνῳ εἰς λόγους γίνεται περὶ τῆς Σιγγιδόνος ὁ στρατηγὸς πρὸς B τὸν βάρβαρον. καὶ δῆτα ὁ βάρβαρος ἐπὶ τῆς ὄχθης τοῦ ποταμοῦ ἐφιζάνων τὰς ἀποκρίσεις παρείχετο, ὁ δὲ Πρίσκος ἐπιβεβηκὼς τῆς ὁλκάδος τῆς ἐντεύξεως εἴχετο. φασὶ τοιγαροῦν τῆς διαλέξεως τὸν Χαγᾶνον ἀπάρξασθαι, εἰπεῖν δὲ τῷ Πρίσκῳ "τί ὑμῖν, ὦ Ῥωμαῖοι, καὶ τῇ γῇ τῇ ἐμῇ; τί περαιτέρω τοῦ πρέποντος πόδας ἐκτείνετε; ξένος ὁ Ἴστρος ὑμῖν, τὸ ῥόθιον τούτου πολέμιον. ὅπλοις ἐκτησάμεθα τοῦτον· τῷ δόρατι τοῦτον ἐδουλωσάμεθα. ἄπαγε τῆς ἀτοπίας, ὦ Πρίσκε. μὴ διαλύσῃς C ἡσυχίαν δώροις ὑμῖν πραγματευθεῖσαν πολλοῖς. αἰδέσθητι τὰς σπονδάς, δυσωπήθητι τὴν τῶν ὅρκων ἀσφάλειαν. ἡγείσθω εὐβουλία τῆς ἐγχειρήσεως, τὸ συνοῖσον τῆς ἐπιβολῆς τῶν πραγμάτων. μὴ μετὰ τὸ παθεῖν βουλευσώμεθα. πρὸ τῆς ἐπιβολῆς ἡ βουλή. ἀδικεῖς τῇ προπετείᾳ τὰ πράγματα. τὸν κακῶς βουλευσάμενον πρῶτον ἡ ἐγχείρησις ἔβλαψε. κλέπτεις τὸν πόλεμον, στρατηγέ. εἰρήνην ἐνόθευσας καὶ παράταξιν, ὡς φίλος σπενδόμενος καὶ ὡς ἐχθρὸς συμπλεκόμενος. ἢ θάτερον τοίνυν ἀπόλειπε, ἢ τὴν ἠρεμίαν μὴ τάραττε." ἔφησε δὲ καὶ ταῦτα ὁ βάρβαρος ἐπὶ λέξεως. "κρίναι ὁ θεὸς ἀνὰ μέσον Χαγάνου καὶ ἀνὰ μέσον Μαυρικίου τοῦ αὐτοκράτορος. ἡ παρὰ τοῦ θεοῦ ποτὲ ἐκζητήσοι ἀντίδοσις." λόγος δὲ Πρίσκον ἐν ἀντιθέσεως μοίρᾳ ταῦτα προσειπεῖν τῷ Χαγάνῳ. (11) "ἀδικεῖς Σιγγιδόνα τὴν D πόλιν, ὦ ἄνθρωπε. τί τὰ τείχη καθελὼν πρὸς ἀποικίας αὐτὴν δυστυχεῖς; ἐπιτείνεις τυραννῶν ὡς ἀδικούμενος. ἐπηρεάζεσθαι

cum Chagano super ripa fluminis considente in colloquium venit: Priscus e navi verba faciebat. aiunt igitur Chaganum priorem his dictis Priscum compellasse. "quid vobis, Romani, cum provincia mea? quid ultra quam fas pedem profertis? Ister vobis externus, eius unda hostilis est. armis hunc acquisivimus; hastis hunc subegimus. apage cum facinore istoc tam iniquo, Prisce: ne quietem, quam vobis tot dona in nos profecta pepererunt, disturba. reverere foedus, reverere cautionem sacramenti. bonum consilium audendi impetum et futura utilitas aggressionem negotii antecedat. ne post malum adeptum consultemus. priusquam incipias, deliberato opus est. praecipiti ista temeritate te ipse laedis. qui male consuluit, ei primo coepta nocent. insidiose et fraudulenter bellum geris, o dux. pacem et conflictum sustulisti, dum foedus facis ut amicus, et oppugnas tamen ut hostis. aut alterum igitur horum desere, foedus, inquam, et aperte arma infer: aut quietem ne turba." insuper haec ad verbum effatus est. "iudicet deus inter Chaganum et imperatorem Mauricium, et is aliquando retribuat." tum Priscum Chagano huiusmodi responsum reddidisse accepimus. (11) "heus tu, iniuria Singidonem laedis. quid moenibus eius destructis cives transmigratione im-

ὑπὸ Ῥωμαίων περιθρυλλεῖς. ἔασον ἠρεμεῖν λαὸν δυστυχήσαντα.
ἀπόσχου πόλεως, ἣ συμφορῶν περικυμαίνουσι κλύδωνες. ἐλέη-
σον τὴν πολλάκις ὑπὸ σοῦ πορθηθεῖσαν. ἐπίθες τῇ πλεονεξίᾳ
καὶ ὅρους· ποίησον αὐτῇ καὶ μεταίχμιον. δίδαξον αὐτὴν φιλο-
P 179 σοφῆσαι τὸ μέτρον. μέχρι τινὸς σταθήσεσθαι πρόσταξον. οἶμαι
πολλοὺς κόσμους αὐτῇ μὴ ἐξαρκεῖν πρὸς τὴν ἔφεσιν. ἀόριστον
βούλημα οὐ λαμβάνει κράτος ἀσάλευτον. οὐδὲν ἀκόρεστον κύ-
γιον. τὸ μὴ μέτρῳ ταλαντευόμενον οὐδὲ σφετερίζεσθαι πέφυ-
κεν. ἀνεπίκτητόν ἐστι τὸ ἄπειρον. καταστασιάζεται τὸ ἀσύμ-
βατον. ἐπίθου κρηπῖδα τῷ ἔρωτι, μεθόδευσον τῷ κόρῳ τὸ
ἄσχετον. ἄπληστος ὀφθαλμὸς ἀεί τι καινὸν νοσηλεύεται. ἀντι-
μετρεῖται τοῖς ἀνθρώποις τὰ πράγματα τὰ τῆς τύχης, ἀντηχεῖ
ταῖς τροπαῖς. οὐδὲν εὐδαιμονίας καθέστηκε ῥευστικώτερον. ἡ
B νίκη κομᾷ τῷ πτερῷ, καὶ θριάμβων ὀλισθάνουσι πόδες. οὐκ
ἔστι τροπαίων φύσις ἀθάνατος. σήμερον ἐπιγελῶσαν τὴν ἡμέ-
ραν ὁρᾷς ῥοδοειδῆ τε καὶ κροκινίζουσαν καὶ ὅλην ὡς ἔπος εἰπεῖν
V 262 φωτεινὴν καὶ διαλάμπουσαν. αὔριον ὄψῃ ταύτην αὐτὴν σκυ-
θρωπὸν ὁμοῦ καὶ δυσείμονα, ἀχλύϊ καταρδευομένην πολλῇ, καὶ
ἀπὸ συστημάτων νεφῶν μελαινομένην συλλήβδην εἰπεῖν πρὸς
ἀπρέπειαν."

Θυμῷ τοιγαροῦν διακόψας ὁ Χαγᾶνος τὰ ῥήματα, πολλὰς καθαιρήσειν προσηπείλησε πόλεις. ὁ μὲν οὖν βάρβαρος τὴν καθέδραν ἀπολιπὼν πρὸς τὴν ἑαυτοῦ σκηνὴν ἐπανέζευξεν· ὁ δὲ

peranda afflictas? quasi iniuriam acceperis, ita saevis. a Romanis te violenter invadi rumorem spargis. sine vexatum abs te populum respirare. abstine ab urbe, quam calamitatum fluctus inundant. miserere illius, quam toties ipse depopulatus es. praescribe modum avaritiae. fac in medio aliquid relinquat. doce illam mediocritatem. iube aliquousque progressam consistere. equidem plures mundos aviditati tuae non puto sufficere. voluntas infinita cupida stabile imperium non adipiscitur. nihil inexplebile fixum ac firmum est. quod ad mensuram non exigitur, nec proprium effici solet. acquiri quod immensum est non potest. non congruentia discordiis semper obnoxia sunt. adde metas cupidini; satietate insatiabilitatem persequere. oculi nunquam explentur: semper novi aliquid, ut morosus aegrotus, concupiscunt. fortuna hominibus facta remetitur, et mutationibus contra respondet. felicitate nihil fluxum magis. victoria est pennatissima, et labiles triumphorum pedes. non est sempiterna tropaeorum conditio. hunc diem ridentem, roseaque et croceа pulcritudine iucundum, totumque (ut verbo dicam) lucidum ac splendidum aspicis: cras alium, tristem simul et deformi habitu, nebula multa circumfusum et nubium multitudine, ut summatim dicam, foede atratum videbis."

Hic Chaganus ira stimulatus dicentem interpellans, multas adhuc urbes sese eversurum minitatur; relictaque ripa ubi sedebat, in taberna-

Πρίσκος τὸν Γουδοῦϊν μετάκλητον ποιησάμενος, καὶ Ῥωμαϊκῇ τοῦτον περιφράξας δυνάμει, τῇ Σιγγιδόνι βοηθεῖν ἐγκελεύεται. C ἀτὰρ ὁ Γουδοῦϊς ἐπὶ τὴν Σιγγιδόνα ναυτίλλεται· τὴν γὰρ Σιγγιδόνα δύο ποταμοὶ ἀγκαλίζονται, ὅ τε Σάος καὶ Δράος. ἐπεὶ δὲ οἱ περὶ τὴν Σιγγιδόνα βάρβαροι Ῥωμαϊκὰς δυνάμεις ναυπηγησαμένας κατεῖδον, τὰς ἁμάξας πρὸ τοῦ ἄστεος συστησάμενοι χαρακοῦσι τὴν πόλιν. τὴν τοίνυν τῶν Ῥωμαίων ὁρμὴν μὴ ὑπομεμενηκότες οἱ βάρβαροι, ἅμα δὲ καὶ τὸν λαὸν τῆς πόλεως ὀρρωδήσαντες, εἰς φυγὴν ἀποκλίνουσιν. οὕτω μὲν οὖν ὁ Πρίσκος ἀτυχοῦντα λαὸν διεσώσατο. δευτέρᾳ δὲ ἡμέρᾳ περιβάλλουσι τείχη τῇ πόλει. ὁ δὲ Χαγᾶνος ἐπὶ τούτοις παρεδριμύττετο, τήν τε καρδίαν σφακελιζόμενος ἀγγέλους πρὸς τὸν Πρίσκον ἐξέπεμπεν, ἐς τὸ φανερὸν τὰς σπονδὰς διαλύων. δεκάτῃ δὲ ἡμέρᾳ, καὶ τὰς περὶ αὐτὸν δυνάμεις συναθροίσας ὁ βάρβαρος ἐπὶ τὸν Ἰόνιον κόλπον στρατεύει τὴν σάλπιγγα. (12) περὶ τούτους τοὺς τό- D πους ἡ Δαλματία χώρα καθέστηκε. τοίνυν ἱκανοὺς χάρακας ὁ βάρβαρος ποιησάμενος εἰς τὰς λεγομένας Βάγκεις ἐχώρησε, καὶ δὴ παραστησάμενος τὴν πόλιν τοῖς μηχανήμασι τεσσαράκοντα ἐξεπόρθησε φρούρια. ὁ δὲ στρατηγὸς τούτων διακηκοὼς τῶν P 180 δεινῶν δισχιλίοις μαχίμοις ὁπλίζει τὸν Γουδοῦϊν, ἐπὶ κατασκοπῇ τε τῶν πραττομένων τοῦτον ἐξέπεμπεν. ὁ μὲν οὖν Γουδοῦϊς ἀναλαβὼν τοῦ ὁπλιτικοῦ τοὺς λογάδας τῆς ὁδοιπορίας ἀπήρχετο. ἐκκλίνει τοιγαροῦν τὰς λεωφόρους ὁ Γουδοῦϊς, καὶ διὰ δυσχωρίας ἀγνώστων τε ἀτραπῶν τὴν βάδισιν ἐπεποίητο, ἵνα μή που πολεμίας ὄψεως ἐπιφανείσης αὐτῷ ἐπισυρομένης πλήθη βαρβάρων

culum suum revertitur. Priscus Guduin accersitum sumptis copiis Singidoni succurrere iubet. Guduis Singidonem, duobus fluminibus Sao et Drao cinctam, navigat. barbari ut Romanos navibus compactis adnavigare conspexerunt, currus ante oppidum pro munimento seu vallo obiiciunt. verum eorum impetum non sustinentes, simul etiam incolas metuentes, in fugam se conferunt. ita Priscus populum miseriis circumventum conservavit. altero die muros circum urbem reaedificant. quod acerbe ferens, et tabescens animo Chaganus, missis ad Priscum nuntiis foedus palam renuntiat, ac luce decima coacto exercitu suo in sinum Ionium ducit. (12) prope hosce locos posita est Dalmatia regio. multis igitur castris barbarus Banges, ut dicuntur, venit, oppidoque operibus admotis in potestatem accepto quadraginta insuper castella vastavit. quae calamitas ubi ad aures ducis accidit, Guduin cum duobus armatorum millibus ad res lustrandas mittit. is cum delectis iter agit, ac viam regiam declinans, per loca difficilia semitasque incognitas graditur, neu ubi hostili facie multorum barbarorum obvia in extremum discrimen la-

B εἰς τοὔσχατον κακὸν παραγένηται. καὶ οὖν γενόμενος τῶν βαρβάρων πλησίον ὁρᾷ ἐξ ἀπόπτου τινὸς περισκοπῆς πλήθη λαῶν παροδεύοντα. ἀποστείλας τοίνυν πεζοὺς ἄνδρας τριάκοντα παρακελεύεται ἰχνηλατεῖν τὸ πολέμιον. καὶ γοῦν οἱ Ῥωμαῖοι διά τινων παρεκτετραμμένων ὁδῶν ἐποιοῦντο τὴν βάδισιν. ὑπὸ δευτέραν τοιγαροῦν φυλακὴν τῆς νυκτὸς ἐλλοχῶσιν ὡς ἐν παραβύστῳ τινὶ τὸ βάρβαρον ἀνιχνεύοντες. ἐν ταῖς ὕλαις τοιγαροῦν ἀποκρυπτόμενοι, καὶ τῆς νυκτὸς ἐπὶ τὰ μέσα παροδευούσης σημεῖα, ψυχῆς ἀρετῇ ἐφίστανται τοῖς βαρβάροις οἱ Ῥωμαῖοι καθεύ-
C δουσιν. ἀπὸ σημείων δὲ δύο περιτυχόντες ἀνδράσι τρισὶ κραιπαλῶσι καὶ λίαν πεφυκόσιν ἐξοίνοις, τούτους ζωγρήσαντες, ὡς οἷόν τε ἦν ἀνετάσαντες τὰς τῶν πολεμίων ἐπιβουλὰς ἁπάσας διέγνωσαν. οἱ μὲν οὖν Ῥωμαῖοι δεσμοῖς περιβαλόντες αὐτοὺς τῷ Γουδοΰϊ ζῶντας ἐξέπεμψαν. Γουδοΰϊς δὲ ὁ ταξίαρχος μεμαθηκὼς ἀπ' αὐτῶν δισχιλίοις ἀνδράσιν ὁπλίταις ἐπὶ φρουρᾷ τῆς λείας τὸν Χαγᾶνον συμφράξασθαι, ἥσθη ἐπὶ τῇ ἀγγελίᾳ·
D καὶ οὖν ἀποκρύπτεται ἔν τινι φάραγγι. οἱ μὲν οὖν βάρβαροι λαμπούσης ἡμέρας τὴν προνομὴν διεσώζοντο, ὁ δὲ Γουδοΰϊς ἐπὶ τὰ νῶτα τούτων γενόμενος ἀθρόως τε ἐπιθέμενος τῷ δόρατι πάντας διέφθαρεν, καὶ ἀνασωσάμενος τὴν λείαν πρὸς τὸν Πρίσκον μεγαλοψύχῳ φρονήματι διεκόμισεν. ὁ δὲ Χαγᾶνος ταῦτα δὴ τὰ τῆς ἀποτεύξεως μεμαθηκὼς ἀθυμίᾳ πολλῇ κατε-
V 263 βέβλητο. ἐπὶ μῆνας τοιγαροῦν ὀκτωκαίδεκα καὶ περαιτέρω Ῥωμαίοις τε καὶ βαρβάροις τοῖς ἀνὰ τὸν Ἴστρον αὐλιζομένοις οὐδὲν ἄξιον συγγραφῆς διαπέπρακται.

Ἔτους δὲ ἐννεακαιδεκάτου ἐπιστάντος τῷ αὐτοκράτορι

beretur. factus igitur barbaris propior, ex alta quadam specula glebam praetereuntem videt. mox triginta mittit, qui eorum vestigia observent. per devia igitur Romani iter carpunt, ac sub secundam vigiliam noctis, quasi in latebris quibusdam barbaros indagarent, in silva per insidias sese condunt; mediaque nocte, virtute duce dormientes opprimunt. duabus inde leucis in tres crapula et vino graves admodum incidentes, captos, quantum possunt, examinant, omnia hostium molimina exprimunt, manicas iniiciunt, Gundui vivos mittunt. Gunduis taxiarchus ubi Chaganum ad praedam custodiendam duo millia constituisse ab eis didicit, nuntio laetus se in valle quadam occultat. barbari mane praedam asservabant, cum Guduis a tergo confertim invadens omnes interimit, praedamque receptam ad Priscum gloriabundus transmittit. Chaganus cognito adverso casu tristitia multa obruitur. ad menses igitur decem et octo, atque etiam amplius, Romanis ac barbaris apud Istrum versantibus nihil scriptione dignum est actum.

Anno decimo nono imperatori futura praenuntiantur, et communis

ἡ τῶν μελλόντων προαγόρευσις γίνεται, τά τε κοινὰ τοῦ κόσμου ἐξομολογοῦνται παθήματα· ἀνὴρ γάρ τις πρὸς τὸν τῇδε κόσμον διαλυσάμενος καὶ ἐν ἀσκήσει θεωρίαν τῶν ἀπορρήτων μετειληφὼς ἐπί τε τὸν μονήρη βίον κατακλιθείς, σπάθην γυμνώσας, ἀπὸ τοῦ λεγομένου φόρου (τῶν ἐπισήμων δὲ οὗτος τόπος τῆς πόλεως) μέχρι τῶν προαυλίων τῶν ἀνακτόρων ξιφήρης διαδραμών, ἅμα τὸν αὐτοκράτορα τοῖς παισὶν ἐν φόνῳ μαχαίρας τεθνήξεσθαι προηγόρευεν. ὥρᾳ δὲ θέρους καὶ λόγος Ἡρωδιανὸν τῷ Μαυρικίῳ ἐς τὸ φανερὸν προσαναγγεῖλαι τὰ ἀποτεύγματα· ὁ δὲ ἀνὴρ ἐκ τῆς θείας ὀμφῆς κατισχυρίζετο τὰ τῆς προρρήσεως ἐπιφανῆναι αὐτῷ.

13. Καὶ γοῦν ἐν τούτῳ τῷ χρόνῳ ὁ παρὰ τοῖς Ἀβάροις P 181 Χαγᾶνος τιμώμενος, τὰ περὶ αὐτὸν συλλεξάμενος πλήθη, περὶ τὴν Θρᾳκικὴν Μυσίαν χωρεῖ, εἶτα Τομέᾳ τῇ πόλει ἐφίσταται. τούτων ὁ Πρίσκος πυθόμενος ἐπηρεαζομένῃ τῇ πόλει προσομιλεῖ. Ῥωμαῖοι τοιγαροῦν καὶ οἱ βάρβαροι εἰς τὰ περὶ Τομέαν τὴν πόλιν στρατοπεδεύοντες ὥρας ἐπιγινομένης χειμῶνος οὐδαμῶς τὸν χάρακα διελύσαντο. τοῦ δὲ ἦρος ἀνίσχοντος λιμὸς τοῖς Ῥωμαίοις ἐνέσκηψε. μελλούσης δὲ ἐπιβήσεσθαι τῆς μεγάλης τῶν Χριστιανῶν ἑορτῆς, καὶ πάθος ὁμοῦ καὶ ἀνάστασιν τοῦ σωτῆρος ἑορτά- B ζειν θεοῦ, τοῦ τε λιμοῦ τοὺς Ῥωμαίους καταπιέζοντος, παραδόξῳ προνοίᾳ τινὶ ὁ Χαγᾶνος πρὸς τοὺς Ῥωμαίους πρεσβεύεται. ἡ δὲ ἀξίωσις ἦν λύσιν τῷ λιμῷ ἐπιθεῖναι. ὁ μὲν οὖν Πρίσκος ἐπὶ τῷ καινοπρεπεῖ τῆς ἀξιώσεως διηπόρει τε καὶ ἠπίστει· ἐπεὶ δὲ πίστεις Ῥωμαῖοί τε καὶ βάρβαροι ἔδοσαν καὶ ἀντελάμβανον, πεν-

mundi calamitas palam profertur. nam vir quidam, qui rebus vitae huius valedixerat, et monasticum institutum sectatus exercitatione contemplationis arcana didicerat, gladium vagina vacuum prae se ferens, et a foro quod dicitur (est autem hic urbis locus illustris) usque ad vestibulum palatii currens, Mauricium ipsum liberosque eius gladio caesum iri vaticinatur. aestate item Herodianum quendam, qui se id divinitus accepisse affirmabat, eidem Mauricio publice exitium praedixisse vulgatum est.

13. Per hoc tempus Chaganus Abaris honoratus copias suas colligit, et ad Moesiae Thraciam iter intendit, deinde Tomeam aggreditur. quod ubi Priscus rescivit, urbi afflictae cum auxilio adest. Romani igitur barbarique ad Tomeam castra habentes, quanquam hieme interveniente, perseverant. vere appetente Romanos fames occupat. cumque Christianis solennia mortis et resurrectionis domini salvatoris in foribus essent, Romanique commeatus inopia premerentur, inexpectata quadam providentia, Chaganus legatione missa significat, si eis placeat, velle se eorum famem depellere. Priscus petitionis novitate anceps haerere ac diffidere. postquam vero inter utrosque data et accepta est fides,

θημέρους σπονδὰς συστησάμενοι τὴν ἀφοβίαν ἐπραγματεύοντο. ἁμάξας τοιγαροῦν ὁ Χαγᾶνος ἐπισιτισμοῦ λιμώττουσι τοῖς Ῥω-
C μαίοις παρείχετο. διὰ τοῦτο μέχρι τῶν χρόνων τῶν καθ' ἡμᾶς τῶν παραδοξολογουμένων τὰ τῆς βαρβαρικῆς φιλανθρωπίας ταύτης καθέστηκε. τετάρτῃ δὲ ἡμέρᾳ, καὶ τῆς Ῥωμαϊκῆς δυνάμεως εὐθηνούσης τοῖς πρὸς τὸ ζῆν ἀναγκαιοτάτοις τῷ βίῳ ὁ Χαγᾶνος πρέσβεις ἐξέπεμπεν, Ἰνδικὰς ὑπὸ τοῦ Πρίσκου λαβεῖν ἀξιῶν καρυκείας. ὁ μὲν οὖν στρατηγὸς τοῦ βαρβάρου τὴν ἀξίωσιν ἐθεράπευε, πέπερί τε ἐξέπεμψε καὶ φύλλον Ἰνδῶν κασίαν τε καὶ τὸν λεγόμενον κόστον. ὁ δὲ βάρβαρος τὰς Ῥωμαϊκὰς ἀπολαβὼν δω-
D ρεάς, καταρωματισάμενος ἥσθη λίαν περιχαρῶς. γίνεται τοίνυν ἀπόμαχος μέχρις ὅτου Ῥωμαίοις ἡ δημοτελὴς ἐκείνη καὶ μεγάλη πανήγυρις ἐπεπέραστο. συνηυλίζοντο τοιγαροῦν τὰ ἀντίθετα, καὶ οὐκ ἦν δέος ἐν ἑκατέραις δυνάμεσιν. οὐκοῦν ἀποτερματιζούσης τῆς ἑορτῆς ἀγγέλους ὁ Χαγᾶνος ἐξέπεμψε, διακρίνεσθαι ἀπ' ἀλλήλων ἀξιῶν τὰς δυνάμεις. οὕτω μὲν οὖν διαχωρίζεται ἀπὸ τῶν Ῥωμαίων ὁ βάρβαρος.

Ἑκταῖος δὲ ὁ Χαγᾶνος ἐπεὶ ἀκηκόει Κομεντίολον δυνάμεις ἀναλαβόμενον μέλλειν τῇ Νικοπόλει προσομιλεῖν, τὸ ὁπλιτικὸν συλλεξάμενος κατὰ Κομεντιόλου στρατοπεδεύεται. Κομεντίολος δὲ ἥκειν τὸν Χαγᾶνον ἀκούσας ἐπὶ τὴν Μυσίαν χωρεῖ, ἐπί τε Ζικίδιβα τὰς σκηνὰς συνεπήξατο. ἑβδομαῖος δὲ εἰς Ἰατρὸν ἀφικνεῖται τὴν πόλιν. ὁ δὲ βάρβαρος εἴκοσι παρασάγγας ἀφεστήκει Ῥωμαίων. νυκτὸς δὲ μεσούσης ἐν ἀπορρήτῳ πρὸς τὸν Χαγᾶνον
P 182 ὁ τῶν Ῥωμαίων στρατηγὸς ἐξέπεμψεν ἄγγελον. εἶτα τὸ Ῥωμαϊ-

9. Ἰνδικὸν Exc. ibid. τὸ Exc.

dierum quinque compositis indutiis, Chaganus esurientibus plaustra cibariis referta submisit. quocirca usque hodie barbarica ista humanitas ut admirabilis et praeter omnium opinionem exhibita celebratur. die quarto, cum iam Romani rebus ad victum requisitis abundarent, Chaganus a Prisco Indica aromata petit; cui ille morem gerens, piper, folium Indicum, casiam et costum, ut vocatur, mittit. barbarus donis Romanorum acceptis et aromatibus delinitus incredibiliter laetatur, et ab armis temperat, quoad publica illa et praecipua celebritas praeteriit. habitabant igitur simul sub iisdem pellibus extra omnem metum adversariae copiae. festis diebus transactis Chaganus per nuntios agmina secerni postulat. ita Romani a barbaris separantur.

Die sexto, ubi comperit Comentiolum venturum cum exercitu Nicopolim, adversus eum procedit. Comentiolus id resciscens in Mysiam abit, et ad Zicidiba castra locat. die septimo ad Iatrum urbem accedit. barbarus viginti parasangis a Romanis aberat. nocte media dux Romanus secreto nuntium ad Chaganum mittit. deinde obiter, et quasi

κὸν προσέταξεν ἐξοπλίσασθαι, ὡς ἐκ τοῦ παρήκοντος τὸν λόγον ποιούμενος· οὐ γὰρ ἔφησε Ῥωμαίοις ἐξ ἑωθινοῦ ποιήσασθαι παράταξιν. οἱ μὲν οὖν Ῥωμαῖοι τοῦ πολεμάρχου χάριν ὑποτοπάσαντες ὁπλοφορεῖν προστάξαι τούτοις τὸν στρατηγόν, τοῖς σιδη- V 264 ρίοις χιτῶσι τὰ περιστέρνια φράττουσιν· ἐδόκει γὰρ αὐτοῖς ἐξέτασιν τοῦ ὁπλιτικοῦ ποιήσασθαι ἐθέλειν τὸν στρατηγόν. τὰς ἀκτῖνας τοίνυν ἡλίου περιβαλόντος τῇ γῇ, ὁρῶσιν οἱ Ῥωμαῖοι μετ' εὐκοσμίας συντεταγμένον τὸν βάρβαρον, τήν τε ἔκταξιν κατ' αὐτῶν συντόνως ποιούμενον. αἱ μὲν δυνάμεις αἱ περὶ τὸν Κομεντίολον ἐβλασφήμουν εἰς τὸν πολέμαρχον, αἴτιον αὐτὸν τῆς παρασκευάστου ταύτης ἀκοσμίας καταιτιώμεναι. θρύλλου τοιγαροῦν γεγονότος μεγίστου μένει ὁ βάρβαρος ἀπὸ σημείων δύο τῆς Ῥωμαίων πληθύος. (14) Ῥωμαῖοι τοιγαροῦν θεασάμενοι B ἀναβολὴν τῆς ἐπιβολῆς τοὺς βαρβάρους λαμβάνοντας σιδηροφοροῦσιν ἅπαντες λίαν ὁπλιτικῶς, καὶ ἦν αὐτοῖς τὸ κακῶς παροφθὲν πρὸς διόρθωσιν εὔκαιρον. ὁ γὰρ Κομεντίολος τὰς τάξεις ἐτάραττε, ποτὲ μὲν ἀπὸ τῆς μέσης φάλαγγος τὰς δυνάμεις μετατιθέμενος ἐπὶ τὸ εὐώνυμον κέρας, ποτὲ δὲ τοὺς ἀπὸ τῶν εὐω- C νύμων δυνάμεων ἐπὶ τὴν δεξιὰν μεταβάλλων. τῇ τοίνυν ἀλλοπροσάλλῳ μεταθέσει τῶν τάξεων πολλῆς γίνεται αἴτιος ἀκοσμίας. ἐντεῦθεν τάραχος ταῖς τάξεσι συνεκύρησε. καὶ οὖν ὁ στρατηγὸς τῷ δεξιῷ τῆς παρατάξεως κέρατι ἐν παραβύστῳ ἐδήλου τὴν ἀποσκευὴν διασώσασθαι καὶ πρὸς φυγὴν παραυτίκα χωρῆσαι. ἀντὶ πολλοῦ τοίνυν τοῦτο ὑποτεταγμένοι περιπτυξάμενοι ἀποκλίνουσι πρὸς φυγήν. ἐντεῦθεν αἱ λοιπαὶ τῶν Ῥωμαίων δυνάμεις τοῦτο D θεασάμεναι πρὸς τάραχον καταπίπτουσι. δυομένου τοιγαροῦν

in transitu loquens, militem arma capere iubet: non enim dixit illos mane conflicturos. Romani coniectantes ducem sua causa iubere arma expediri, quod exercitum in armis lustrare vellet, tunicis ferreis pectora communiunt. ubi sol radios per terras diffudit, barbarorum ordines contra infestos tendere aspiciunt. tum convicia in ducem iactantes ipsum ut confusionis istius dedita opera auctorem accusant. tumultu igitur ingenti excitato, barbarus altero lapide a Romanis constitit. (14) Romani cernentes barbaros gradum sistere, omnes ferro sese quam maxime instruunt; quodque male neglectum fuerat, id eis emendandi opportunitatem porrigit. Comentiolus autem perturbare ordines, et nunc quidem e media phalange in sinistrum, nunc e sinistro in dextrum cornu transferre. qua commutatione multam in exercitum confusionem perturbationemque induxit. eos igitur qui dextrum cornu tenebant, occulte monet ut collectis vasis repente fugam ineant. quod illi pro beneficio singulari amplectentes, terga vertunt. hoc viso reliquae copiae tumul-

τοῦ ἡλίου ἀπὸ σημείων δύο Ῥωμαίων ποιησαμένων χάρακα, ἐν
τούτῳ δῆτα τῷ χώρῳ στρατοπεδεύονται. οἱ δὲ Ἄβαροι οὐ μετε-
φοίτων τὸν τόπον, ἔνθα τῇ προτεραίᾳ τὰς διατριβὰς ἐποιήσαντο.
μεσούσης δὲ τῆς νυκτός, ἐν προσχήματι προθεόντων τινῶν ἐπι-
λέκτους ὁ στρατηγὸς συμφραξάμενος, ἐν ἀπορρήτῳ διαφυγεῖν
αὐτοῖς ἐγκελεύεται. εἶτα ἐξ ἑωθινοῦ ὁ Κομεντίολος τῷ σιδήρῳ
ὡς ἔπος εἰπεῖν ἐνοπλισάμενος κατειρωνεύετο ὡς ἀπὸ τεττάρων ση-
μείων κυνηγετεῖν. διά τοι τοῦτο, ᾗ ποδῶν εἶχε, τὴν ἀπόδρα-
σιν ἐποιεῖτο. ἡλίου τοίνυν μεσοῦντος εἰς ἔννοιαν τῆς Κομεντιό-
λου ἀνοίας τὰ στρατόπεδα γίνεται, καὶ τοῦ στρατηγοῦ κατανε-
νοηκότα τὰς φροντίδας, πρὸς φυγὴν μετατεθέντα, τὸν γείτονα
διεπεραιώσαντο ποταμόν, καὶ ἀποδιδράσκουσι μετά τινος ἀκο-
P 183 σμίας μεγίστης τεσσαράκοντα σημεῖα ἀπὸ τοῦ χάρακος. ἐπεὶ δὲ
ἀνηγεμόνευτος ἡ ἀποφοίτησις ἦν, μεγίστοις περιπίπτουσι φόβοις.
οἱ δὲ βάρβαροι κατόπιν βαδίζοντες τὸν λεγόμενον Ἰατρὸν διενή-
ξαντο ποταμόν. ἐπιθεμένων τοίνυν τῶν πολεμίων Ῥωμαίοις,
τὸ ὁπλιτικὸν ἀπορία καὶ δέος μετήσχετο. γίνεται τοίνυν ἡ φυγὴ
κραταιὰ τῆς Ῥωμαίων πληθύος. ἐντεῦθεν οἱ βάρβαροι τὰ ἐχυ-
ρώματα τῶν διαβάσεων περικάθηνται· κλεισούρας τῇ πατρίῳ
Ῥωμαῖοι φωνῇ ἀποκαλεῖν ταῦτα εἰώθασιν. ἀτὰρ ἀναιροῦνται
τῶν Ῥωμαίων πολλοί. ἐπεὶ δὲ ὁ φόνος τοῖς Ῥωμαίοις ἦν διαρ-
κής, τὸ ὁπλιτικὸν συστησάμενον φάλαγγα ἐξωθεῖται βίᾳ τὸν βάρ-
B βαρον. οἱ τοίνυν Ἄβαροι τῇ ῥύμῃ τῆς ἐπιθέσεως ἀποφοιτῶσι
τῶν διαβάσεων. οὕτω μὲν οὖν οἱ Ῥωμαῖοι μεγάλοις κινδύνοις
τῶν παρόδων ἀντιλαμβάνονται. ὁ δὲ Κομεντίολος ἀσχήμῳ φυγῇ

11. μετατιθέντα IP.

trantur. sole terris ablato, Romani duobus ab hoste milliaribus in castra sua redeunt. Abares loco hesterno non excedunt. nocte alta, specie quorundam praecurrentium dux quibusdam delectis et armatis, clam iubet uti fugam arripiant. mane, ut brevis sim, ferro instructus venationem instituturum se post 4 milliaria simulat, atque ita summa celeritate fugit. meridie milites Comentioli amentia perspecta cogitationibusque intellectis, dantes se in pedes flumen traiiciunt, confusioneque maxima quadraginta millia passuum a castris fugitant. quod autem duce carebant, metu ingenti tenebantur. barbari sequentes Iatrum amnem transeunt. hoste instante, Romani et formidine et consilii inopia conflictati, fugam summo conatu persequuntur. tum barbari transitus munimenta, quas patria lingua clausuras Romani appellare consueverunt, circumsident. magno Romanorum numero interfecto, milites praesidiarii in phalangem densati vi barbaros pellunt. Abares adversus vim tantam impares transitum deserunt, quem Romani acri praelio recuperant. Co-

πρὸς τὰ Δριζίπερα παραγίνεται, καὶ ταῖς πύλαις προσομιλήσας τοῦ ἄστεος ἠξίου εἰσόδου τυχεῖν καὶ θερμοῖς ὕδασιν ἀπορρύψασθαι. οἱ δὲ ἀστοὶ ὕβρεσι καὶ λίθοις τὸν ἀπόμαχον στρατηγὸν ἀπεπέμποντο. ὁ δὲ Κομεντίολος ἐπὶ τὰ τείχη γίνεται τὰ μακρά. οἱ δὲ βάρβαροι κατὰ μικρὸν τῶν Ῥωμαίων εἰς τοὐπίσω τραπέντων ἐπὶ τὰ Δριζίπερα παραγίνονται, τήν τε πόλιν ἐπόρθησαν, καὶ τὸν Ἀλεξάνδρου ναὸν τοῦ περιφανοῦς ἐν τοῖς μάρτυσι τῷ παμφάγῳ πυρὶ κατηνάλωσαν. τόν τε τάφον τοῦ μάρτυρος εὑρηκότες ἀργύρῳ περιρρεόμενον ἀνοσίως σκυλεύουσι, καθυβρίζουσί τε τῇ ἐκβολῇ καὶ τὸ σῶμα τὸ ἐπὶ τῷ τύμβῳ ἐγκείμενον, καὶ λίαν ἐπὶ ταῖς νίκαις ὑψαυχενιζόμενοι ταῖς εὐωχίαις καταστιβαδεύονται.

15. Ἐν ταύταις τοιγαροῦν ταῖς ἡμέραις τὸ κατὰ πάντων V 265 C τῶν ἐθνῶν κράτος αὐτοῦ ὁ ἡμέτερος πιστούμενος Ἰησοῦς, καὶ εἰς κληρονομίαν τε παρὰ τοῦ πατρὸς τὴν οἰκουμένην λαβὼν κατάσχεσίν τε τὰ πέρατα τῆς γῆς, οὐδαμῶς τῷ Χαγάνῳ ἀμάρτυρον τὴν ἑαυτοῦ βασιλείαν παρῆκεν. ἀθρόα γὰρ ἐπιφοιτήσει λοιμοῦ τὰ τῶν βαρβάρων πλήθη, καὶ ἦν αὐτοῖς τὸ κακὸν ἀπαραίτητον καὶ σοφίσματος οὐκ ἀνεχόμενον. εἰσπράττεται τοιγαροῦν D ὁ Χαγᾶνος, ἀνθ' ὧν Ἀλέξανδρον ἠτιμάκει τὸν μάρτυρα, ἀξιολόγους ποινάς· ἑπτὰ γὰρ παῖδες αὐτῷ βουβῶσι περιτυγχάνουσι θέρμῃ τε ῥαγδαίᾳ τινὶ καὶ φλογώδει, καὶ ἐν ἡμέρᾳ μιᾷ τὸν τῇδε καταλύουσι βίον. οὕτω μὲν οὖν ὁ Χαγᾶνος δυστυχῶς εὐτυχεῖ τὰ ἐπινίκια· ἀντὶ γὰρ παιώνων καὶ ᾀσμάτων καὶ ὕμνων καὶ κρό- P 184

mentiolus foede fugiens Drizipera venit; ad moenia urbis adit, ad corpus calida abluendum introitum flagitat. cives imbellem ducem contumeliis et lapidibus abigunt. ita ad longum murum discedit. barbari, ut Romani recesserunt, paulatim Drizipera procedunt, urbem capiunt, aedem Alexandri martyris incliti incendio absumunt, eiusque monumentum argento ornatissimum nefarie spoliant. quin etiam corpus inde indignissime eiiciunt, mirificeque victoria elati ad convivandum thoris discumbunt.

15. His itaque diebus Iesus dominus noster, qui a patre imperium in omnes gentes, et in hereditatem orbem terrarum et in possessionem terminos terrae accepit, regnum suum Chagano nequaquam intestatum esse voluit. passim quippe immissa pestilentia barbaros delevit, eratque malum indeprecabile, nec ulla medicina quantumvis sollerter excogitata curabile. itaque a Chagano ob Alexandrum martyrem tam ignominiose tractatum poena commerita exigitur. nam septem eius filii peste inguinaria corripiuntur, caloreque vehementi et igneo plane, et uno simul die extinguuntur. sic Chaganus in victoriis suis infeliciter felix fuit. nam pro paeanibus et canticis et hymnis et manuum plausibus et salta-

των χειρῶν καὶ συμφωνίας χορῶν καὶ γέλωτος κυματίζοντος θρήνους εἶχε καὶ δάκρυα καὶ πένθη ἀπαρηγόρητα καὶ ζημίαν ἀνυπομόνητον. ἐβάλλετο γὰρ ὑπὸ στρατευμάτων ἀγγέλων, καὶ φανερὰ μὲν ἦν ἡ πληγή, ἀόρατος δὲ ἡ παράταξις.

Κομεντιόλου τοίνυν εἰς τὸ βασίλειον ἐνδημήσαντος ἄστυ συνενδημοῦσιν αὐτῷ καὶ οἱ θόρυβοι, καὶ τῷ θρύλλῳ κλυδωνιζομένης τῆς πόλεως ἐζωγραφοῦντο ταῖς ἐλπίσιν οἱ κίνδυνοι, τῇ τε φαντασίᾳ τὰς ἀπαισίους τύχας ἅπας ἐγρηγόρως ὠνειρατεύετο. ἐς τηλικούτου τοίνυν κακοῦ τὰ τῶν Βυζαντίων ἐχώρει, ὡς καὶ τὴν Εὐρώπην καταλιπεῖν ἂν δοκιμάζειν αὐτοὺς καὶ πρὸς τὴν B Ἀσίαν μεταφοιτᾶν πρός τε Χαλκηδόνα ποιήσασθαι τὴν μετάστασιν. ἡ δὲ Χαλκηδὼν πόλις καθέστηκεν εἰς τὸ ἀντιπέραν τοῦ βασιλείου πολίσματος. ἐνομίζετο γὰρ ὁρμητήριον εὔθετον ὑπεῖναι τοῖς Βυζαντίοις ἡ Χαλκηδών. ὁ δὲ αὐτοκράτωρ τοὺς σωματοφύλακας ἀναλαβών, οὓς ἐξκουβίτωρας Ῥωμαῖοι ἀναγορεύουσι, καὶ τὸ ὁπλιτικὸν συλλεξάμενος τὰ μακρὰ διεφρούρησε τείχη. εἵπετο δὲ αὐτῷ καὶ ἐκ τῶν δήμων τῶν ἐς Βυζάντιον πλείστη ἀπόμοιρα. ὀγδόῃ δὲ ἡμέρᾳ, καὶ ἡ σύγκλητος παρῄνει τῷ Καίσαρι πρὸς τὸν Χαγᾶνον πρεσβείαν ἐκπέμψασθαι. ὁ δὲ βασιλεὺς προσκαλεσάμενος τὸν Ἁρμάτωνα πρέσβυν χειροτονεῖ, καὶ ὡς τὸν Χαγᾶνον ἐξέπεμψεν. ὁ μὲν οὖν Ἁρμάτων εἰς τὰ Δριζίπερα γίνε- C ται, πλήθη δώρων ἐπιφερόμενος. ὁ δὲ Χαγᾶνος τὰς παρούσας τύχας κατοδυρόμενος ἐθρήνει ἀσχέτως τὴν ἀποβολὴν τῶν υἱῶν τήν τε τῶν δυνάμεων λύμην. δέκα δὲ ἡμέρας ἐνδιατρίψας ὁ

17. ἐκ τῶν] ἐκ τῆς τῶν IP. 24. τῶν add. Exc.

tionum numeris et risu effusissimo lamenta et lacrimas et luctum nulla consolatione sanabilem et iacturam intolerandam adeptus est. percussus est enim ab angelorum exercitibus; et cum plaga esset aspectabilis, acies tamen illa visu contingi non potuit.

Comentiolum urbem imperatoriam ingredientem rumores comitati sunt, tumultuque eam pervadente metus futura pericula depingebat; et unusquisque adversae fortunae imagines animo repraesentans, etiam vigilans somniabat quodammodo. eo igitur malorum res Byzantina delapsa est, ut de Europa deserenda et Asia atque Chalcedone incolenda cives serio cogitarent. est autem Chalcedon e regione Byzantii, quae vitandae tempestati imminenti portus fore accommodatus videbatur. imperator cogit milites, quos cum custodibus corporis sui (Romani excubitores vocant) et maxima parte civium Byzantiorum ad longum murum ab hostibus tuendum mittit. octavo die senatus Caesarem de legatis ad Chaganum mittendis hortatur; qui accito Harmatoni eas partes mandat. Harmaton multis cum muneribus Drizipera venit. Chaganus praesentes fortunas lamentans, amissionem filiorum pestiferumque copiarum exitium immenso dolore prosequitur. decem diebus ibi positis, Harmaton conve-

πρέσβυς τῷ Χαγάνῳ πρὸς λόγους οὐ γίνεται· ἦν γὰρ τὸ πένθος δριμὺ καὶ τὰ τῆς συμφορᾶς ἀμεθόδευτα. δωδεκάτῃ δὲ ἡμέρᾳ εἰσάγεται ὁ πρέσβυς εἰς τὴν τοῦ βαρβάρου σκηνήν. ὁ μὲν οὖν πρέσβυς λόγοις ἠπίοις κολακεύει τὸν βάρβαρον· ὁ δὲ Χαγᾶνος δυσανασχέτως εἶχε τὰ βασιλικὰ καταδέξασθαι δῶρα, μονονουχὶ τὸ τῆς τραγῳδίας ἐπιφθεγγόμενος "ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα." καὶ γοῦν ὁ πρέσβυς πλείστοις λόγοις χρησάμενος πείθει τιμηθῆναι τοῖς δώροις τὸν βάρβαρον. τῇ δὲ ὑστεραίᾳ τὴν D εἰρήνην ὁ βάρβαρος συστησάμενος πρὸς τὴν ἀνάζευξιν ἔβλεπεν, ἔφασκε δὲ ὁ Χαγᾶνος ἐπὶ λέξεως τάδε "κρίναι ὁ θεὸς ἀνὰ μέσον Μαυρικίου καὶ ἀνὰ μέσον Χαγάνου, ἀνὰ μέσον Ἀβάρων καὶ ἀνὰ μέσον Ῥωμαίων." κατῃτιᾶτο γὰρ αὐτοκράτορα τὴν εἰρήνην σαλεῦσαι. οὐκ ἀπὸ δὲ τρόπου τὰ ῥήματα· τῷ ὄντι γὰρ οἱ Ῥωμαῖοι παραχαράκται τῆς εἰρήνης γενόμενοι καὶ τοῦ πολέμου δημιουργοὶ τοῖς προηγορευμένοις περιπίπτουσιν ἀτυχήμασιν· τῶν γὰρ κακῶν ἐνάρξεων τὰ ἀποτελευτήματα χαλεπὰς τὰς ἐπιφανείας παρέχεται. V 266 διομολογεῖται δὲ Ῥωμαίοις καὶ Ἀβάροις ὁ Ἴστρος μεσίτης, κατὰ δὲ Σκλαβηνῶν ἐξουσία τὸν ποταμὸν διανήξασθαι. ἐπεντίθενται δὲ καὶ ἄλλαι εἴκοσι χιλιάδες χρυσῶν ταῖς σπονδαῖς. ἐν τούτοις δῆτα Ἀβάροις καὶ Ῥωμαίοις ὁ πόλεμος πέρας ἐλάμβανεν.

16. Κατὰ τοῦτον δὴ τὸν ἐνιαυτὸν τὴν Αἰγυπτιακὴν P 185 ἐπαρχότητα Μηνᾶ διανύοντος πρὸς τοῖς ῥείθροις τοῦ Νείλου παραδόξων τινῶν ἐπιφάνεια γίνεται. ἐδέησε γὰρ τὸν ἐπιβεβηκότα τῆς τῶν Αἰγυπτίων ἀρχῆς ἀφικέσθαι ἐπὶ τὸ λεγόμενον

niundi copiam impetrare non potuit: erat quippe dolor vehemens, ut dixi, nec levandae calamitati ulla via ratiove apparebat. die duodecimo in tabernaculum introducitur, barbarumque leni ac placida oratione demulcet. Chaganus imperatoria dona suscipere gravatur, tantum non illud e tragoedia occinens, "hostium dona non dona, nec utilia sunt." tandem multis verbis eum legatus permovet ut se donis coli patiatur. postridie pace firmata domum redit, haec ad verbum eo succinente: "iudica, deus, inter Mauricium et Chaganum, inter Abaros et Romanos." accusabat enim imperatorem ruptae pacis, nec mentiebatur: re vera namque Romani pace male conservata et bello irritato, praedictas sibi clades accersebant. etenim principia non bona pernicioso exitu concluduntur. ex pacto autem Ister ad Romanorum Abarumque fines dirimendos constituitur, et potestas eiusdem contra Sclavos traiiciendi conceditur. praeterea denuo vicena aureorum millia antea pactis adduntur. atque hoc modo bellum inter Abares et Romanos profligatum est.

16. Hoc anno Mena Aegypti praefecturam gerente in Nilo flumine mira quaedam, et inopinata apparuerunt. nam cum praefectus hic in locum Aegypti, qui a figura elementi Delta nomen accepit, negotii causa

Δέλτα· τόπος δὲ οὗτος ἐκ τοῦ σχήματος τοῦ χώρου τὴν ὀνομα-
σίαν ἀπολαβών. τοίνυν περὶ πρώτην ἕω ἐπὶ τὰς ὄχθας τοῦ πο-
ταμοῦ ποιουμένου τοῦ ἡγεμόνος τὴν πάροδον ἄνεισιν ἐκ τῶν λα-
γόνων τοῦ ποταμοῦ ἀνὴρ κατάπληκτος τῷ μεγέθει, τὸ πρόσωπον
γίγασιν ἐμφερής, τὸ βλέμμα δριμύς, τὴν κόμην ἐπίξανθος με-
B μιγμένην τινὶ πολιᾷ, τὴν παρειὰν τοῖς εὐσωματοῦσι καὶ πρὸς
τὰς παλαίστρας γενομένοις παρεοικώς, τὴν ψύαν τοῖς ναυτικοῖς
ἐμφερής, εὔστερνος, τὰ νῶτα ἡρωϊκός, τοὺς βραχίονας ἰσχυ-
ρός. ἀλλὰ μέχρι τῆς κύστεως τὴν ἱστορίαν παρείχετο, τὰ δὲ
λοιπὰ μέλη τοῦ σώματος ἡ τῶν ὑδάτων φύσις ἀπέκρυπτεν· ἐῴ-
κει γὰρ αἰσχυνομένῳ ἀνδρὶ τὰ παιδουργὰ τοῖς τοῦ θεάτρου ἐπι-
δεῖξασθαι μόρια. τοῦτον ὁ τῆς Ἀλεξανδρείας ἡγεμὼν θεασάμε-
νος ἔβαλλε τοῖς ὅρκοις πυκνῶς. ἃ δὲ ἔλεγεν ἐκεῖνος, ταῦτά ἐστιν,
C εἰ μὲν δαιμονίων τινῶν καθέστηκεν ἐπιφοίτησις, ἀβλαβῶς κατα-
λῦσαι τὸ θέατρον καὶ τὴν ἠρεμίαν ἀσπάσασθαι τὸ φαινόμενον·
εἰ δὲ δημιουργικαὶ φροντίδες τοῦτον δὴ τὸν ὁρώμενον προηνέγ-
καντο, τὰ τῆς θεωρίας μὴ λῦσαι πρὶν πάντας ἐμφορηθῆναι τῆς
παραδόξου ταύτης ὁράσεως. λόγος δὲ ἐκεῖνον αὐτὸν πεφυκέναι
τὸν Νεῖλον, ὃν εἰώθασι ποιητῶν ἀναπλάττεσθαι ῥήματα. τὸ
μὲν οὖν Νειλῷον ζῶον ἐκεῖνο (εἰπεῖν γὰρ ἄνθρωπον οὔπω τεθάρ-
D ρηκα) τοῖς ὅρκοις κατεπᾳδόμενον ἐς τὸ φανερὸν διήρκει καὶ τὴν
τοῦ σώματος ἐμφάνειαν τοῖς πᾶσι παρείχετο. τρίτη δὲ ὥρα τῆς
ἡμέρας, καὶ ἄνεισιν εὐθὺς ἐκ τῆς τῶν ὑδάτων κοιλίας καὶ θηλύ-
μορφον ζῶον· τὴν γὰρ φύσιν ἐδήλου ἡ πρόσοψις, οἵ τε μαζοὶ
καὶ αἱ τοῦ προσώπου λειότητες ἥ τε κόμη καὶ ἅπασα ἡ τοῦ φαι-

venisset maneque ad littus accessisset, ab imo fluvio vir obstupescendae molis emersit, facie gigantem referens, truci aspectu, coma subflava, canis intermixta. malae, quales habitiorum et ad palaestram institutorum esse solent. lumbi nautici, pectus validum, tergum latum, quale heroum, brachia torosa. porro usque ad naturam sese spectandum praebebat: reliqua membra aquae cooperiebant. imitabatur enim virum pudentem, nolentemque partes illas liberorum procreationi idoneas spectantium oculis exponere. hunc contemplatus Alexandriae sive Aegypti praetor crebrius adiurat, ut si quidem e daemonibus sit, spectatores illaesos dimittat et quiescat, sin aliquid naturae opificio productum, ne ante se subducat quam omnes praesentes intuendo oculos animosque satiaverint. rumor fuit eum ipsum fuisse Nilum, poetarum fabulis nobilitatum. hoc igitur Niloticum animal (hominem enim dicere vereor) adiurationibus obligatum diutius in aperto mansit, corpusque videndum omnibus obiecit. tertia hora post etiam ex undis recta emergit mulieri simile animal, quod ipse vultus femineus glaber, item mammae, comae, quae partim in nodum collectae, partim solutae pendebant, totaque corporis apparen-

νομένου σώματος σύνταξις, αἵ τε περιπλοκαὶ καὶ τὰ ἔκλυτα. ἔλαμπε δὲ τῇ ὥρᾳ τὸ γύναιον. ἡ δὲ κόμη τῷ θήλει λίαν μελάντερος. ἦν δὲ τὸ ζῷον τὸ πρόσωπον ἔκλευκον, εὔριν, τὴν χεῖρα εὐδάκτυλον, τοῖς χείλεσιν εὔκοσμον. ἐσφρίγα δὲ τῷ μαζῷ, καὶ τῇ φαντασίᾳ τὸ τιτθίον ἐδόκει ἄρτι ὑπὸ τῆς ἥβης προκύψαι μικρόν. τὰ δὲ ἐγκόλπια τοῦ γυναίου ἀνιστόρητα ἡ τῶν ὑδάτων φύσις ἐφύλαττε, τῆς εὐνῆς τὰ μυστήρια ὥσπερ ἀμυήτους τινὰς τῶν ἀπορρήτων τοὺς θεατὰς ἀποκρύπτουσα. ἡ μὲν οὖν περίπολος τάξις ὅ τε ἡγεμὼν μέχρι τοῦ κλῖναι τὸν ἥλιον ἐψυχαγώγει P 186 τὰ ὄμματα. ἡλίου δὲ κλίναντος κατέδυσεν τὰ ὁρώμενα εἰς τοὺς ἀπ' ἀρχῆς τῶν ὑδάτων πυθμένας, ἀφωνίᾳ τὴν ἐπίδειξιν συστησάμενα· ἀφθόγγῳ γὰρ σιωπῇ τὴν ἱστορίαν τοῖς ἐρασταῖς ἐπεδείξαντο.

Οὐκ ἂν δὲ περιοψόμεθα ταῦτα δὴ τὰ παράδοξα διηγήματα, ἃ περὶ τούτου δὴ τοῦ ποταμοῦ καὶ τοῖς πρὸ ἡμῶν πεφιλοσόφηται ἄριστα· ἕλκοντες γὰρ τὸ γένος ἐντεῦθεν εἰκότως τοῖς περὶ τοῦ Νείλου διηγήμασιν οὐκ ἀπροσφόρως φιλοχωρήσωμεν. περὶ μὲν B τοῦ Ἄπιδος Ἡροδότῳ παραχωρητέον τῷ πολυπράγμονι, περὶ δὲ τῶν ἀνθρωπομόρφων καὶ Νειλῴων ζώων καὶ τοῖς πάλαι ἱστόρηται. τίνος δὲ σημαντικὸν ἡ τούτων ἐνδημία καθέστηκεν, εἰπεῖν ἐθάρρησεν ὁ Λυδός, τῶν ἄλλων λίαν νεώτερος καθεστώς, ὃς V 267 κατὰ τοὺς χρόνους ἐγνωρίζετο Ἰουστινιανοῦ τοῦ αὐτοκράτορος. ἡμεῖς δέ τι μικρὸν τὴν συνέχειαν ὑποκλέψαντες περὶ τῶν θερινῶν ἀναβάσεων τοῦ Νείλου διέξιμεν, τὰ ἐπισημότερα τῶν ἱστοριῶν

tis constitutio indicabant. femina erat pulcritudine eximia: capilli nigri admodum, facies candidissima, nasus belle formatus, digiti elegantes, labia rosea. sororiabant ubera, et papillae a recenti pubertate aliquantum prospicere ac sese exertare videbantur. locos autem aqua tegens ab aspectu removebat, mysteria cubilis ab intuentium luminibus tanquam arcanis nondum initiatorum abscondens. praefectus igitur et circumfusa cohors eaque ad occasum solis spectando voluptatem capiebant. imminente iam nocte visa illa in ima aquarum, unde extiterant, descendunt, cum se cupide lustrantibus vocem quodammodo eripuissent: ita altum omnes admirabundi silebant.

Verumenimvero quae de hoc flumine nec opinabilia memorantur et ab aliis ante nos prudenter disputata sunt, negligenda nobis non videntur. nam cum inde genus trahamus, iure iis quae de Nilo quidam tradiderunt, nec sine utilitate immorabimur. de Apide aliquid Herodoti curiositati largiendum est. de animalibus Nili humanam figuram referentibus veteres conscripserunt. quid ea in futurum portenderent, Lydus, caeteris multo recentior (Iustiniano enim imperante floruit) prodere memoriae non dubitavit. nos, historiae nonnihil interrupta serie, de

διηγήματα ἀξιολόγῳ μνήμῃ τινὶ τοῖς ἀκροάμασι προβαλλόμενοι.

C 17. Οὗτος δὲ ὁ Νεῖλος μέγιστος ἁπάντων τῶν περὶ τὴν οἰκουμένην καθεστὼς ποταμῶν, καὶ πολλῶν τῆς Λιβύης καὶ τῆς Αἰθιοπίας τῆς τε Ἰνδικῆς αὐτῆς γῆν παραμείβων, τοῦ τε Γάγγου καὶ Ἰνδοῦ προτερεύων κατὰ τὸ μέγεθος, ἀπὸ τῶν ὀφθαλμῶν τῶν ἀνθρώπων τὰς πηγὰς ἀποκρύπτει. θέρους τοίνυν ἀκμάζοντος τὰς αὐξήσεις λαμβάνει, ἐναντίον τῇ φύσει τῶν κατὰ τὴν οἰκουμένην ἅπασαν ποταμῶν. τὰς δὲ αἰτίας τὰς παρὰ τοῖς πολλοῖς εἰρημένας τοῖς ἀρχαίοις προτεθειμένας ἐπὶ λέξεως τῇ παρούσῃ ὑποβάλλομεν ἱστορίᾳ. οἱ μὲν οὖν περὶ τὸν Ἑλλάνικον καὶ D Κάδμον, ἔτι δὲ Ἑκαταῖον, εἰς τὰς μυθώδεις ἀποφάσεις κατέφυγον· Ἡρόδοτος δὲ ὁ πολυπράγμων, εἴ καί τις ἄλλος πολλῆς γεγονὼς ἔμπειρος ἱστορίας, ἐπικεχείρηκε περὶ τούτων ἀποδοῦναι τὸν λόγον, ἠκολουθηκὼς δὲ ἀντιλεγομέναις ὑπονοίαις εὑρίσκεται. ὁ δὲ Ξενοφῶν καὶ Θουκυδίδης ἐπαινούμενοι κατὰ τὴν ἀλήθειαν μᾶλλον τῶν ἱστοριῶν τούτων ἀπέσχοντο. οἱ δὲ περὶ τὸν Ἔφορον καὶ Θεόπομπον μάλιστα πάντων ἐπιταθέντες εἰς αὐτὰ οὐδαμῶς τῆς ἀληθείας ἐγένοντο γνώριμοι, οὐ δι᾿ ἀμέλειαν δὲ ἀλλὰ διὰ τὴν τῆς χώρας ἰδιότητα τὸν λόγον ἠγνόησαν. ἀπὸ γὰρ τῶν ἔκαθεν χρόνων ἄχρι Πτολεμαίου τοῦ Φιλαδέλφου προσαγορευθέντος ξένα ὡς ἔπίπαν τὰ περὶ τοὺς τόπους τούτους παντελῶς ἦν καὶ τοῖς ἐπιβαίνουσιν ἐπικίνδυνα. τοῦ δὲ προειρημένου βασιλέως

4. an πολλὴν?

aestivo Nili incremento disserentes, insigniora et memoria digna ad audiendum proponemus.

17. Nilus omnium fluviorum orbis terrae latissimus, multorumque per Libyam Aethiopiam Indiam regiones secans, ipsumque Gangem et Indum magnitudine superans, oculis humanis fontes suos, sive primam originem unde erumpit, negavit. aestate igitur fervente, secus quam caetera orbis flumina solent, excrescit. causas a multis et priscis scriptoribus allatas huic historiae fideliter inseremus. Hellanicus igitur, Cadmus et Hecataeus ad fabulas confugiunt. Herodotus, ut est curiosus et si quisquam alius historiarum gnarus, huius rei rationem afferre conatus est. sed eum suspiciones potius inter se contrarias secutum apparet. Xenophon et Thucydides, qui a rerum explicatarum veritate magis commendantur, nihil huiuscemodi habent. Ephorus et Theopompus quanquam omnium maxime in hanc cognitionem intenti, non potuerunt tamen eam liquidam adipisci. ignorationis eorum causa non negligentia, sed regionis conditio fuit. iam inde enim ab antiquis seculis usque ad Ptolemaeum cognomento Philadelphum, pleraque locorum istorum ignota omnino et inexplorata atque advenis etiam periculosa fu-

μεθ' Ἑλληνικῆς δυνάμεως ἐς Αἰθιοπίαν στρατεύσαντας ἐγνώσθη P 187 τὰ κατὰ ταύτην τὴν χώραν λίαν ὡς ἔπος εἰπεῖν ἀκριβέστερον. οἱ μὲν οὖν κατ' Αἴγυπτον ἱερεῖς ἀπὸ τοῦ περιρρέοντος τὴν οἰκουμένην ὠκεανοῦ φασὶ τὸν Νεῖλον λαμβάνειν τὴν σύστασιν, λέγοντες μὲν οὐδὲν ἀληθές, ἀπορίᾳ δὲ λύοντες τὴν ἀπορίαν, καὶ λόγον φέροντες εἰς πίστιν πολλῆς προσδεόμενον πίστεως, ὀρφανὴν τὴν διήγησιν καταλιμπάνοντες βεβαιώσεως. τῶν δὲ Τρωγλοδυτῶν οἱ μεταναστάντες ἐκ τῶν ἄνωθεν τόπων, οἱ καὶ Βώλγιοι προσαγορευόμενοι, λέγουσιν ἐμφάσεις εἶναί τινας περὶ τοὺς τόπους ἐκείνους, ἐξ ὧν ἄν τις συλλογίσαιτο διότι πολλῶν πηγῶν εἰς ἕνα τό- B πον ἀθροιζομένων τὸ ῥεῦμα τοῦ Νείλου συνίσταται. ὠμέλει καὶ πολυγονώτατον αὐτοὶ ὑπὲρ ἅπαντας τοὺς κατὰ τὴν οἰκουμένην ποταμοὺς πεφυκέναι φασίν. οἱ δὲ κατοικοῦντες τὴν νῆσον τὴν ὀνομαζομένην Μερόην (αὕτη δὲ ἐπὶ τὸ Νεῖλον ἵδρυται ῥεῖθρον) τὸν ποταμὸν κεκλήκασιν Ἀστυποῦν, ὅπερ ἐστὶ μεθερμηνευόμενον εἰς τὴν τῶν Ἑλλήνων διάλεκτον ἐκ τοῦ σκότους ὕδωρ· ἀκαταληψίᾳ γὰρ οὗτοι ἀνατιθέασι τοῦ ποταμοῦ τούτου τὴν φύσιν. Θαλῆς μὲν οὖν εἷς τῶν ἑπτὰ σοφῶν ὀνομαζόμενος φησὶ τοὺς ἐτησίας ἀντιπνέοντας ταῖς ἐκβολαῖς τοῦ ποταμοῦ κωλύειν εἰς τὴν θάλασσαν προχεῖσθαι τὸ ῥεῖθρον, καὶ διὰ τοῦτο αὐτὸν πληρούμενον C ἐπικλύζειν ταπεινὴν οὖσαν καὶ πεδιάδα τὴν Αἴγυπτον. τοῦ δὲ λόγου τούτου καίπερ εἶναι δοκοῦντος πιθανοῦ ῥᾴδιον ἐξελέγξαι τὸ ψεῦδος· εἰ γὰρ ἦν ἀληθὲς τὸ λεγόμενον, ἅπαντες οἱ ποταμοὶ οἱ

14. an Νειλῷον? 20. τοῦτον αὐτὸ IP.

runt. postquam vero rex, de quo diximus, cum Graecis copiis Aethiopiam est ingressus, regio haec, ut paucis dicam, multo exploratius atque perfectius cognosci coepta est. sacerdotes igitur Aegyptii, ab Oceano orbem circumdante Nilum oriri affirmantes, nihil dicunt, et dubium quod est, per dubium dissolvunt; rationemque ad fidem conciliandam adducentes, quae ipsa vehementer fide indiget, quod narrant, confirmatione destitutum relinquunt. Troglodytae, qui e superioribus locis migrarunt et Bolgi appellantur, dictitant in locis illis cavitates esse; unde quispiam ratiocinetur multis fontibus in unum confluentibus Nili fluentum intumescere. sane omnium quoque mundi fecundissimum hunc esse aiunt. qui vero insulam Nili, Meroe dictam, incolunt, fluvium Astapum nominant, quam vocem transferas "e tenebris aqua profluens:" naturam enim huius fluminis incomprehensam esse isti statuunt. Thales unus de sapientibus docet discedenti Nilo Etesias resistere, et cursus eius eorum flatibus acto contra ostia mari sustineri; atque hinc illum exuberantem per totam Aegyptum, quae depressa et campestris sit, late exspatiari. sed huius rationis, quamvis probabilis videatur, non difficile est falsitatem ostendere. nam si quid veritatis haberet quod

τοῖς ἐτησίαις ἐναντίας κεκτημένοι τὰς ἐκβολὰς ἂν ἐποιοῦντο τὴν ὁμοίαν ἀνάβασιν. Ἀναξαγόρας δὲ ὁ προσαγορευόμενος φυσικὸς τὴν τηκομένην κατὰ τὴν Αἰθιοπίαν χιόνα τῆς τοῦ ποταμοῦ πληρώσεως ὑπάρχειν αἰτίαν ἐδόξασεν· ᾧ καὶ ὁ τραγῳδοποιὸς Εὐρι-
V 268 πίδης πειθόμενος ἐν τοῖς ἑαυτοῦ ποιήμασι τοῦτο συντέταχε. ταύτην μὲν οὖν τὴν ἀντίθεσιν οὐ πολλῆς ἀντιθέσεως δεῖσθαί φαμεν, φανεροῦ καθεστῶτος τοῦ ψεύδους· διὰ γὰρ τὴν ὑπεροχὴν τῶν
D καυμάτων ἀδύνατον χιόνα περὶ τὴν Αἰθιοπίαν συνίστασθαι· καθόλου γὰρ περὶ τοὺς τόπους ἐκείνους οὐ πάγος, οὐ ψῦχος οὔτι ὅλως χειμῶνος ἔμφασις πέφυκε, καὶ μάλιστα τροπαῖς θεριναῖς. εἰ δὲ καί τις εἴποι τῷ τῆς συγχωρήσεως τρόπῳ εἶναι πλήθη χιόνων κατὰ τὴν Αἰθιοπίαν, καὶ αὖθις ἐλέγχεται τοῦ προλεχθέντος δοκιμωτάτως τὸ ἐξίτηλον. ἅπας γὰρ ποταμὸς ἀπὸ χιόνος τὴν περιουσίαν λαχὼν ὁμολογουμένως αὔρας ψυχρὰς ἀναδίδωσιν, ἀλλὰ καὶ τὸν ἀέρα παχύνειν πέφυκε· περὶ δὲ τὸν Νεῖλον τὸν ποταμὸν οὔτε νέφους ὑπόστασιν ἔστιν εὑρεῖν οὔτε αὔρας ψυχρὰς οὔτε παχυνομένην τοῦ ἀέρος τὴν φύσιν. Ἡρόδοτος δὲ τὸν Νεῖλον εἶναι μὲν τηλικοῦτόν φησιν ὁποῖός τις καὶ φαίνεται κατὰ τὴν πλήρωσιν, χειμῶνος δὲ ὥρᾳ τὸν ἥλιον κατὰ τὴν Λιβύην φερόμε-
P 188 νον ἐπισπᾶσθαι πρὸς ἑαυτὸν ὑγρᾶς οὐσίας συστήματα ἐκ τῶν Νειλῴων ὑδάτων, κἀντεῦθεν χειμῶνος ὥρᾳ ἥττονα γίνεσθαι τὸν ποταμόν· τοῦ δὲ θέρους ἐπιστάντος, καὶ πρὸς τοὺς ἄρκτους ποιουμένου τὴν βάδισιν, ἀναξηραίνειν καὶ ταπεινοῦν τοὺς περὶ τὴν Ἑλλάδα ποταμοὺς πεφυκότας· διὰ τοῦτο μὴ παράδοξον κα-

6. an θέσιν? 23. τὴν] τοῦ ἡλίου τὴν?

ait, omnes fluvii, qui contra flantibus Etesiis a mari repercutiuntur, similiter magnis auctibus excrescerent. Anaxagoras cognomento physicus solutis in Aethiopia nivibus Nilum attolli est opinatus; cui assentiens tragicus poeta Euripides id ipsum in poematis suis posuit. hanc igitur oppositionem non multa oppositione opus habere dicimus, quandoquidem vanam esse claret. nam propter fervores incredibiles in Aethiopia aquam in nivem densari non est ut possit fieri. prorsus enim in locis illis nec glacies nec frigus nec ulla hiems, et solstitio aestivo potissimum, cernitur. quodsi concedamus in Aethiopia nivem altam cadere, tamen quod ante de ea liquata asserebatur, rursum ut vanum ac frivolum probabilissime refellitur. omnis quippe fluvius aquis nivium solutarum accrescens, convenienter auras quoque frigidas expirat, quia et coelum crassum reddit. atqui circum Nilum neque nebulae alicuius concretionem neque auras gelidas neque aërem crassum reperias. Herodotus porro Nilum tantum esse scribit quantus cum plenus est apparet, hieme autem solem supra Libyam volventem ex undis Niloticis humentis substantiae copiam attrahere, atque inde per hiberna flumen parcius ire. aestate redeunte et ad arctos sole reverso, Graeciae flumina siccari et

θεστάναι τὴν περὶ τὰς θερινὰς τροπὰς τοῦ Αἰγυπτίου πλήρωσιν ποταμοῦ. ἀλλ' αἰδοῖ τῆς φιλομαθείας τοῦ ἀνδρὸς οὐ διεξοδικῶς κατηγοροῦμεν τοῦ σφάλματος. εἰ γὰρ ταῦτα σύμφωνα τοῖς ἀληθέσι καθίστατο, πάντως ἂν καὶ ἀπὸ τῶν ἄλλων κατὰ τὴν Λιβύην ποταμῶν ὁ ἥλιος ἀνελάμβανε καὶ ἀδελφὰ τῶν παθημάτων τοῦ Νείλου. ἀλλὰ μὴν τοιοῦτον οὐδὲν περὶ τοὺς Λίβυας ποταμοὺς ἔστι θεάσασθαι. οὐκοῦν ὁ συγγραφεὺς ἀποσχεδιάζει B τὸν λόγον. Δημόκριτος δὲ ὁ τῆς φύσεως ἀδελφὸς περὶ τὰς ἄρκτους ὥρᾳ χειμῶνος καταφέρεσθαι πολλὴν διαβεβαιοῦται χιόνα, θέρους δὲ ὑπόντος ὑπὸ τῆς αἰθάλης διαλύεσθαι ταύτην, ἔνθεν φησὶ γίνεσθαι τηκεδόνα πολλήν, καὶ διὰ τοῦτο τίκτεσθαι πολλὰ νέφη παχύτερα περὶ τοὺς μετεωροτέρους τῶν τόπων, δαψιλοῦς τῆς ἀναθυμιάσεως αἰρομένης πρὸς ὕψος. ταῦτα δὲ ὑπὸ τῶν ἐτησίων ἐλαύνεσθαι, μέχρις ἂν προσπέσῃ τοῖς μεγίστοις ὄρεσι τῶν περὶ τὴν οἰκουμένην· εἶναι δὲ ταῦτα περὶ τὴν Αἰθιοπίαν. ἔπειτά πως τοιούτοις οὖσιν ὑψηλοῖς βιαίως θραυόμενα παμμεγέθεις ὄγκους γεννᾶν, ἐξ ὧν πληροῦσθαι τὸν ποταμὸν κατισχυρίζεται περὶ τὰς τῶν ἐτησίων ἀνέμων πνοάς. ἀλλ' οὐ πιστευτέον C αὐτῷ· ὁ γὰρ Νεῖλος ἄρχεται μὲν πληροῦσθαι κατὰ τὰς τροπὰς ὡς ἔπος εἰπεῖν τὰς θερινάς, οὔπω τῶν ἐτησίων πνεόντων, λήγει δὲ ὕστερον ἰσημερίας φθινοπωρινῆς, πάλαι προπεπαυμένων τῶν εἰρημένων ἀνέμων. τὴν μὲν οὖν ἐπίνοιαν τοῦ Δημοκρίτου ἀποδεκτέον, τοῖς δὲ λόγοις αὐτοῦ οὐδαμῶς πιστευτέον. Ἔφορος δὲ

15. τῶν] τῆς IP. 22. μὲν συνεπίνοιαν IP.

immisuí. quapropter Aegyptii fluminis accretionem aestivo solstitio admirabilem videri non debere. verum nos amorem studiumque pervestigandi in hoc viro reveriti, errorem eius uberius non castigabimus. hoc tantum dicemus. si ista cum veritate consentirent, omnino sol idem caeteris Libyae fluminibus quod Nilo faceret. atqui nihil tale in illis observatur. non igitur historicus ille satis considerate locutus est. Democritus, alioqui naturae secretorum peritissimus, in septentrione per hiemem imbres nivales decidere asseverat, per aestatem aestu nivem illam ubertim colliquefieri ac dissipari. idcirco in locis sublimioribus multas nubes densiores generari, larga exspirationum vi eo sublata. hasce nubes ab Etesiis impelli, donec montibus omnium altissimis illidantur: eos autem montes esse in Aethiopia. post eorum excelsitate violenter diruptas largissimos imbres effundere, quibus Nilus (Etesiarum puta diebus) repleatur. sed huic habenda fides non est. Nilus enim, ut uno verbo dicam, crescere circa solstitium aestivum incipit, Etesiis nondum spirantibus: desinit aequinoctio autumnali, quando hi venti pridem posuerunt. laudanda, nullo autem modo credenda est haec Democritaea commentatio. Ephorus incredibilem plane rationem adducit.

ξένην αἰτίαν τινὰ περιίστησι. φησὶ δὴ τὴν Αἴγυπτον ἅπασαν
ποταμόχωστον εἶναι, ἀλλὰ μὴν καὶ ψυχράν, ἔτι δὲ καὶ κισση-
ρώδη τὴν φύσιν, ῥαγάδας τε καὶ μεγάλας καὶ διηνεκεῖς ἔχειν,
καὶ διὰ τούτων εἰς ἑαυτὴν ἀναλαμβάνειν πλῆθος ὑγρότητος, καὶ
D κατὰ μὲν τὴν χειμερίαν ὥραν τοῦτο συνέχειν ἐν ἑαυτῇ, θερινῶν
δὲ ἐπερχομένων τροπῶν ὥσπερ ἱδρῶτάς τινας ἐξ αὐτῆς πανταχό-
θεν ὑπεῖναι, καὶ διὰ τοῦτο πληροῦν τὸν ποταμόν. ὁ μὲν οὖν
Ἔφορος δῆλός ἐστι μὴ μόνον οὐ τεθεαμένος τὴν Αἴγυπτον, ἀλλὰ
μηδὲ παρὰ τῶν ἰδόντων τὰ κατὰ τὴν χώραν ταύτην ἐπιμελῶς πε-
πυσμένος. πρῶτον μὲν γάρ, εἴπερ ἐξ αὐτῆς τῆς Αἰγύπτου ὁ
Νεῖλος τὴν αὔξησιν ἀπελάμβανεν, οὐκ ἂν ἐν τοῖς ἀνωτέρω μέρε-
σιν ἐπληροῦτο, διὰ πετρώδους καὶ στερεᾶς χώρας φερόμενος·
νῦν δὲ πλείω τῶν ἑξακισχιλίων σταδίων διὰ τῆς Αἰθιοπίας διαρ-
ρέων ἔχει τὴν αὔξησιν πρὶν ἢ ψαύσῃ τῆς Αἰγύπτου. ἔπειτα εἰ
μὲν τὸ ῥεῦμα τοῦ Νείλου ταπεινότερον ἦν τῶν κατὰ τὴν ποταμό-
χωστον γῆν ἀραιωμάτων, ἐπιπολαίους ἂν εἶναι τὰς ῥαγάδας συνέ-
βαινε, καθ᾽ ἃς ἀδύνατον ἦν διαβαίνειν τοσοῦτον πλῆθος ὑδά-
P 189 των· εἰ δὲ ὑψηλότερον τόπον ἐπεῖχεν ὁ ποταμὸς τῶν ἀραιωμά-
των, ἀδύνατον ἦν ἐκ τῶν ταπεινοτέρων κοιλωμάτων εἰς τὴν ὑψη-
λοτέραν ἐπιφάνειαν τὴν τῶν ὑδάτων σύρρευσιν γίνεσθαι. καθό-
V 269 λου δὲ τίς ἂν δυνατὸν ἡγήσοιτο τοὺς ἐκ τῶν κατὰ τὴν γῆν ἀραιω-
μάτων ἱδρῶτας τοσαύτην αὔξησιν τῷ ποταμῷ εἰσποιεῖν, ὥστε
ὑπ᾽ αὐτοῦ σχεδὸν πᾶσαν τὴν Αἴγυπτον ἐπικλύζεσθαι; ἀφίημι

21. ἐκ τῶν] ἑαυτῶν IP.

Aegyptum totam fluminibus subterraneis refertam ac frigidam naturaque pumicosam seu fistulosam esse; rimas item magnas ac perpetuas habere, per quas in se copiam humoris recipiat, quam hiberno tempore contineat, aestivo autem solstitio ineunte veluti sudores quosdam ex omni parte emittat, atque ita Nilum flumen excrescere. caeterum non modo Aegyptum nunquam oculis obiisse Ephorum, sed neque ab iis, qui eam vidissent, res eius probe cognovisse certum est. primum enim, si ex ipsa Aegypto incrementum suum Nilus acciperet, non utique in partibus superioribus aquas ampliores volveret, ubi per petrosam ac solidam regionem fertur. nunc plus sex millibus stadiorum per Aethiopiam labens augmina sumit, priusquam Aegyptum attingat. ad haec, si quidem fluenta Nili terrae fluminibus perviae raritatibus sive rimis humiliora forent, contingeret rimas illas superficiarias esse, per quas tantam vim aquarum transire est impossibile. sin autem rimis ipsis altiora, rursum ex inferioribus cavitatibus in summum flumen aquae confluere minime possent. ad summam, quis fieri posse credat ut prorumpentes ex terrâs hiatibus sudores tanta flumini incrementa suppeditent, ut universae pene Aegypto innatet? ut nihil dicam de mendacio, subterlabi scilicet Aegypto

γὰρ καὶ τὸ ψεῦδος τῆς τε ποταμοχώστου γῆς καὶ τῶν ἐν τοῖς ἀραιώμασι τηκομένων ὑδάτων, ἐπιφανῶν ὄντων τῶν ἐν τούτοις ἐλέγχων. ὁ μὲν γὰρ Μαίανδρος ποταμὸς κατὰ τὴν Ἀσίαν πολλὴν χώραν πεποίηκε ποταμόχωστον· καίπερ τῶν συμβαινόντων B περὶ τὴν ἀναπλήρωσιν τοῦ Νείλου τὸ σύνολον οὐδὲν θεωρεῖς γινόμενον. ἀλλὰ καὶ περὶ τὴν Ἀκαρνανίαν ὁ καλούμενος Ἀχελῷος ποταμὸς περί τε τὴν Βοιωτίαν ὁ Κηφισὸς ἐκ τῶν Φωκέων οὐκ ὀλίγην χώραν προσέχωσαν, ἐφ' ὧν ἀμφοτέρων ἐλέγχεται φανερῶς τοῦ Ἐφόρου τὸ ψεῦδος. καὶ ταῦτα μὲν πρὸς τὸν Ἔφορον· τῶν δὲ ἐν Μέμφιδι φιλοσόφων τινὲς ἐπεχείρησαν αἰτίαν φέρειν τῆς πληρώσεως ταύτην. φασὶ διαιρεῖσθαι εἰς τρία τὴν γῆν, καὶ ἓν μὲν ὑπεῖναι τὸ κατὰ τὴν ἡμετέραν οἰκουμένην (δέον γὰρ οὕτως εἰπεῖν), ἕτερον δὲ τὸ τούτοις τοῖς τόποις ἀντιπεπονθὸς ταῖς ὥραις, τὸ δὲ τρίτον μεταξὺ κεῖσθαι τούτων, ὑπάρχειν δὲ καὶ διὰ καῦμα λίαν ἀοίκητον. εἰ μὲν οὖν ὁ Νεῖλος ἐποιεῖτο τὰς ἀνα- C βάσεις κατὰ τὸν τοῦ χειμῶνος καιρόν, δῆλον ὑπῆρχεν ὡς ἐπὶ τῆς καθ' ἡμᾶς ζώνης λαμβάνει τὴν σύρρευσιν, διὰ τὸ περὶ τούτους τοὺς καιροὺς μάλιστα γίνεσθαι παρ' ἡμῖν τὰς ἐπομβρίας. ἐπεὶ τοὐναντίον περὶ τὸ θέρος πληροῦται, πιθανὸν εἶναι κατὰ τοὺς ἀντικειμένους τόπους γεννᾶσθαι τοὺς χειμῶνας, καὶ τὸ πλεονάζον τῶν κατ' ἐκείνους τοὺς τόπους ὑδάτων εἰς τὴν καθ' ἡμᾶς γίνεσθαι οἰκουμένην. διὸ καὶ πρὸς τὰς πηγὰς τοῦ Νείλου μηδένα δύνασθαι παρελθεῖν, ὡς ἂν ἐκ τῆς ἐναντίας ζώνης διὰ

4. καίπερ] καὶ περὶ IP.

flumina et in cavis terrae liquentes aquas existere, cum ipsa harum assertionum falsitas manifesta sit. nam Maeander Asiae fluvius per multa spatia sub terra manat, nec tamen in suscipiendis auctibus quidquam omnino ei tale quale Nilo evenire cernitur. quin etiam Acarnaniae fluvius Achelous et Boeotiae Cephisus, e Phocide oriundus, non modicum terrarum subterlabuntur; qui ambo Ephorum apertae vanitatis convincunt. et haec quidem adversus Ephorum. Memphitici quidam philosophi incrementi huius istam causam afferre ausi sunt. tellurem in tres partes dividi. unam esse nostrum orbem (sic enim appellare oportet), alteram, quae his locis tempestatibus anni non respondet, tertiam inter has locatam et ob immensos calores prorsus inhabitabilem. quare si Nilus hieme augesceret, certum esset eum in nostra zona confluxum aquarum recipere, cum per hoc tempus maxime apud nos pluviae cadant. quoniam autem contra fit et aestate ascendit, probabile apparere in locis nobis e regione oppositis hiemes nasci, et redundantiam illic aquarum in orbem nostrum deferri. atque ideo ad Nili fontes neminem posse pervenire, quia a zona vestigiis nostris contraria per inhabitatam seu torri-

τῆς ἀοικήτου φερομένου τοῦ ποταμοῦ. μαρτυρεῖν δὲ τούτοις
D καὶ τὴν ὑπερβολὴν τῆς γλυκύτητος τοῦ κατὰ τὸν Νεῖλον ὕδατος· διὰ γὰρ τῆς κεκαυμένης αὐτὸν ῥέοντά φασι λίαν καθέψεσθαι καὶ διὰ τοῦτο γλυκύτατον εἶναι πάντων τῶν ποταμῶν, ἅτε δὴ φύσει τοῦ πυρώδους ἅπαν τὸ ὑγρὸν καταγλυκαίνοντος. ἡμεῖς δὲ καὶ πρὸς τοῦτο λέξομεν. ἀδύνατον γὰρ εἶναί φαμεν ποταμὸν ἐκ τῆς ἀντικειμένης οἰκουμένης εἰς τὴν ἡμετέραν ἀναφέρεσθαι γῆν, καὶ μάλιστα εἴ τις ὑπόθειτο σφαιροειδῆ τὴν γῆν πεφυκέναι. πῶς γὰρ μόνος ὁ Νεῖλος ἐξ ἐκείνης φέρεται τῆς οἰκουμένης πρὸς τοὺς τόπους τοὺς καθ᾽ ἡμᾶς; εἰκὸς γὰρ εἶναι καὶ ἑτέρους ἐκεῖ ποταμούς, καθάπερ καὶ παρ᾽ ἡμῖν. ἀλλὰ καὶ ἡ περὶ τῆς τοῦ ποταμοῦ τούτου γλυκύτητος αἰτία παντελῶς ἄλογος καὶ ἀναπόδεικτος πάντῃ καθέστηκεν. εἰ γὰρ καθεψόμενος ὑπὸ τῶν καυμάτων ὁ ποταμὸς ἐγλυκαίνετο, πολύγονος οὐκ ἂν ὑπῆρχέ ποτε, οὐδὲ ποι-
P 190 κίλας ἰχθύων καὶ θηρίων ἰδέας ἐκέκτητο· πᾶν γὰρ ὕδωρ ἀπὸ τῆς πυρώδους οὐσίας ἀλλοιωθὲν ἀλλότριόν ἐστι ζωογονίας. διόπερ τῇ παρεισαγομένῃ καθεψήσει τῆς φύσεως τοῦ Νείλου παντάπασιν ἐναντιουμένης, ψευδεῖς τὰς εἰρημένας αἰτίας τῆς πληρώσεως ἡγητέον. Οἰνοπίδης δὲ ταῦτά φησι, κατὰ μὲν τὴν θερινὴν ὥραν τὰ ὕδατα τὰ κατὰ τὴν γῆν εἶναι ψυχρά, τοῦ δὲ χειμῶνος ἐναντίως θερμά. καὶ τοῦτο δῆλον ἐκ τῆς τῶν βαθέων φρεάτων κατανοήσεως· κατὰ γὰρ τὴν τοῦ χειμῶνος ἀκμὴν θερμὰ τὰ ἐν τοῖς βαθυτάτοις φρέασιν εὑρίσκεται ὕδατα, θέρους δὲ ὑπόντος τοὐναντίον. διὸ καὶ τὸν Νεῖλον εὐλόγως κατὰ μὲν τὸν χειμῶνα μι-

2. καὶ] κατὰ IP.

dum ambulet. hoc ipsum testari mirificam illius aquae dulcedinem: cum enim per loca solibus usta labatur, vehementer ipsum decoqui, et hac de causa omnium fluviorum esse dulcissimum, quandoquidem natura ignea totam vim humoris dulcem reddat. sed nos hanc quoque sententiam confutabimus. statuimus enim nequaquam posse flumen aliquod ab Antipodibus in nostrum hunc orbem ascendere ac sursum ferri, praecipue si quis ponat terram globosam esse. cedo, quo pacto Nilus tantummodo ex illo orbe in nostras hasce regiones profluit? est enim verisimile et alia ibidem, sicut apud nos, extare flumina. iam vero causa quoque dulcedinis huius fluvii omnimodis ratione caret, nec aliqua probatione firmari potest. si namque ardoribus illis decoctus dulcesceret, nunquam adeo fecundus esset, neque varia piscium et belluarum genera haberet. omnis enim aqua per naturam igneam immutata animantibus producendis inepta est. quocirca cum natura Nili introductae decoctioni penitus adversetur, assertas incrementi causas a vero abhorrere putandum est. Oenopides ait aestate aquas terrae frigidas, hieme tepidas esse, id quod ex profundis puteis animadvertitur: nam hieme summa ex puteis altissimis tepidae, aestate gelidae hauriuntur. hinc et Nilum merito per hie-

χρὸν εἶναι καὶ συστέλλεσθαι διὰ τὸ τὴν μὲν κατὰ γῆν θερμασίαν B
τὸ πολὺ τῆς ὑγρᾶς οὐσίας ἀναλίσκειν, ὄμβρους δὲ κατὰ τὴν Αἴγυπτον μὴ γίνεσθαι, κατὰ δὲ τὸ θέρος μηκέτι τῆς κατὰ τὴν γῆν ἀπαναλώσεως γινομένης ἐν τοῖς κατὰ βάθος τόποις πληροῦσθαι τὴν κατὰ φύσιν αὐτοῦ ῥύμην ἀνεμποδίστως. ἀλλὰ καὶ πρὸς τοῦτο ῥητέον. πολλοὶ ποταμοὶ τῶν κατὰ τὴν Λιβύην ὁμοίως ἐγκείμενοι τοῖς στόμασι, παραπλησίως δὲ τὰς ῥύσεις ποιούμενοι, οὐκ ἔχουσι τὴν ἀνάβασιν τῷ Νείλῳ ἀνάλογον· τοὐναντίον γὰρ ἐν μὲν τῷ χειμῶνι πληρούμενοι, ἐν δὲ τῷ θέρει λήγοντες ἐλέγχουσι τοῦ Οἰνωπίδου τὸ ψεῦδος. Ἀγαθαρχίδης δὲ ὁ Γνίδιος μόνος τοῦ κρασπέδου τῆς ἀληθείας κεκράτηκεν. ἔφησε γὰρ ἀν' ἔτος ἕκαστον ἐν τοῖς κατὰ τὴν Αἰθιοπίαν μεγάλους καὶ συνεχεῖς γίνεσθαι C
ὄμβρους ἀπὸ θερινῶν τροπῶν μέχρι τῆς ἰσημερίας τῆς ἐν μετο- V 270
πώρῳ γινομένης καθ' ἕκαστα. εὐλόγως οὖν τὸν Νεῖλον ἐν μὲν τῷ χειμῶνι συστέλλεσθαι κατὰ φύσιν, ἔχοντα ῥύσιν ἀπὸ μόνων τῶν πηγῶν τῶν ἑαυτοῦ, κατὰ δὲ τὸ θέρος διὰ τοὺς ἐκχεομένους ὄμβρους λαμβάνειν τὴν αὔξησιν. μαρτύριον δὲ τοῖς ὑπ' αὐτοῦ λεγομένοις καὶ τὸ γινόμενον περί τινας τόπους τῆς Ἀσίας προφέρεται. πρὸς μὲν γὰρ τοῖς τόποις τοῖς Σκυθίας τῆς πρὸς τὸν Καύκασον παρακεχωρηκότας χρόνον καθ' ἕκαστον ἔτος γίνεσθαι νιφετοὺς ἐξαισίους, καὶ τοῦτο συνεχῶς ἐπὶ πλείστας ἡμέρας· ἐν δὲ τοῖς πρὸς βορρᾶν ἀπεστραμμένοις μέρεσι τῆς Ἰνδικῆς ὡρισμέ- D
νοις καιροῖς καὶ χάλαζαν καταφέρεσθαι τῷ μεγέθει καὶ τῷ πλήθει μεγάλην. ἀλλὰ καὶ περὶ τῶν ποταμῶν τῶν ὑδάτων ἀρχομένου

7. ἐγκείμενοι] nonne μὲν κείμενοι? 10. Ἀναρχίδης IP.

mem decrescere et contrahi, quod calor terrae humoris copiam absumat; imbribus autem Aegyptum non irrigari: aestate cum ista absumptio in terrae visceribus nulla sit, ab imis locis naturalem eius fluxum crescentibus undis nullo impedimento augeri. nec istuc non refellendum est. complura Libyae flumina similiter currentia et undas suas per ostia in mare aeque evomentia non habent incrementa huiusmodi: quinimo cum hieme plenissimis sint alveis, aestate plurimum subsidant, Oenopiden mentiri demonstrant. Agatharchides Gnidius prae omnibus veritatis quasi laciniam apprehendit. docet enim in annos singulos continuos imbres a solstitio aestivo usque ad aequinoctium autumnale in Aethiopia coelo copiose demitti. non sine ratione igitur Nilum per hiemem natura contractius et a fontibus suis duntaxat, per aestatem vero propter praecipitatos in ipsum imbres abundantius fluere. eius dictis fidem astruit, quod in Asiae locis quibusdam accidere fertur. nam alicubi in Scythia ad Caucasum quotannis, cum id tempus postulat, densissime, idque diebus plurimis ningere; et in regionibus Indiae ad Aquilonem certis temporibus grandinem magnitudine et copia ingentem ruere. sed et quod ad fluviorum incrementa attinet, ineunte aestate continenter pluere (in

θέρους ὄμβρους γίνεσθαι συνεχεῖς (κατὰ δὲ τὴν Αἰθιοπίαν μεθ' ἡμέρας τινὰς τοῦτο συμβαίνει) καὶ ταύτην τὴν ὑπόστασιν κυκλουμένην ἀεὶ τοὺς συνεχεῖς τόπους χειμάζειν. οὐδὲν οὖν εἶναι παράδοξον καὶ κατὰ τὴν Αἰθιοπίαν τὴν οἰκουμένην ὑπὲρ Αἴγυπτον συνεχεῖς ἐν τοῖς ὄρεσι καταρράττοντας ὄμβρους ἐν τῷ θέρει πληροῦν τὸν ποταμόν, ἄλλως τε καὶ τῆς ἐναργείας αὐτῆς μαρτυρούσης ὑπὸ τῶν περὶ τοὺς τόπους οἰκούντων βαρβάρων. εἰ δὲ τοῖς παρ' ἡμῖν γινομένοις ἐναντίαν ἔχει τὰ λεγόμενα φύσιν, οὐ διὰ τοῦτο ἀπιστητέον· καὶ γὰρ τὸν νότον παρ' ἡμῖν μὲν εἶναι χειμέριον, περὶ δὲ τὴν Αἰθιοπίαν αἴθριον ὑπάρχειν, καὶ τὰς
P 191 βορείους πνοὰς περὶ μὲν τὴν Εὐρώπην εὐτόνους εἶναι, κατ' ἐκείνην δὲ τὴν χώραν βληχρὰς καὶ ἀτόνους καὶ παντελῶς ἀσθενεῖς, καὶ τοῦ ἡλίου πρὸς τὸν βόρειον ἀποκλίνοντος πόλον συμβαίνει τοὺς ὄμβρους τῷ παρ' ἡμῖν θέρει τῇ Αἰθιοπίᾳ προσγίνεσθαι, καὶ ἐντεῦθεν λαμβάνειν τὸν Νεῖλον τὴν αὔξησιν, καὶ ἔμπαλιν πρὸς τὸν νότιον ἀναζεύξαντος πόλον πρὸς συστολὴν τὸν Νεῖλον ὁρᾶν.

B Περὶ μὲν οὖν τῆς πληρώσεως τοῦ ποταμοῦ ἐπὶ τοσοῦτον, ἵνα μὴ τὸν σκοπὸν τῆς ἱστορίας νοθεύσωμεν· ἤδη δὲ ὑπενήγκαι ἀκόλουθα τῶν ἀφηγημάτων νύττειν τὸν λόγον. ἐπαναζεύξας τοίνυν ἐκ τῆς Ἀλεξανδρείας ὁ Μηνᾶς ἔγραψε Μαυρικίῳ τῷ αὐτοκράτορι ὅπως ἡ ἐπιφάνεια τῶν ἀνθρωπομόρφων καὶ Νειλῴων ἐγένετο. ὁ δὲ αὐτοκράτωρ τούτων ἀκηκοὼς λίαν τὴν ψυχὴν κατεπέπληκτο.

6. ἐνεργείας IP.

Aethiopia autem intervallo dierum id contingit), et hanc humidam tempestatem semper in orbem actam cohaerentia loca hieme infestare. non itaque novum quiddam et inopinatum esse, etiam in Aethiopia supra Aegyptum assiduo praecipitantes aestivo tempore imbres fluvium Nilum complere, praesertim cum et barbari circum loca illa habitantes id evidenter experiantur testenturque. quodsi apud nos aliter eveniat, non idcirco dictis detrahendam fidem: nam Austrum apud nos esse hibernum, apud Aethiopas serenum; et spiramina borealia in Europa esse valida ac robusta, in illa regione debilia et imbecilla et languida penitus; et sole ad polum borealem recedente, contingit imbres nostra aestate in Aethiopia cadere, indeque Nilum excrescere, rursus eodem ad austrinum remeante eundem decrescere.

De incremento igitur fluvii huius hactenus, ne a proposito historiae scopo nimium deflectamus. nunc ad eorum quae sequuntur narrationem incitanda est oratio. reversus igitur Alexandriam Menas de monstris humana figura a se in Nilo visis ad Mauricium imperatorem scripsit, quibus ille auditis maiorem in modum obstupuit.

ΘΕΟΦΥΛΑΚΤΟΥ
ΙΣΤΟΡΙΩΝ
ΛΟΓΟΣ Η'.

THEOPHYLACTI
HISTORIARUM
LIBER VIII.

PONTANI ARGUMENTUM.

(1) *Saraceni Romanorum socii Persidem incursantes Babyloniorum fines depraedantur: ob id Chosroes de foedere solvendo cogitat. Mauricii ad eum legatus inhumaniter habetur adituque regis diu excluditur. admissus tandem Chosroen ad pacem reducit, eumque de praeteritis docet. eiusdem legati impudens ambitio imperatorem graviter offendit. Comentiolus proditionis postulatus, et incisa accusatione dux denuo constitutus, ad Istrum abit, seque cum Prisco apud Singidonem consociat.* (2) *pax inter Romanos et Abares imperatoris iussu imminuitur. Comentiolus Viminacii aegrotat. Chaganus fines Romanorum vastat; quo mandante, Istri transitus a quatuor eius filiis custoditur. in ripa certamine edito barbari vincuntur. Comentioli absentia excusatur. barbari vallum Romanorum oppugnant. nuntius ad duces de periculo. adest Priscus. Viminacium reducuntur rates. confligitur, occisisque Romanorum trecentis oppetunt barbarorum quatuor millia.* (3) *alterum praelium cum Abaris. prudentia Prisci delentur novem millia. tertio praelio de superiore loco pugnantes Romani adversarios in lacum seu stagnum compellunt, ubi cum Chagani filiis plerique summerguntur. periere ad quindecim millia. quarto praelio ad Tissum seu Tyrsum flumen iterum non pauci occumbunt. fluvio traiecto Romani exploratores quater mille occidunt, Gepidarum triginta millia; et cum captivis ad Priscum redeunt. quinto praelio complures barbari aquis praefocantur, multa millia capiuntur.* (4) *captivi Chagano petenti imperatoria auctoritate restituuntur. Comentiolus e morbo recreatur. Byzantium ad hiberna profecturus ducem viae Traiani apud Nobenses quaerit. quibus dare abnuentibus irascitur, duosque capite multat. monetur*

de sene quodam huius viae gnaro, quicum verba commutat et litigat. magnitudine frigorum Romani multi et iumenta eo itinere pereunt. Philippopoli hiemat. Petrus iterum dux declaratur. Theodosius Mauricii filius Germani filiam ducit. tumultus in imperatorem ob caritatem rei frumentariae. maledicta in eundem, et lapidatio. clavis audaces deterrentur. Theodosium generum Germanus chlamyde sua tegit. (5) *de templo Virginis Mariae in Blachernis. auctores seditionis exilio damnati altero die revocantur. Petrus ad Istrum ducens Plastoli aestatem habet; deinde in angulum Dardaniae secedit. cum Apsycho hypostratego barbarorum colloquitur. utraeque copiae recedunt. Chagani astus. imperator Petro trans Istrum profectionem mandat. Petrus a Bonoso illustri satellite imperatoris naviculas flumini traiiciendo petit, et Gundoim militibus praeficit. is multos hostium perimit, Romanosque in provinciam redire non patitur. Artos Romanorum socios Chaganus delere cogitat.* (6) *a Chagano quidam deficiunt, ad quos reducendos varios ille modos investigat. quare Romani ultra Istrum hibernare noluerint. seditio. fluvium transmeant, et irascuntur gravissime. irascitur vicissim Petrus. eidem per quietem oblata epistola. castra movent Romani. tumultus militaris. legati militum ad Petrum de reditu; cui molestus est imperator.* (7) *Petrus Gundoi de mandati severitate ex avaritia profecta flens conqueritur. duces convocat, litteras exhibet. miles transire Istrum abnuit. furor militum, fuga ducum. Phocas imperator renunciatur. Petrus fugit: Mauricio rem significat. Mauricius nuntium examinat: quid agat nescit; dolore dissimulato ludos equestres celebrare pergit. populum bonum habere animum iubet. Venetorum acclamationes. tribuni numerum utriusque factionis profitentur. earum factionum vituperatio.* (8) *legatio Mauricii ad Phocam irrita. moenibus Theodosianis custodes apponit. exercitus ad Theodosium Mauricii filium legatio, aut ipsum aut eo cedente Germanum imperatorem postulantis. Comentiolo urbis defensio creditur. Germanus imperatori invadendae tyrannidis suspectus frustra se tuetur: in aedem deiparae pro asylo confugit. eius conditor Cyrus qualis fuerit. Stephanus paedagogus filiorum imperatoris ad eum evocandum mittitur. in Sophiae templum transit. Theodosius, ut ob secretum patefactum, fustibus pulsatur.* (9) *Germanus denuo ad exeundum sollicitatus Andreae pii viri hortatu eodem recurrit. maledicentia populi in imperatorem muris desertis custodes se ad tumultuantem populum applicant. cuiusdam Constantini, viri clarissimi, domus inceditur. Mauricius cum coniuge et liberis in fugam se tradit. populi in eum et patriarcham convicia. locus communis de levitate et stultitia populari. podagra conflictatur. filium ad Chosroen pro ope imploranda mittit. Germanus imperium ambit. Prasinis sibi adversantibus Phocam sequitur.* (10) *Phocae linguis animisque favetur. populum cum patriarcha et senatu accersit. detestatio illius ut hominis improbissimi. eius simulatio in Germanum. proclamatus imperator coronatur. in urbem magnifice invehitur. spargit aurum. ludi fiunt equestres. uxori Leontiae corona imponitur. de loco stationis inter factiones contenditur. Alexander, homo nefarius, ad litem componendam mittitur. in Cosmam tribunum est contumeliosus ac violentus. eum Veneti ulciscuntur; quorum vox male evenit.* (11) *Mauricii necem parturit Phocas. revocatur ex itinere a patre Theodosius. Mauricii filiorumque in portu Eutropii ad Chalcedonem interfectio. eius ante mortem praeclarissima vox et Christiano dignissima. nutricem ipsius infantem pro suo ad caedem supponere non fert. eius pro poena peccatis suis in hac vita irroganda cura anxia. testamentum, quo imperium inter filios partitur. Domitianus Melitenensis episcopus, eorundem tutor, ab historico commendatur.* (12) *imperatorum corpora in mare abiiciuntur. quas complorationes eorum mors publice recitata effecerit. in eosdem monodia historici. capita*

ad Phocam perferuntur et in campo militibus spectanda proponuntur. quibus suppliciis interfectores et exercitus rebellis caediumque suffragator divinitus interierint. sub Heraclio duo tantum reliqui. imperium Romanum in diuturnis post necem Mauricii aerumnis volutatum. (13) *Phocas Petrum Mauricii fratrem, Comentiolum et alios interimit. Theodosius et Lardys ab Alexandro tyranni iussu trucidantur. narratio falsa de Theodosio, quo pacto creditus sit necem effugisse et diversa loca peragrasse. statuae Alexandriae Mauricii caedem nuntiarunt. die nono super cadem nuntius in urbem allatus. egregia quaedam Mauricii praeconia.* (14) *de corpore S. Euphemiae martyris Chalcedone miraculum, sudor videlicet sanguineus in die anniversario eius martyrii, qui spongiis collectus in vasculis populo dispertitur. quo pacto Mauricius incredulus fidem cum multis lacrimis habuerit, et summa in posterum veneratione martyrem prosecutus sit.* (15) *Constantinam imperatricem cum tribus filiabus in privatas aedes contrudit Phocas; Chosroen de sua creatione, additis muneribus certiorem facit. apud Daram legatus Lilius a Germano praesidii praefecto splendide excipitur, et quid ibi contigerit. Chosroes Mauricii ulciscendi bellum Romanis infert. Lilius in Perside retentus parum benevole tractatur. rumor de Theodosio adhuc vivo tyrannum terret; unde Alexandrum, ut imperata non executum, sua manu obtruncat.*

---

1. Κατὰ τούτους δῆτα τοὺς χρόνους Χοσρόης ὁ Περσῶν βασιλεὺς ἐνεχείρει τὴν εἰρήνην λυμήνασθαι. αἰτία δὲ αὕτη πως τῷ βαρβάρῳ οὖσα ἐτύγχανεν. ἔθνη περὶ τὴν Ἀραβίαν πολλά τε καὶ διάφορα πέφυκε· τούτους Σαρακηνοὺς ἔθος τοῖς ὄχλοις ἀποκαλεῖν. ἐκ τούτων δὲ τῶν ἐθνῶν ἔνιά τινα τοῖς Ῥωμαίοις σύμμαχα ἦν, καί τις ἐκ τούτων ἀποδασμὸς εἰς τὴν Περσίδα χωρήσας κατὰ τὸν τῆς εἰρήνης καιρὸν τῇ ἐπεκδρομῇ μέρη τινὰ τῆς Βαβυλωνίας προενομεύσατο. ἔνθεν διαπονεῖσθαι ὁ Χοσρόης ἠξίου. διὰ τοῦτο ὁ αὐτοκράτωρ Μαυρίκιος εἰς τὴν Περσίδα ἐξέπεμψε πρέσβυν Γεώργιον, ὃς τῆς τῶν ἑῴων πόλεων φορολογίας τὴν ἐπιστασίαν ἐκέκτητο· τοῦτον πραιτορίου ἔπαρχον ἀποκαλοῦσι Ῥωμαῖοι. ὁ μὲν οὖν Χοσρόης δεινοπαθῶν ἐπὶ τοῖς γεγονόσι παρελύπει τὸν πρέσβυν, καὶ πολλὴν τὴν τριβὴν αὐτῷ περὶ τὴν

P 197 V 274 B

1. Eodem tempore Chosroes Persarum rex pacem turbare aggressus est ob causam huiuscemodi. in Arabia multae variaeque gentes sunt, vulgo Saraceni appellati. ex his nonnullae societatem cum Romanis pepigerant, quarum pars pace incolumi in Persidem irruens Babyloniorum agros praedabunda pervaserat, et id sibi minime tolerandum Chosroes censuerat. Mauricius idcirco legatum in Persidem mittit, Georgium Orientalium tributorum coactorem, quem Romani praefectum praetorio nominant. Chosroes indigna se passum dictitans, legatum parum amice tractavit, et in regione barbara diu retinuit, nec unquam in conspectum

βάρβαρον χώραν ἐπραγματεύετο. σκληραγωγεῖται οὖν ὁ Γεώρ-
γιος ἡμέρας εἰς τὴν Περσίδα πολλάς, τῆς βασιλικῆς εἰσόδου μη-
δαμῶς τετευχώς. ἔτι τοίνυν τῶν πραγμάτων στασιαζομένων
Χοσρόῃ, εἰκότως τῷ βαρβάρῳ ὑπόνοια γίνεται μὴ ἄρασθαι τέως
πρὸς Ῥωμαίους τὸν πόλεμον. εἰσδέχεται τοίνυν τὸν Γεώργιον
ὁ Βαβυλώνιος βασιλεὺς εἰς τὰ βασίλεια. ὁ μὲν οὖν Γεώργιος
τὴν τοῦ καιροῦ κτησάμενος σύμμαχον, πείθει τὸν βάρβαρον
C τὰς εἰρηναίας μὴ διαλῦσαι σπονδάς. οὕτω μὲν οὖν ἑκὼν ἀέκον-
τί γε θυμῷ, κατὰ τὴν ποίησιν, ὁ Χοσρόης τὴν ἡσυχίαν ἀσπά-
ζεται. ὁ μὲν οὖν πρέσβυς ἅπαντα τὰ συγκυρήσαντα διεξοδικῶς
τῷ βασιλεῖ διηγήσατο. ἀλλ' οὐκ ἐς ἀγαθὸν ἡ τῆς ἐντεύξεως ἔκ-
θεσις ἀπειλήφει τὸ συμπέρασμα. ἔφασαν γὰρ Γεώργιον εἰπεῖν
πρὸς τὸν αὐτοκράτορα "ὁ Περσῶν βασιλεὺς τῶν σατραπῶν εἰς
ὑπήκοον τάδε διείλεκται. διὰ τὴν τοῦ πρέσβεως ἀρετὴν δίδωμι
τῷ πολέμῳ τὴν λύσιν." τούτων ὁ βασιλεὺς ἀκηκοὼς χαλεπαίνει
κατὰ τοῦ πρέσβεως, καὶ γίνεται τῷ Γεωργίῳ σφαλερὰ ἡ τῆς
D πρεσβείας ἐπίτευξις· τῷ ὄντι γὰρ οἶδε λόγος μὴ μέτροις οἰκονο-
μούμενος μεγάλας συμφορὰς τοῖς χρησαμένοις παρέχεσθαι.

Ὁπηνίκα δὲ ὁ Χαγᾶνος (ἐπαναδραμώμεθα γὰρ πρὸς τὰ
κατὰ τὴν Εὐρώπην πραχθέντα) διεπεραιώθη τὸν Ἴστρον, οἴκαδε
διὰ τὴν εἰρήνην ἀποφοιτῶν, ἀποστέλλουσι πρέσβεις αἱ περὶ τὴν
Θρᾴκην τῶν Ῥωμαίων δυνάμεις πρὸς Μαυρίκιον τὸν αὐτοκρά-
τορα, προδοσίαν καταιτιώμεναι Κομεντιόλου τοῦ στρατηγοῦ.
τῆς στάσεως τοίνυν εἰς τὸ βασίλειον ἄστυ ἰσχυρᾶς γεγονυίας, δί-
δωσιν ὁ αὐτοκράτωρ Κομεντιόλῳ καὶ τοῖς πρέσβεσι διαιτητάς.
P 198 καὶ δῆτα γενομένης τῆς συγκροτήσεως τῆς δίκης, καὶ τοῦ βασι-

suum admisit. caeterum in illis rerum fluctibus non esse arma adversus Romanos capienda recte ratiocinans, Georgium in regiam venire sinit, qui oblata opportunitate usus, regi auctor est uti pacem salvam integramque conservet. ita Chosroes animo nolente volente, ut est apud poetam, quietem pacemque complectitur. legatus eum omnia quae contigissent fuse docet. verum illud colloquium haud feliciter evenit. ferunt enim postea Georgium apud imperatorem gloriatum, Persarum regem satrapis suis confessum esse se ob legati virtutem bello supersedere. qua oratione imperator succensuit, magnumque Georgius ex obita legatione periculum adivit. sic enim comparatum est, ut, nisi cum modo et ratione adhibitus sermo, incautis hominibus immodice noceat.

Postquam vero Chaganus (ad res enim Europaeas regrediendum est) pace facta domum abjens Istrum transmisit, Romanus exercitus in Thracia oratores ad Mauricium imperatorem mittit et Comentiolum ducem proditionis accusat. itaque gravi seditione Cpoli concitata, imperator

λέως ἐκλιπαροῦντος τοὺς πρέσβεις, λαμβάνει ἡ κατηγορία τὴν ἐγκοπήν, καὶ αὖθις ὁ Κομεντίολος γίνεται στρατηγός. θέρους δὲ ἐπιόντος ἔξω τῆς πόλεως γίνεται, καὶ τῶν Ῥωμαίων περὶ τῆς λύπης διαλυσαμένων τῷ στρατηγῷ, τὸ ὁπλιτικὸν ὁ Κομεντίολος ἀθροίζει, καὶ ἐπὶ τὸν Ἴστρον γίνεται ποταμόν, καὶ ἐν τῇ Σιγγιδόνι συνανακοινοῦται τῷ Πρίσκῳ. (2) τετάρτῃ δὲ ἡμέρᾳ B V 275 *ἐκκλησιάζονται τὰ στρατόπεδα, καὶ δημηγορήσαντος Πρίσκου περισχίζεται ἡ πρὸς Ἀβάρους καὶ Ῥωμαίους εἰρήνη· ὁ γὰρ αὐτοκράτωρ Μαυρίκιος τοῖς στρατηγοῖς παρασπονδῆσαι διὰ βασιλικοῦ προστάγματος ἐγκελεύεται. ἐς τὸ φανερὸν τοίνυν τῆς εἰρήνης διαλυθείσης, οἱ Ῥωμαῖοι πρὸς τὸ Βιμινάκιον γίνονται· αὕτη δὲ νῆσος καθέστηκε περὶ τὰ ῥεῖθρα τοῦ Ἴστρου. ἐν ταύτῃ τῇ νήσῳ ὁ Κομεντίολος ἔδοξε νοσηλεύεσθαι. τῶν δὲ Ῥωμαίων ἀπὸ τῆς νήσου διαπεραιουμένων ἐπὶ τὴν ἤπειρον, ἀκηκόει ὁ Χαγᾶνος τὰ τοῦ Ῥωμαϊκοῦ στρατοπέδου κινήματα. ὁ μὲν οὖν βάρβαρος συναθροίσας δυνάμεις τὴν Ῥωμαίων διατέμνεται γῆν, τοῖς δὲ* C *παισὶ τέσσαρσιν ὑποῦσιν αὐτῷ παρεδίδου δυνάμεις, καὶ παρενεγγύα τὰς διαβάσεις τοῦ Ἴστρου περιφρουρεῖν. οἱ μὲν οὖν παῖδες τοῦ βαρβάρου τὰς διαβάσεις τοῦ Ἴστρου περιφρουρεῖν κατὰ τὸ προσταχθὲν ἐνεχείρουν, οἱ δὲ Ῥωμαῖοι τὰς λεγομένας σχεδίας συρράψαντες ὁμοθυμαδὸν τὸν ποταμὸν διενήξαντο. περὶ τὰς ὄχθας τοίνυν τοῦ ποταμοῦ γεγονυίας τῆς μάχης κρατοῦσι Ῥωμαῖοι τῶν ἀντιθέτων δυνάμεων. ὁ δὲ Κομεντίολος ἅμα τῷ Πρίσκῳ εἰς τὸ Βιμινάκιον τὰς διατριβὰς ἐποιεῖτο. ἦν δὲ αὐτῷ* D *ἡ ἀναβολὴ τοῦ μὴ ἐθέλειν συμπλέκεσθαι ἀπίθανος οὐδαμῶς· μαχαίρᾳ γὰρ ἰατρῶν τὰς ἐπὶ τῆς χειρὸς φλέβας ἀποτμηθείς, ἐπὶ*

dat arbitros, constitutoque iudicio legatos impensius orat et exorat. ita accusatio inhibetur, et Comentiolus de integro dux deligitur. ubi aestas affuit, ex urbe discedit, Romanisque secum in gratiam reversis, et delectibus habitis, ad Istrum contendit, ac Singidone cum Prisco se coniungit. (2) quarto die in concionem coacto exercitu, et Prisco verba faciente, pax inter Romanos et Abares dissuitur; quod ut facerent, Mauricius imperiali mandato ducibus praeceperat. manifeste igitur pace irrita Romani Viminacium (insula est in Istro flumine) deferuntur, ubi Comentiolus graviter se habere visus est. inde in continentem traiiciunt. quibus motibus auditis, Chaganus collecto milite satis et arboribus Romanorum exitium infert, et quatuor filiis copias attribuit, quibus transitum Istri custodiant, quod illi ut iussi erant facere instituunt. Romani navibus extemporaneis sive ratibus consensu flumen transeunt, praelioque in ripa conserto superiores abeunt. Comentiolus cum Prisco Viminacii haerebat. nam cui ei e brachio sanguis esset missus, honesto plane timore et probabili de causa a pede cum hostibus conferendo ipse

αἵματος ἐκροῇ εὐφήμως πως διὰ τὴν δειλίαν ἀπόμαχος ἦν. διαπορθμευθέντων τοίνυν τῶν Ῥωμαίων τὸν Ἴστρον καὶ συστησαμένων τὸν χάρακα, οὐ κατελίμπανε τὴν νῆσον ὁ Πρίσκος· οὐκ ἤθελε γὰρ τοῦ Κομεντιόλου ἐκτὸς ποιήσασθαι τὴν παράταξιν. οἱ δὲ βάρβαροι ἀστρατήγου τῆς Ῥωμαίων ὑπαρχούσης δυνάμεως πρὸς τὸν χάρακα τούτων ἐκτρέχουσιν. οἱ δὲ Ῥωμαῖοι ἀγγέλους εἰς τὸ Βιμινάκιον τοῖς στρατηγοῖς ἐπιπέμπουσι, τόν τε κίνδυνον παρεδήλουν. δυσανασχετοῦντος δὲ τοῦ Πρίσκου τοῦ Κομεντιόλου ἐκτὸς τοῦ ἔργου ἐφάψασθαι, καὶ τῶν βαρβάρων λίαν ἐγκρατῶς ἐπικειμένων, πείθεται τὸν Κομεντίολον καταλιπεῖν καὶ τὰς
P 199 φροντίδας τῶν κινδύνων αὐτὸς ἀναδέξασθαι. καὶ οὖν καταλιμπάνει τὸ Βιμινάκιον καὶ πρὸς τὸν Ῥωμαϊκὸν γίνεται χάρακα. δευτέρα δὲ ἡμέρα, καὶ προστάττει τὰς ναῦς τοῦ Ἴστρου καταλιπούσας τὰς ὄχθας περὶ τὸ Βιμινάκιον μεθορμίσασθαι· ἐδεδίει γὰρ ὁ Πρίσκος μή πως οἱ Ῥωμαῖοι τῶν ἐπακτρίδων διακειμένων αὐτοῖς περὶ τὰς ὄχθας τοῦ ποταμοῦ συνεχεῖς τὰς μεταβάσεις ἐπὶ τὴν νῆσον ποιοῖεν, κἀντεῦθεν κατακερματιζομένης τῆς τῶν Ῥωμαίων δυνάμεως ἀσθενεστέραν ἡ τάφρος τὴν φρουρὰν ἀπολάβοι. τοίνυν τῶν βαρβάρων κατεπειγομένων πρὸς πόλεμον, τετάρτη ἡμέρα καὶ ὁ Πρίσκος ἐξ ἑωθινοῦ σιδηροφορεῖν τοῖς Ῥωμαίοις
B προσέταξε. καὶ ὡς ἐνῆν, τὰς ἐκτάξεις τρισὶ συστησάμενος φάλαγξι τῶν πολεμικῶν ἐγχειρημάτων ἀπήρχετο. οἱ μὲν οὖν Ῥωμαῖοι ἀποσχόμενοι τῶν τόξων ἀγχιμάχως τοῖς δόρασι κατεπολέμουν τὸ βάρβαρον. τῶν δὲ Ἀβάρων δέκα καὶ πέντε συστήμασιν ἐξοπλισάντων τὴν ἔκταξιν, καὶ τῶν Ῥωμαίων εἰς μίαν σύννευσιν καὶ φόβῳ τοῦ χάρακος καὶ τετραπλεύρῳ μάχῃ διακεκοσμηκότων

abstinebat. fluvio superato valloque a Romanis excitato, Priscus, qui sine Comentiolo pugna experiundum non putabat, in insula manebat. barbari Romanis duce destitutis vallum incursant. illi nuntios de periculo suo Viminacium mittunt. Priscus absque Comentiolo aegre se movet: sed barbaris impotenter incumbentibus tandem dat manus, et eo relicto depellendi discriminis curam laboremque capessit, ac vallo succedit. postridie navigia Viminacium reduci imperat, quod metueret ne illis ad ripam dispositis milites crebro ad insulam transmearent, et idcirco imminuto copiarum numero ad vallum tuendum infirmiores redderentur, barbaris autem pugnam urgentibus, Priscus suis edicit ut mane in armis sint, acieque, ut potuit, in tres phalanges distributa, praelium orditur. Romani arcubus carentes cominus hastis rem gerunt, digestisque barbaris per ordines quindecim, ipsis autem timore valli amittendi in unum et eodem versus quadrilatera figura dispositis, atque ita vallum tutum praestantibus, in multas horas concursum; nec ante solis oc-

τὴν ἔκταξιν, ἀσυλίαν ἐντεῦθεν παρεχομένων τῷ χάρακι, ἐπὶ ὥρας πολλὰς ὁ πόλεμος εἶχε τὴν πρόοδον. ἡλίου δὲ κλίναντος συναπέκλινε καὶ ὁ πόλεμος, καὶ ἦν ἐπιδέξιος αὕτη ἡ τοῦ πολέμου τοῖς Ῥωμαίοις ῥοπή, τριακοσίων τε ἀναιρεθέντων Ῥωμαίων χιλιάδες τέτταρες ἐκ τῶν Ἀβάρων διώλοντο. ἐπιγενομένης οὖν νυκτὸς εἰς τὸν χάρακα οἱ Ῥωμαῖοι ἀνέζευξαν. C

3. Τρίτῃ δὲ ἡμέρᾳ, καὶ ὁ βάρβαρος ἕτερον συνεστήσατο V 276 πόλεμον. ὁ μὲν οὖν Πρίσκος ὡς οἷόν τε ἦν συντάξας τὸ στράτευμα ἑωθινὸς ἐχώρει πρὸς τὴν παράταξιν. τρεῖς τοίνυν συντάξας δυνάμεις ἐς τὰ μάλιστα τοῖς Ῥωμαίοις εἶτα ἐνεγγύησεν ἐς τὸ καρτερόν, τά τε κέρατα περισχίσαι αὐτίκα, οὕτω τε τοὺς Ἀβάρους εἰσδέξασθαι, ὅπως οἱ βάρβαροι περὶ τὰ κοιλότερα γινομένης τῆς δυνάμεως, καὶ κατειλημμένοι ἐν μέσῳ, περιπέσωσι συμφοραῖς ἀδοκήτοις. τῷ τοιούτῳ τοίνυν τρόπῳ καταστρατη- D γοῦνται οἱ βάρβαροι καὶ ἀναιροῦνται ἐκ τῆς πολεμίας καὶ ἀντιθέτου δυνάμεως χιλιάδες ἐννέα. ἡλίου δὲ δύοντος ἐπὶ τὴν τάφρον τὸ νενικηκὸς ἐπανῆκε. δεκάτῃ δὲ ἡμέρᾳ, καὶ ὁ στρατηγὸς ἠκηκόει ἥκειν αὖθις τὸν βάρβαρον πρὸς παράταξιν. ἡμέρας δὲ λαμπούσης τὸ Ῥωμαϊκὸν καθοπλίσας κοσμίως τε συμφραξάμενος ἐχώρει πρὸς πόλεμον. ὁ μὲν οὖν Πρίσκος τρισσαῖς αὖθις φάλαγξι τὰς δυνάμεις κατεστρατεύσατο, ὁ δὲ βάρβαρος μίαν συ- P 200 στησάμενος φάλαγγα κατὰ τοῦ Πρίσκου ἐχώρησεν. ὁ μὲν οὖν Πρίσκος τὴν εὔθετον τῶν τόπων χώραν καταλαβών, τήν τε ῥύμην τοῦ πνεύματος ἔχων συνέριθον, ἀφ' ὕψους τοῖς βαρβάροις

3. συναναπέκλινε IP.

cubitum finis certamini est impositus. pugnatum a Romanis Marte secundissimo: nam ex ipsis trecenti tantum, ex Abaris quatuor millia desiderata sunt. nocte interveniente victores se in castra recipiunt.

3. Die tertio barbarus de integro certamen molitur. Priscus, ut potuit, agmine disposito et instructo surgente iam die ad pugnam procedit. copiis quam potuit bene dispositis ac tripartito divisis, ad fortiter dimicandum omnes impensissime cohortatur, atque ut cornibus diductis Abaros in medium recipiant; ut sic intercepti conclusique cladem improvisam accipiant. hoc igitur modo ab hostibus circumventi perimuntur ad novem millia. exacto die victores intra vallum revertuntur. luce decima nuntiatur duci barbarum velle praelium iterare. itaque postridie ubi diluxit, Priscus Romanis instructis et decenter communitis ad tentandum conflictum progreditur, ac suos iterum in tres phalangas dispertit. barbarus in unum conflatis omnibus in Priscum vadit; qui occupato loco regionis idoneo, magno bellici spiritus impetu e superioribus in barbaros ferebatur, et duobus cornibus, seu a dextris et a si-

ἐνήραξεν, τοῖς δὲ δύο κέρασι κατεπολέμησε τὸ πολέμιον. ἐπεὶ δὲ λίμνη ὑπέστρωτο τοῖς τόποις ἐκείνοις, ἐπὶ τὰ ὕδατα ἐξωθεῖ τὸν βάρβαρον. διὰ τοῦτο περὶ τὸ ῥόθιον ἀποκρουσθέντες οἱ βάρβαροι, καὶ τὴν λίμνην ἀντιμέτωπον δυστυχήσαντες, λίαν σφοδρῶς ἀπεπνίγοντο. πλήθους τοίνυν πολλοῦ κατὰ ταύτην τὴν λίμνην ἀνῃρημένου, τῶν τε παίδων τοῦ Χαγάνου ἀποπνι-
B γέντων αὐτόθι, περιφανεστάτην ὁ Πρίσκος τὴν νίκην ἐνεπορεύσατο. καταφθείρονται τοίνυν περὶ τοῦτον τὸν πόλεμον πεντεκαίδεκα χιλιάδες βαρβάρων. ὁ μὲν οὖν Χαγᾶνος ἐπικινδύνως διασωθεὶς κατὰ τὸν Τισσὸν γίνεται ποταμόν. τριακοστῇ δὲ ἡμέρᾳ, καὶ ὁ βάρβαρος συνέλεξε δύναμιν. ἐπεὶ δὲ καὶ πρὸς τέταρτον πόλεμον τὴν ἐπιβολὴν ἐποιεῖτο καὶ τούτων ὁ τῶν Ῥωμαίων στρατηγὸς ἠκηκόει, στρατοπεδεύει ὁ Πρίσκος ἐπὶ τὸν Τισσὸν ποταμόν. ὁρίζεται τοιγαροῦν ἑκατέρᾳ δυνάμει ἡμέρα πρὸς πόλεμον. ἐπεὶ δὲ τὸ διωρισμένον πέρας ἐλάμβανεν, ὑπὸ
C πρώτην ἕω ὁ Πρίσκος ἐναλλὰξ τὰς δυνάμεις συνέταξε, καὶ τὴν μὲν εὐώνυμον φάλαγγα δεξιὰν ἐποιήσατο, τὴν δὲ μέσην εὐώνυμον. ὁ δὲ βάρβαρος δυοκαίδεκα συστήμασιν ἐξοπλίζει τὸν πόλεμον. οἱ μὲν οὖν Ῥωμαῖοι ἡρωϊκώτερον τῆς μάχης ἀντείχοντο, τῇ τοίνυν ἐνστάσει τοὺς βαρβάρους κατεπολέμησαν. καὶ διόλλυται καὶ κατὰ ταύτην τὴν μάχην πλῆθος πολεμίων πολύ. ταύτην τοίνυν τὴν νίκην εὐδοξοτέραν τὸ τῶν Ῥωμαίων ὁπλιτικὸν ἀνεδέξατο. ὁ δὲ Πρίσκος τέσσαρας χιλιάδας συντάξας, τὸν Τισσὸν διανήξασθαι ἐκέλευε καὶ ἀνερευνᾶσθαι τὰ τῶν πολεμίων
D κινήματα. οἱ μὲν οὖν ὑπὸ τοῦ στρατηγοῦ ἐκπεμφθέντες τὸν γείτονα ποταμὸν διαπεραιοῦνται. περιτυγχάνουσι τοιγαροῦν

nistris, eos impellebat. et quoniam stagnum locis illis suberat, in undas eos adigebat. quas cum oculis prospicerent et circum eas misere agitarentur, dira in ipsis morte suffocabantur. plurimis igitur, et simul Chagani filiis tali modo summersis, illustrissimam victoriam Priscus retulit: eo enim congressu barbarorum quindecim millia vitam amisere. Chaganus non sine periculo salvus ad Tissum fluvium evasit. die tricesimo barbarus exercitum ad quartum praelium instauravit. quod simulac dux Romanus comperit, et ipse ad Tissum amnem armatus prodiit. ab utrisque communiter dies ad conflictum praestituitur. is postquam illuxit, sub auroram Priscus ordinibus permutatis suos disponit, et sinistram aciem facit dextram, mediam autem sinistram. barbarus suos in duodecim ordines digerit. Romani viriliter et animose certamini insistentes barbaros debellant, magnamque etiam tum multitudinem conficiunt gloriosamque victoriam consequuntur. Priscus quatuor millia ad Tissum vicinum flumen transeundum hostiumque motus et inclinationes explora-

χωρίοις Γηπαίδων τρισίν. οἱ δὲ βάρβαροι μηδὲν τῶν ἐν τῇ
προτεραίᾳ διεγνωκότες συμπόσιόν τε καθίσαντες πανήγυριν ἑώρ-
ταζον ἐπιχώριον. τὰς τοίνυν φροντίδας ἀναθέντες τῇ μέθῃ κα-
τεπαννυχίζοντο εὐωχούμενοι. οἱ δὲ Ῥωμαῖοι ἐπὶ τὸ λεγόμενον
λυκόφως, ἔτι λειψάνων ὑπούσης νυκτός, κραιπαλῶσι τοῖς βαρ-
βάροις ἐπίκεινται καὶ μέγιστον ἀπεργάζονται φόνον· ἀναιροῦνται
γὰρ βαρβάρων χιλιάδες τριάκοντα. πλείστης τε αἰχμαλωσίας
κρατήσαντες τὸν ποταμὸν ἀντενήξαντο, πρός τε τὸν Πρίσκον τὴν
προνομὴν διεσώσαντο. ἡμέρα δὲ εἰκοστή, καὶ πάλιν ὁ βάρβα- V 277
ρος περὶ τοῦτον δὴ τὸν ποταμὸν συναγείρει δυνάμεις. διὰ τοῦτο
ὁ Πρίσκος παλινοστεῖ περὶ τὸν Τισσὸν τὸν ποταμόν. γίνεται
τοιγαροῦν κατὰ τοῦτον τὸν χῶρον μεγίστη καὶ ἀξιολογωτάτη
παράταξις. οἱ μὲν οὖν βάρβαροι καταπολεμηθέντες ὡς ἔπος
εἰπεῖν ἐγκρατῶς κατὰ ταύτην δὴ τὴν ἡμέραν ἐπὶ τὰ ῥεῖθρα τοῦ
ποταμοῦ ἀποπνίγονται, συναπόλλυνται δὲ τούτοις καὶ Σκλαβη-
νῶν πλείστη ἀπόμοιρα. ἐζωγρεῖτο δὲ μετὰ τὴν ἧτταν τὸ βάρ-
βαρον, καὶ ἥλωσαν Ἄβαροι μὲν τρισχίλιοι, ἄλλοι δὲ βάρβαροι
πρὸς ταῖς τέτρασι χιλιάσι δισχίλιοί τε καὶ διακόσιοι, καὶ Σκλα- P 201
βηνῶν χιλιάδες ὀκτώ. οὕτω μὲν οὖν ζωγρηθέντες δεσμοῖς παρε-
δίδοντο, ὁ δὲ στρατηγὸς ἐν Τομεῖ τῇ πόλει τοὺς λαφυραγωγη-
θέντας βαρβάρους ἐξέπεμπε. (4) ὁ δὲ Χαγᾶνος, πρίν τι τὸν B
αὐτοκράτορα τῶν γεγενημένων ἐν εἰδήσει γενέσθαι, πρέσβεις ἐς
Μαυρίκιον ἔπεμψεν, ἀναλαβεῖν τοὺς ζωγρηθέντας πειρώμενος.
ὁ δὲ Μαυρίκιος ταῖς ἀπειλαῖς τοῦ βαρβάρου καταπλαγεὶς καὶ
τοῖς λόγοις ἀποβουκολούμενος δι' ἐπιστολέως τῷ Πρίσκῳ προσέ-
ταξεν ἀποδοῦναι τοὺς ζωγρηθέντας τῷ Χαγάνῳ Ἀβάρους.

das segregat. transeunt, et offendunt Gepidarum villas tres, qui rerum pridie gestarum ignari considentes et compotantes festum patrium magna frequentia celebrabant, omnibusque curis ebrietati dicatis noctem totam in conviviis exigebant. Romani crepusculo noctis, ante exortum solis, barbaros adhuc crapulantes opprimunt, et stragem edunt maximam, tricenorum millium; et cum ingenti praeda repetito fluvio, Prisco eam offerunt. vicesima luce denuo barbarus ad huncce fluvium copias congregat: ibi atrocissimo et in primis memorabili praelio decertatur, in quo barbari, ut paucis dicam, magna virtute victi et aquis summersi sunt; quibuscum etiam Sclavorum pars maxima interiit. servati et capti obtenta victoria Abarum tria millia, aliorum barbarorum sex millia ducenti, Sclavorum octo millia. omnibus iniecta vincula, et in urbem Tomeum a duce missi. (4) Chaganus, priusquam imperator quippiam actorum resciscret, per legatos recuperare captivos studet. Mauricius barbari minis territus et verbis in fraudem inductus, Prisco mandat ut

οὕτω μὲν οὖν ἀπὸ τῆς Τόμεος ἀπεδίδοντο τῷ Χαγάνῳ οἱ βάρβαροι.

Ὁ δὲ Κομεντίολος ὥσπερ ἀπό τινων ἐνυπνίων μακρῶν μόλις διανήψας ἔδοξεν ἀπηλλάχθαι τῆς νόσου. παραγίνεται τοιγαροῦν εἰς τὰς Νόβας, καὶ συγκαλεσάμενος τῶν ἐγχωρίων τινὰς τὸν ποδηγοῦντα παρ' αὐτῶν ἠξίου ἀναλαβεῖν, ὅπως τὴν λεγομένην
C Τραϊανοῦ παροδεύσηται τρίβον· ἠπείγετο γὰρ ἐς Βυζάντιον τὴν χειμέριον ὥραν ποιήσασθαι. οἱ μὲν οὖν ἐγχώριοι ἀπηγόρευον τῷ Κομεντιόλῳ ταύτην δὴ τὴν ἀτραπόν. ἐπὶ τούτῳ μανεὶς δύο τῶν ἀπαγορευόντων ἀπέτεμεν. οἱ μὲν οὖν περὶ τὰς Νόβας ἔφασκον τῷ Κομεντιόλῳ μὴ ἔχειν τὸν ὑποδείξοντα, ὑπεῖναι δὲ ἀπὸ σημείων δέκα καὶ δύο παλαίτατον λίαν γερόντιον, χρόνων πεφυκὸς ἑκατὸν πρὸς τοῖς δεκαδύο· τοῦτον ἐπίστασθαι Τραϊανοῦ τοῦ αὐτοκράτορος τὴν λεγομένην τρίβον κατισχυρίζοντο. γενόμενος τοίνυν κατὰ τὸν χῶρον ἐκεῖνον Κομεντίολος ὁ στρατηγὸς τὸν
D πρεσβύτην ἠξίου τῆς ὁδοιπορίας προηγήσασθαι. ὁ δὲ γέρων διηπορεῖτο καὶ ἤσχαλλε, καὶ λίαν χαλεπὸν τὸ ἐγχείρημα τῷ στρατηγῷ προηγόρευε, τήν τε δυσχωρίαν τόν τε χειμῶνα καὶ τὸ τῆς τρίβου ἀνήμερον διεξήρχετο· ὑπεῖναι γὰρ τὴν τρίβον ταύτην ἀδιεξόδευτον ἀπὸ ἐτῶν ἐνενήκοντα. ἀντιτείνει τοίνυν ὁ στρατηγὸς τοῖς τοῦ γέροντος λόγοις. ἐπεὶ δὲ τὰ τῆς χείρονος ἐπιβολῆς ἐκρατέρησεν, ἀπάρχονται τῆς ὁδοιπορίας αἱ τῶν Ῥωμαίων δυνάμεις. κατὰ ταύτας δὴ τὰς ἡμέρας ἐπεδήμησε μέγα καὶ ἐξαίσιον ψῦχος, καὶ μεγάλου γεγονότος τοῦ κρύους καὶ τῆς τῶν πνευμάτων πικρότητος ἐγκρατῶς ἐγκειμένης ὄλλυνται πολλοὶ τῆς δυ-

captivos Abares reddat. sic barbari Tomeo educti Chagano vivi restituuntur.

Comentiolus quasi diuturno somno vix tandem aliquando experrectus morbum depulisse visus est. Nobas init, convocatisque quibusdam indigenis ducem viae Traiani, quae dicitur, quaerit. festinabat enim Byzantium, ut ibidem hiberna ageret. indigenae hanc ei viam monstrare detrectant. tum ille ira furens duos ex iis obtruncat. hic Nobenses non habere se qui eam viam monstrare possit. abesse autem millibus passuum duodecim silicernium quoddam, natum annos duodecim supra centum: ei notam esse quae Traiani imperatoris via nominetur. eum locum ut attigit Comentiolus, senem orat uti viam ipsis praeeat. senex tergiversari et indignari, et quam operosum negotium tentet, difficultate locorum, asperitate hiemis et incommoditate viae commemorata ostendere. abhinc enim nonaginta annis non esse tritam. dux contradicit. et quia consilium peius vincebat, via illa Romani gradiuntur. per eos dies immane et intolerandum frigus incidit, spiraruntque validissimi venti, ita ut multi de exercitu et iumentorum dossuariorum pars bene

νάμεως, τῶν τε νωτοφόρων ζώων ἡ πλείστη ἀπόμοιρα. λίαν γοῦν καὶ ἀπευκτῶς ὁ Κομεντίολος ἐπὶ τὴν Φιλίππου ἀφίκετο. τοίνυν ἐκεῖσε τὴν ἅπασαν τοῦ χειμῶνος ὥραν ἐνδιατρίψας ἔαρος P 202 ἀρχομένου ἐς Βυζάντιον παραγίνεται. τῷ δὲ ἐπιόντι θέρει πάλιν στρατηγὸς ὑπὸ Μαυρικίου τοῦ αὐτοκράτορος ἀναδείκνυται.

Ἐννεακαιδεκάτῳ ἐνιαυτῷ τῆς βασιλείας Μαυρικίου τοῦ αὐτοκράτορος, οὐδὲν Ῥωμαίοις καὶ βαρβάροις ἐπράχθη. ἔτει δὲ εἰκοστῷ τὸν αὐτάδελφον ὁ αὐτοκράτωρ Μαυρίκιος Πέτρον στρατηγὸν προεστήσατο τῆς Εὐρώπης. πρὸ τούτου τοῦ ἐνιαυτοῦ Θεοδόσιος ὁ τοῦ βασιλέως υἱὸς νυμφίος πομπεύεται, καὶ πρὸς ἔννομον γάμον δίδωσιν αὐτῷ πατὴρ Γερμανοῦ τὸ θυγάτριον, ἀνδρὸς λίαν ἐνδόξου καὶ τῶν ἐς σύγκλητον βουλὴν ἄγαν ἐπιφα- B νοῦς. μετ' ὀλίγας τοίνυν ἡμέρας τοῦ γάμου, ὥρᾳ χειμῶνος, V 278 σιτοδεία τις τοῖς Βυζαντίοις ἐνέσκηψε. τούτου δῆτα τοῦ λιμοῦ γεγονότος, καὶ τῆς τεσσαρακοστῆς ἡμέρας προελθούσης τῆς γενεθλιακῆς πανηγύρεως τοῦ μεγάλου θεοῦ Ἰησοῦ, ὃν Χριστὸν τὰ κατὰ τὴν οἰκουμένην ἔθνη γεραίρουσι, καταστασιάζει τὰ πλήθη τοῦ αὐτοκράτορος. εἰώθει δὲ ὁ βασιλεὺς συνεορτάζειν τοῖς δήμοις. τοῦ τοίνυν βασιλέως ἅμα τοῖς ὄχλοις τὰς λιτὰς ποιουμένου, νεωτερίσαντες ἀπὸ τοῦ πλήθους τινὲς ἐς Μαυρίκιον ἐβλασφήμουν καὶ λίθους ἐξέπεμπον κατὰ τοῦ αὐτοκράτορος. ὁ μὲν C οὖν Μαυρίκιος κελεύει τοῖς σωματοφύλαξιν ἀπειλεῖν ταῖς σιδηραῖς κατὰ τῶν ἐπιόντων κορύναις (ταῦτα δὲ ἄρα τῇ Ῥωμαίων φωνῇ δίστρια λέγεται), μέχρι δὲ τῆς ὑποκρίσεως κελεύει τούτοις τὰς ἐπιφορὰς σχηματίσασθαι· ὁ δὲ Γερμανὸς ὑποκάτω τῆς χλαμύδος καλύψας τὸν Θεοδόσιον διὰ τῶν λεγομένων Ἱλαρᾶς (τόπος δὲ

magna interierit. quamobrem cum diris suorum exsecrationibus Philippopolim veniens, totam illic hiemem traduxit, et initio veris Byzantium reversus aestate mox sequente rursum dux a Mauricio designatus est.

Anno imperii Mauricii decimo nono nihil inter Romanos, et barbaros gestum est. vicesimo Petrum praetorem Europae declaravit. sed anno priore Theodosio filio imperator, singulari apparatu, legitimo connubio Germani excellentissimi viri et illustrissimi senatoris filiam coniungit. paucis diebus a nuptiis, ipsa hieme, Byzantii ob annonae gravitatem fame laborarunt. cumque iam dies quadragesimus adesset, celebritatis natalium magni dei Iesu Christi, quem gentes universae per orbem terrarum venerantur, plebs seditionem adversus imperatorem incipit. consueverat ille cum populo eum diem in templo peragere. cumque ibi iam sacris precibus distineretur, quidam plebei novarum rerum cupidi eum maledictis lacerant et lapidibus insectantur. Mauricius corporis custodibus mandat uti se invadentes clavis ferreis, quae Romanis distria dicuntur, deterreant, et impetum in eos simulent. Germanus Theodo-

οὗτος τοῦ ἄστεος) ἐκ τῶν λιτανευμάτων ὑπεξαγαγὼν διεσώσατο. D (5) καὶ οὖν ὁ βασιλεὺς ὑπὸ τῶν σωματοφυλάκων διασώζεται, μὴ δεδωκὼς ἐγκοπὴν τῷ λιτανεύματι. εἶτα πρὸς τὸν τῆς θεομήτορος νεὼν παρεγένοντο, ὃν Βλαχέρνας ἀποκαλοῦσι τιμῶντες Βυζάντιοι. τὸ δὲ τέμενος τοῦτο τῶν σεβασμίων λίαν καθέστηκε, θρησκεύεταί τε ὑπὸ τοῦ ἄστεος ἐς τὰ μάλιστα· λέγεται γὰρ περιστόλια τῆς παρθένου Μαρίας, ἣν θεοτόκον κυρίως καὶ μόνην οἱ Ῥωμαῖοι πρεσβεύομεν, ἐν σηκῷ χρυσοπάστῳ ἀποτεθῆναι ἐνταῦθα. ἅπασαν τοιγαροῦν τὴν ἱερὰν μυσταγωγίαν ἐν τούτῳ δὴ τῷ ναῷ κατὰ εἰωθὸς ὁ βασιλεὺς λατρεύσας πρὸς τὰ βασίλεια γίνεται. τῇ δὲ ὑστεραίᾳ τοὺς ἐπισημοτέρους τῶν καταστασιασάντων P 203 μικροῖς τισὶν αἰκισμοῖς σωφρονίσας ἐξορίζει τοῦ ἄστεος. ἡ δὲ ἐξορία ἀμακροημέρευτος ἦν· θᾶττον γὰρ μεταβαλὼν ὁ βασιλεὺς τὴν λύπην δίδωσιν τοῖς ἐξοριστοῖς ἐξουσίαν ἐπιβαίνειν τοῦ ἄστεος.

Μένουνγε ὁ Πέτρος ὁ στρατηγὸς τὰς δυνάμεις ἀθροίσας ἐπὶ τὸν Ἴστρον χωρεῖ καὶ εἰς Παλάστολον ἀφικνεῖται, καὶ χάρακα ποιησάμενος οὕτω τὴν τοῦ θέρους ὥραν διήνυον. μετοπώρου τε ἀρχομένου ἐπὶ τὸ κλίτος τῆς Δαρδανίας ὁ στρατηγὸς ἐνεδήμησεν· ἠκηκόει γὰρ περὶ τοὺς λεγομένους Καταρράκτας ἀθροισθῆναι τῶν βαρβάρων τὰ πλήθη, τόν τε Ἀψὶχ ἐνθαδὶ στρατοπεδεύεσθαι. τοίνυν τῶν Ῥωμαίων γεγονότων αὐτόθι, B Πέτρος ὁ στρατηγὸς πρὸς τὸν Ἀψὶχ τὸν ὑποστράτηγον τῆς Ἀβάρων δυνάμεως ἐδίδου καὶ ἀντελάμβανε λόγους. ὁ δὲ Ἀψὶχ τοὺς λεγομένους Καταρράκτας ἀπὸ Ῥωμαίων ἐνεχείρει δουλώσασθαι. δυσανασχετοῦντος δὲ τοῦ στρατηγοῦ μὴ τοιαύταις συνθήκαις

sium chlamyde sua protectum per Hilaras (locus est urbis) illaesum e templo educit. (5) imperator itaque a satellitibus defensus in sacris perseverat. deinde ad dei genetricis aedem, quam Blachernas populus Byzantinus, apud quem in honore est, vocare solet, confugit. sane templum istuc admodum venerabile a civitate praecipua religione colitur: tenet enim fama quasdam vestes Mariae virginis, quam deiparam proprie et solam nos Romani veneramur, in arcula inaurata ibidem asservari. ubi in hoc templo imperator rei divinae more suo usque ad finem interfuit, regiam repetit. postridie de seditiosis insigniores parcius verberibus emendatos in exilium tradit. id non adeo longum fuit: mox enim dolore posito, eiectis potestatem in urbem redeundi concessit.

Petrus Istrum petens Blastolum venit, ibique castris excitatis aestatem transigit. ineunte autumno in Dardaniae latus sive angulum vadit, audierat siquidem ad Catarrhactas congregari barbarorum multitudinem, et ibi Apsichum tendere. illic cum Apsicho Abarum hypostratego sermonem miscet. Apsichus Catarrhactas Romanis eripere conabatur. duce

ζωπυρεῖν τὴν εἰρήνην, ἑκατέρα διαλύεται δύναμις, καὶ ὁ μὲν
Χαγᾶνος ἐπὶ τὴν λεγομένην Κωνσταντίολαν ἐχώρησεν, οἱ δὲ
Ῥωμαῖοι ἐπὶ τὰς Θρᾳκῴας διατριβὰς ἐπανέζευξαν.

Τοῦ δὲ θέρους ἐπείγοντος, ἀκοὴ γίνεται Μαυρικίῳ τῷ αὐ-
τοκράτορι ὡς ἐπίτηδες ὁ Χαγᾶνος ἀναβολὴν τῷ πολέμῳ παρέ-
σχετο, ὅπως ὑπορεμβομένης τῆς Ῥωμαίων πληθύος ἀθρόᾳ κι-
νήσει τινὶ τοῖς περὶ τὸ Βυζάντιον ἐπισταίη. καὶ οὖν τὴν Ἀδρια- C
νοῦ πόλιν καταλιπεῖν τῷ στρατηγῷ ἐγκελεύεται. ὁ μὲν οὖν
Πέτρος κατὰ τῆς Σκλαβηνίας πληθύος στρατοπεδεύεσθαι παρε-
σκεύαζεν, ἔγραψέ τε Βονώσῳ· ἀνὴρ δὲ οὗτος τῶν σωματοφυ- V 279
λάκων τοῦ βασιλέως ἐπιφανής, ὃν σκρίβωνα εἴωθε τὰ πλήθη
ἀποκαλεῖν· τοῦτον γὰρ ἐδέησε κατ' ἐκεῖνο καιροῦ διακονεῖσθαι
Πέτρῳ τῷ στρατηγῷ. ἡ δὲ τοῦ γράμματος ἀξίωσις ἦν ἐφ' ᾧ
τὰς τῶν Ῥωμαίων πορθμίδας χορηγεῖν ταῖς δυνάμεσιν, ὅπως
τὸν ποταμὸν διανήξονται. τοῦ δὲ μαχίμου ὁ Πέτρος τὸν Γου-
δοῦϊν ὑποστράτηγον προεστήσατο. τοίνυν ὁ Γουδοῦϊς τὸν πο-
ταμὸν διαβὰς στόματι μαχαίρας πλήθη πολεμίων ἀνεῖλεν, αἰχμα-
λωσίας δὲ κρατήσας πολλῆς μεγάλην περιβάλλεται εὔκλειαν. οἱ
μὲν οὖν Ῥωμαῖοι ἐπανήκειν διὰ τοῦ ποταμοῦ εἰς τὴν ἑαυτῶν ἐπει-
ρῶντο, ὁ δὲ Γουδοῦϊς τοῦτο ποιεῖν αὐτοὺς διεκώλυε τέως. ἀτὰρ
τὰς Ῥωμαίων ἐφόδους ὁ Χαγᾶνος μεμαθηκὼς τὸν Ἀψὶχ μετὰ
στρατοπέδων ἐξέπεμπεν, ὅπως τὸ τῶν Ἄρτων διολέσειεν ἔθνος,
ὃ σύμμαχον Ῥωμαίοις ἐτύγχανεν ὄν. (6) τούτων δὴ γιγνομέ- D
νων ἀποστατοῦσι τῶν Ἀβάρων πλήθη τινά, αὐτομολεῖν τε τῷ
αὐτοκράτορι κατηπείγοντο. ταράττεται οὖν ἐπὶ τῷ ἀκούσματι P 201

6. ὑπορεμβόμενος IP.

aegrius ferente huiuscemodi pactis non posse pacem redintegrari, uterque exercitus inde abscedit, et Chaganus quidem Constantiolam, Romani autem in Thraciam revertuntur.

Aestate iam proxima Mauricius certior fit Chaganum differre pugnam de industria, ut vagantibus Romanorum copiis ac negligentibus improviso Byzantium invadere queat. itaque duci in mandatis dat, Adrianopoli relicta Istrum transeat. Petrus adversus Sclavos expeditionem parat, et Bonoso ex satellitibus imperatoris illustri, quem scribonem vulgo appellitant, et qui tum Petro ministrare debebat, scribens, lembos militibus traiiciendis suppeditari postulat, quibus Gundoin pro hypostratego praeponit. Gundois fluvio transmisso in ore gladii non exiguum barbarorum numerum absumit, ingenti praeda et gloria potitur non mediocri. Romanis per fluvium redire in sedes suas cupientibus Gundois obstat. Chaganus Romanorum impressione intellecta, Apsichum ad Artos Romanorum socios delendos mittit. (6) haec dum fiunt, non pauci Abarum deficientes ad partes imperatoris se adiungere maturant. conturbatus ea

ὁ Χαγᾶνος, καὶ περιδεὴς γεγονὼς πολὺς ἦν ἀντιβολῶν καὶ σοφιστεύων μεθόδους πολλὰς ἀντιμεταστῆσαι τὴν ἀποστατήσασαν δύναμιν.

Ὥρας τοίνυν μετοπωρινῆς ἐνδημούσης, καὶ Μαυρικίου τοῦ αὐτοκράτορος ἐνοχλοῦντος τὸν Πέτρον ἐν ταῖς τῶν Σκλαβηνῶν χώραις τὰς Ῥωμαϊκὰς δυνάμεις τὸν τοῦ χειμῶνος ἐνδιατρῖψαι καιρόν, τῶν τε Ῥωμαίων βαρυνομένων ἐπὶ τῇ τοῦ βασιλέως βουλῇ διά τε τὴν λείαν αὐτὴν διά τε τὴν τῆς ἵππου ταπείνωσιν, ἔτι γε μὴν καὶ διὰ τὸ πλήθη βαρβάρων περικυμαίνειν τὴν χώραν τὴν ἀντιπέραν τοῦ Ἴστρου, καὶ τοῦ στρατηγοῦ τὸ βασιλικὸν κρατύνοντος πρόσταγμα, στάσις μεγίστη τοῖς στρατεύμασι γίγνεται.
B ὁ μὲν οὖν Μαυρίκιος διὰ πυκνῶν συλλαβῶν ἐπετίθετο Πέτρῳ τοῦτο τοὺς Ῥωμαίους ποιήσασθαι, οἱ δὲ Ῥωμαῖοι ἀντιπερίσταντο πρὸς συντονωτέραν ἀπόφασιν. διὸ τὸν ποταμὸν παροδικῶς διενήξαντο. ἐπεὶ δὲ τοῦτο ἐγένετο, ἀφικνοῦνται ἐν Παλαστόλῳ, μεγίστῳ θυμῷ τὰς ψυχὰς μεθυσθέντες. ὁ δὲ Πέτρος στρατοπεδεύεται ὡς ἀπὸ δέκα σημείων τοῦ χάρακος. καὶ οὖν ὁ στρατηγὸς διαγανακτῶν ταῖς δυνάμεσιν ἐς ἀπόνοιαν ἄλογον ἔβλεπεν, οὐκ ἠξίου τε τῷ ὁπλιτικῷ συναυλίζεσθαι. τρίτῃ δὲ ἡμέρᾳ, καὶ τῷ Γουνδουῒ ἔφησεν· ἃ δὲ ἔφησε, ταῦτα ἐκεῖνά ἐστι, δόξαι κατ' ὄναρ συλλαβὰς ἐπιπεμφθῆναι αὐτῷ, τὴν δὲ τῆς ἐπιστολῆς προ-
C γραφὴν ἔχειν ἐπὶ λέξεως οὕτως. "ὁ κύριος ἡμῶν Ἰησοῦς Χριστός, ὁ ἀληθινὸς θεός, ἡ θεία χάρις, ὁ τῶν ἐκκλησιῶν προεστὼς καὶ τὰ ἐλλείποντα ἀναπληρῶν, εἰς τὸ πᾶσι συμφέρον προΐστησιν ἐπὶ τοῦ παρόντος τόνδε τῆς νέας δεσπότην." διηπορεῖτο

6. ἐνδιατρίψας IP.

auditione Chaganus et in timorem haud levem coniectus, orare vehementer, et varias secum rationes meditari quibus desertores ad se reduceret.

Ergo autumno adventante, cum Mauricius Petro molestiam exhiberet super copiis in Sclavorum regione per hiemem retinendis, copiae autem inde magnopere abhorrerent tum propter praedae spem exiguam, tum propter equorum paucitatem et barbaricam illorum locorum frequentiam, ipseque dux in imperatoris iussu omnia poneret, seditio maxima exorta est. Mauricius crebris litteris Petrum urget ut ita fiat. Romani acerrime recusant. quocirca flumen ultro traiiciunt, Palastolum veniunt, ira inflammati. Petrus ab iis viginti leucis absens indignatur, atque eorum insania et insolentia irritatus manere cum iis dedignatur. tertio die Gundui narrat per quietem visam sibi epistolam mitti cum hac inscriptione ad verbum. "Dominus noster Iesus Christus, verus deus, divina gratia, qui ecclesiis praesidet et quae desunt supplet, ad omnium utilitatem in praesens hunc novae (Romae) dominum praeficit." haere-

τοίνυν ὁ Πέτρος καὶ ἤσχαλλεν, ἠδημόνει τε καὶ ἐστροβεῖτο, περικυκώμενος πάντοθεν, τίνες εἴησαν ἂν αἱ τῶν φανέντων ἐνυπνίων ἐκβάσεις. ὁ μὲν οὖν Γουδοῦϊς καταπλαγεὶς ἐπί τε τῷ ταράχῳ τοῦ πλήθους ἐπί τε ταῖς τῶν ὀνείρων ἐκφάσεσιν ἀφωνίᾳ κατείχετο. τῇ δὲ ὑστεραίᾳ μεταποιοῦσιν αἱ δυνάμεις τὸν χάρακα, καὶ τὰ Ἄσημα παραμείψαντες (φρούριον δὲ τοῦτο) γίνονται ἐν D *Καρίσκᾳ, ὅθεν διαπορθμεύσασθαι ἔμελλον εἰς τὰς τῶν βαρβάρων σκηνώσεις· ἦσαν γάρ τι μικρὸν μεταβεβληκότες τὸ φρύαγμα. ἐν ταύταις γοῦν ταῖς ἡμέραις ἐναυπηγοῦντο ἀγγεῖα. καὶ τούτου δὴ γιγνομένου ὑετοὶ ἐπιπίπτουσιν λάβροι, συνεπιτίθεται δὲ καὶ ψύχους ἐπιβουλή. ταύτῃ δῆτα ἐπιστασιάζει τὸ πλῆθος, μὴ βουλόμενον διανήξασθαι. πέμπουσι τοίνυν πρὸς τὸν Πέτρον εἴκοσι σημεῖα ἀπῳκισμένον τοῦ χάρακος πρέσβεις οἱ Ῥωμαῖοι ὀκτώ, ἐξ ὧν ἐτύγχανεν ὢν καὶ Φωκᾶς ὁ χαλεπώτατος τύραννος. ἡ δὲ ἀξίωσις ἦν οἴκαδε τὴν δύναμιν ἀναζεύξασαν τῇ τοῦ χειμῶνος ὥρᾳ ἐγκαρτερεῖν. ὁ δὲ αὐτοκράτωρ ἐπώχλει δι' ἐπιστολέως τὸν Πέτρον, τὸν ποταμὸν διαπεραιωσάμενον τὰς δυνάμεις τῆς τῶν βαρβάρων γῆς ἐπιβῆναι, τάς τε στρατοπέδων ἀποτροφὰς αὐτόθεν τοὺς Ῥωμαίους ἀρύσασθαι, ἐγκοπήν τε δημοσίων σιτήσεων ἐντεῦθεν τῷ πρυτανείῳ παρέχεσθαι. (7) ὁ μὲν οὖν στρατηγὸς* P 205 V 280 *τοὺς πρέσβεις εἰσκαλεσάμενος κατεπήγγελτο τῇ ἐς αὔριον ὡς αὐτοὺς ἀφικνεῖσθαι λύσιν τε τῆς δυσφορίας παρέχεσθαι. μεταστειλάμενος τοιγαροῦν τὸν Γουδοῦϊν ἔφη πρὸς αὐτὸν τὰ τῶν ἠθυμηκότων προσρήματα. "ἀμφίκρημνά μοι τῶν κινδύνων καθέστηκε· δυσδιεξόδευτον τὸ τοῦ βασιλέως καθέστηκε πρόσταγμα.*

bat igitur incertus, et tristabatur et angebatur et cruciabatur, perturbatus undique, quisnam huius visi per somnium futurus esset exitus. Gunduis et tumultu exercitus et dubio somniorum eventu obstupefactus nequit vocem edere. postero die castra movet exercitus, praetereuntesque Asema (castelli nomen est) Cariscam veniunt, unde in barbarorum domicilia irrupturi erant: paululum quippe de ferocia remiserant. per illos igitur dies naves compinguntur. interea cum imbribus maximis frigus ingruit. tali impedimento obiecto nolentes traiicere, ad Petrum leucis viginti, ut dictum est, distantem a castris, legatos mittunt octo, e quibus etiam erat Phocas tyrannus immitissimus. petebant autem ut liceret in hiberna domum redire. at imperator per tabellarium Petrum extimulat ut traiectis copiis barbarorum regionem incurset, quo inde alimentis in militem comparatis, ipse e prytaneo annonam praebere ne cogeretur. (7) dux legatis accersitis, die sequenti ad eos se venturum missionemque daturum pollicetur. et arcessito Gundui his eum verbis cum animi desperatione alloquitur. "utrinque mihi propositum est periculum. difficile est exequi quod mandat imperator; et reniti ac repu-

καὶ τὸ ἀντιτείνειν ἀδύνατον, καὶ τὸ μὴ πειθαρχεῖν χαλεπώτερον. οὐδὲν ὠδίνει καλὸν τρόπος φιλάργυρος· ἀκρόπολις τῶν κακῶν ἡ φιλαργυρία καθέστηκεν. ὑπὸ τοῦ τοιούτου πάθους ὁ αὐτοκρά- [B] τωρ νοσηλευόμενος τάχα ἄν ποτε θυμὸν ὀλέσῃ, ἵνα καί τινι ἔπει τῆς Ὁμηρικῆς τραγῳδίας καρυκεύσω τὸν λόγον. αὕτη ἡ ἡμέρα πολλῶν κακῶν ἄρξει Ῥωμαίοις. οἶδα καὶ πείθομαι." ἐπίδακρυς τοίνυν ὁ Πέτρος γενόμενος, ἐγκοπήν τε τῷ λόγῳ διὰ τὸ δάκρυον ποιησάμενος, γίγνεται πλησίον τοῦ χάρακος. τῇ οὖν ὑστεραίᾳ ἀθροίζει τοὺς ταξιάρχας τῆς πάσης δυνάμεως, τό τε τοῦ βασιλέως αὐτοῖς παρεδήλωσε γράμμα. οἱ δὲ ἡγεμόνες τῶν ὁπλιτικῶν συνταγμάτων ἔφησαν τῷ στρατηγῷ μὴ ἐθέλειν τὸ μάχιμον ἐς τὸ ἀντιπέραν τὰς διαβάσεις ποιήσασθαι, τὰς αἰτίας ἐν ἐκθέσεως μοίρᾳ ποιούμενοι. ἐπεὶ δὲ ὁ Πέτρος ἀντιπρώρους τοῖς [C] ὄχλοις ἐποιεῖτο τοὺς λόγους λαῖλαψ μεγίστη θυμοῦ τοῖς στρατοπέδοις ἐνέσκηψε. διὰ τοῦτο αἱ δυνάμεις τοῦ χάρακος ἀποκλίνασαι κατὰ μόνας ἐκκλησίαν συνήθροισαν. τοῦτο οἱ ἡγεμόνες τοῦ ὁπλιτικοῦ θεασάμενοι ἀποκλίνουσιν εἰς φυγὴν καὶ πρὸς Πέτρον τὸν στρατηγὸν παραγίνονται. ἑτέραν δὲ καὶ τῇ ἐς ὕστερον ἐκκλησίαν πεποιηκότα τὰ πλήθη ἔξαρχον τὸν ἑκατόνταρχον Φωκᾶν προεστήσαντο, ἐπὶ ἀσπίδος τε εἰς ὕψος ἐξάραντες εὐφήμουν ἐκ- [D] τόπως τὴν ἀναγόρευσιν. τούτων ὁ Πέτρος ἀκηκοὼς εἰς ἀπόδρασιν τὰς φροντίδας μετέθηκε, καὶ δῆλά τε τὰ συμβεβηκότα ἐπεποίητο Μαυρικίῳ τῷ αὐτοκράτορι.

Ὁ μὲν οὖν Μαυρίκιος τὸν ἀπαίσιον ἄγγελον εἰσκαλεσάμενος εἰς τὰ βασίλεια, ἐν παραβύστῳ τῶν ἐπηκολουθηκότων ἐποιεῖτο

gnare impossibile, et obtemperare durum atque acerbum. nihil boni parit avaritia; arx malorum est avaritia. hic morbus imperatorem invasit, ob quem anima fortasse aliquando carebit, ut versiculo e tragoedia Homerica orationem condiam. hic dies Romanis multarum miseriarum afferet initium. scio, constanterque credo." cum his dictis sermonem lacrimis se profundentibus abrumpit, et ad castra profectus luce altera omnibus centurionibus congregatis imperatoris ad se litteras demonstrat. illi milites nolle Istrum traiicere affirmant, et causas exponunt. quoniam autem Petrus in sententia permanens nihilominus se multitudini opponebat, atrox irarum procella in exercitum incubuit. quamobrem castris excedentes seorsum in concilium coeunt. quo viso duces ad Petrum aufugiunt. postridie rursum coeuntes exarchum Phocam centurionem sibi praeficiunt, eumque supra scutum alte sublatum faustis gratulationibus prosequuntur. his auditis Petrus fugae se commisit, quaeque acciderant, Mauricio imperatori renuntiavit.

Qui infaustum nuntium in regiam vocatum in abdito de iis quae evenerant sigillatim percunctatur. deinde cum anxiis curis trepidaret et

τὰς πεύσεις. εἶτα ταῖς μερίμναις ἐσφάδαζεν, ἀμηχανία δὲ αὐτῷ περιέρρει πολλή. ὅμως ὑποκρύπτει τῶν ἀκουσμάτων τὴν ἄφιξιν, ἱππικούς τε ἀγῶνας συνετέλει συχνοὺς ἀποπροσποιήσει τινὶ ὡς ἐξουθενῶν τὰ τῶν νεωτερισάντων μελετήματα. τοῖς δὲ δήμοις ἐδήλου διὰ κηρύκων παρὰ τὸ στάδιον ὑπὸ ἀλόγου ἀκοσμίας στρατιωτῶν μὴ ταράττεσθαι. οἱ μὲν οὖν τοῦ κυαναυγοῦς χρώ- P 206
ματος ἐρασταὶ μετ' ᾠδῆς ἀνεβόων πρὸς τὸν αὐτοκράτορα ταῦτα (καὶ αὐτῆς γὰρ τῆς ἐπὶ λέξεως συνθήκης ποιησώμεθα μνήμην) "ὁ θεός, αὐτοκράτωρ, ὁ κελεύσας σε βασιλεύειν, ὑποτάξοι σοι πάντα τὰ πολεμοῦντα τῇ βασιλείᾳ. εἰ δὲ Ῥωμαῖός ἐστιν, εὐεργέτει, ἀγνώμονά τε εἰς δουλείαν σου τοῦτον ὑποτάξεις χωρὶς αἵματος." τετάρτῃ δὲ ἡμέρᾳ, καὶ τοὺς δημάρχους ὁ αὐτοκράτωρ εἰσκαλεσάμενος πρὸς τὰ βασίλεια, οὓς διοικητὰς τῶν δήμων εἴωθεν τὸ πλῆθος ἀποκαλεῖν, (ὀνόματα δὲ τούτοις Σέργιος καὶ Κοσμᾶς) ἐπυνθάνετο τῶν δημοτευόντων ἐπὶ λεπτοῦ τὸν ἀριθμόν. ὁ μὲν οὖν Σέργιος ἐν χάρτῃ τὴν σύνταξιν τῶν ἐραστῶν τοῦ χλοά- B
ζοντος ἐνεχάραξε χρώματος, πεντακοσίους πρὸς τοῖς χιλίοις τυγχάνοντας, ὁ δὲ Κοσμᾶς τοὺς τῆς ἀντιθέτου αἱρέσεως ἑκατοντάδας ἐννέα συντέταχεν· εἰς δύο γὰρ χρωμάτων ἐφέσεις τὰ τῶν Ῥωμαίων καταπέπτωκε πλήθη. ἐντεῦθεν μέγιστα κακὰ τῷ βίῳ εἰσήρρησε· κατὰ μικρὸν γὰρ τῆς λυσσώδους ταύτης αὐξανομένης μανίας τὰ Ῥωμαίων διώλοντα πράγματα.

8. Ὁ μὲν οὖν αὐτοκράτωρ ἥκειν ἀκούσας τὸν τύραννον C V 281
πρέσβεις ἐξέπεμψεν, ὑπομαραίνειν ὥσπερ τὰ τῆς συμφορᾶς ἐγ-

10. τὰ deest IP.

quid consilii caperet prorsus nesciret, nihilo secius tamen audita dissimulans, ludorum equestrium spectaculis crebro dat operam, simulatque se conatus istorum res novas molientium pro nihilo putare. populum autem voce praeconum in circo monet ne quid ipse ex temeraria militum seditione turbetur. qui igitur Venetae factionis erant, ita ad verbum imperatori accinebant. "deus, imperator, cuius iussu imperas, omnes imperio tuo adversantes tibi subiiciat. quodsi Romanus est, illi benefac, et improbum in potestatem tuam rediges citra sanguinem." die quarto tribunis, quos populi administratores vulgus nominare solet, ad se in palatium accitis, Sergio, inquam, et Cosma, popularium numerum subtiliter exquirit. Sergius in charta numerum Prasinorum exaratum tradit mille quingentos, Cosmas contrariae factionis nongentos. duorum quippe colorum, caerulei et viridis, factionibus dedita erat populi multitudo, unde mala gravissima in vitam importata sunt: sensim enim aucta hac rabiosa insania res Romanae pessum iverunt.

8. Imperator appropinquare tyrannum audiens, veluti calamitatem allevaturus, legatos mittit. qua re tyrannus insolescit et honoribus novis

χειρῶν. ὅγε τύραννος ἐπὶ τούτοις ὑψαυχενίζεται καὶ ἐπὶ τῷ νεωτερισμῷ καταμαίνεται, ἀπράκτους τε τοὺς πρέσβεις ἐξέπεμπεν. ὁ δὲ Μαυρίκιος περιφρουρεῖν τοῖς δήμοις τὰ Θεοδοσίου τείχη προστάττει, ἃ δείμασθαι λόγος πρεσβύτης ἐρεῖ τὸν Ἀρκαδίου τοῦ αὐτοκράτορος Θεοδόσιον παῖδα. πρὸ τούτων τοίνυν ἡμερῶν ὀλίγων Γερμανὸς (κηδεστὴς γὰρ οὗτος Θεοδοσίου τοῦ
D παιδὸς τοῦ αὐτοκράτορος) ἱππάζεσθαί τε καὶ ξυνωρικεύεσθαι τὸν Μαυρικίου τοῦ Καίσαρος υἱὸν ἀναλαμβάνει ἐς Καλλικράτειαν· χῶρος γὰρ πρὸ τοῦ ἄστεος οὗτος, λίαν ὡς ἔπος εἰπεῖν ὡρικός. ὁ μὲν οὖν Μαυρίκιος παρασκευὴν βασιλικὴν Θεοδοσίῳ δίδωσι τῷ παιδί. τοῦ δὲ νέου κυνηγετοῦντος ἀπεριμερίμνως καὶ λίαν ἐπαγωγότερον, παραγίνεται πρέσβυς ὡς αὐτὸν ὑπὸ τῆς Ῥωμαίων μαχίμου δυνάμεως, ἐπιστολήν τε ἐγγεγραμμένην ὑπὸ τοῦ ὁπλιτικοῦ παρέχων Θεοδοσίῳ τῷ παιδὶ Μαυρικίου τοῦ αὐτοκράτορος. ἡ δὲ ἀξίωσις ἦν ἢ αὐτὸν Θεοδόσιον τὴν ἡγεμονίαν τοῦ κράτους ἀναλαβεῖν ἢ Γερμανῷ τὴν αὐτοκρατορικὴν ἐμπορπήσασθαι δύναμιν· μηδὲ γὰρ ἔτι ἀνέχεσθαι ὑπὸ Μαυρικίου τοῦ αὐτοκράτο-
P 207 ρος Ῥωμαίων δυνάμεις ἰθύνεσθαι. γίνεται τοίνυν ταῦτα κατάδηλα Μαυρικίῳ τῷ αὐτοκράτορι. ὁ μὲν οὖν βασιλεὺς ἐπεὶ ταῦτα ἐπέπυστο, μετάγει διὰ γραμμάτων ὡς αὐτὸν παραυτίκα τὸν παῖδα. τῇ δὲ ὑστεραίᾳ περίλυπος ὢν προστάττει ὁ αὐτοκράτωρ Κομεντιόλῳ ἐπιστατεῖν τοῖς περιφρουροῦσι τὰ τοῦ ἄστεος τείχη. τῇ τοίνυν ἐπαύριον ὑπὸ πρώτην ἕω εἰσαγώγιμον τὸν Γερμανὸν ὁ Μαυρίκιος ποιεῖται πρὸς τὰ βασίλεια, καὶ περίδακρυς γεγονὼς τούτων τῶν κακῶν ἔφη τὸν Γερμανὸν πεφυκέναι ὑπόθεσιν. ἦν

21. δὲ] γὰρ IP.

insanit, legatos sine responso dimittit. Mauricius moenia Theodosiana a populo custodiri iubet, quae quidem Theodosium Arcadii imperatoris filium construxisse vetus fama loquitur. paucis ante diebus Germanus, Theodosii filii imperatoris socer, generum suum Callicrateam (locus est ante urbem, perquam, ut verbo complectar omnia, amoenus ac speciosus) equis et vehiculis in venatione se oblectaturum educit, Mauricio apparatum suppeditante. dum iuvenis omni cura expeditus multa cum voluptate venatum exercet, adest ab exercitu legatus, atque ab eo scriptam epistolam ei porrigit, qua petebatur ut aut ipse imperii principatum susciperet aut Germano eundem cederet: militem enim Romanum Mauricii imperia de caetero neutiquam passurum. Mauricius his compertis per litteras ad se filium repente advocat. postero die incredibiliter moestus Comentiolo urbis murorum custodiam commendat. die sequenti bene mane Germanum in palatium accersit, et multis cum lacrimis ipsum horum malorum caput et causam asserit. huius suspicionis

δὲ τῆς ὑπονοίας ταύτης τεκμήριον τὸ δι' ἐπιστολέως τὰς δυνά-
μεις τὸν Γερμανὸν ἐθέλειν βασιλέα ποιήσασθαι, εἶτα τοῦ τετυ-
ραννηκότος πλήθους ἅπασαν τὴν ἵππον τὴν πρὸ τοῦ ἄστεος νε- B
μομένην καταπρονομεύσαντος τὴν Γερμανοῦ ἵππον μόνην ἀδιά-
σπαστον τηρηθῆναι. ἱκανῶς τοίνυν τοῦ Γερμανοῦ ἀπολελογη-
μένου τῷ αὐτοκράτορι, καὶ τὴν τοῦ βασιλέως λύπην μὴ κατευ-
νάζοντος, ὡς ἐν τέλει λέγουσι τὸν Μαυρίκιον φῆσαι "φείδου,
Γερμανέ, τοῦ μηκύνειν τὸν λόγον· οὐδὲν ἥδυτερον τοῦ διὰ ξί-
φους τεθνάναι." ἐπὶ τούτοις ὁ αὐτοκράτωρ ἐπιτείνας τὸ βά-
δισμα μεθίσταται τοῦ παρὰ Ῥωμαίοις λεγομένου σεκρέτου. ἐπεὶ
δὲ ὁ τοῦ αὐτοκράτορος παῖς Θεοδόσιος παρειστήκει χαλεπαίνοντι
τῷ αὐτοκράτορι, ᾤκτειρε τὸν κηδεστὴν κινδυνεύοντα, καὶ μικρὸν
τῆς οἰκείας στάσεως διεξελθὼν ἐξιόντι τῷ Γερμανῷ ἐν ἀποκρύ-
φοις κατεψιθύρισεν, "ἀπόδρα τοῦτον" φήσας, "ὦ ἄνθρωπε· C
θάνατος ἡ ζημία σοι γίνεται." ὁ μὲν οὖν Γερμανὸς διὰ τῆς
λεωφόρου, ἣν μέσην τὰ πλήθη κατονομάζουσιν, ἐς τὴν ἑαυτοῦ
οἰκίαν ἐγένετο, τῷ δὲ δειλιναίῳ καιρῷ τοὺς ὑπασπιστὰς τοὺς
ἑαυτοῦ συναθροισάμενος τῷ ἱερῷ τεμένει τῆς θεομήτορος προσε-
πέλασεν, ὃ Κῦρον τὸν ἐπὶ Θεοδοσίου τοῦ αὐτοκράτορος γεγο-
νότα δείμασθαι λόγος καθέστηκεν ἀψευδής. οὗτος δὲ ἐς ὑπά-
των ἀξίαν τὸ τηνικαῦτα ἀναβεβήκει καιροῦ. τοῦτον ἄνδρα ἀγα-
θὸν ἐς τὰ μάλιστα γεγονέναι φασί, καὶ περὶ τοὺς ἔρωτας τῶν
λόγων σώφρονι μανίᾳ τινὶ ἐπεφύκει. ἡλίου δὲ κλίναντος ἠκηκόει D
Μαυρίκιος τῶν κεράτων τοῦ θυσιαστηρίου κάτοχον τὸν Γερμα-
νὸν γεγονέναι. διὰ τοῦτο Στέφανον τὸν παιδαγωγὸν τῶν ἑαυτοῦ

duo erant argumenta, quod exercitus eum per litteras ad imperium capessendum invitarat, et quod tyranni copiae, cum, quidquid equorum ante urbem pasceret, abegissent, eius duntaxat equis pepercerant. cum pro se Germanus abunde respondisset, nec tamen imperator dolorem lenire potuisset, ad extremum adiecisse Mauricium aiunt "parce, Germane, plura loqui: nihil iucundius quam per gladium emori." post haec secreto, ut Romani appellant, egreditur. quoniam autem Theodosius irato patri aderat, soceri in discrimen dati misericordia captus, paulum de loco secutus, exeunti in aurem insusurrat, fugeret hunc virum (imperatorem), ni occidi vellet. Germanus via publica, quam plebs mediam nominat, domum suam concedit. vesperi coactis satellitibus suis sacrum deiparae templum petit, quod a Cyro Theodosii temporibus esse conditum fama non falsa praedicat. hic tum in consulatus gradum ascenderat; feruntque fuisse virum insigni probitate, liberaliumque disciplinarum cum modesta quadam insania cupidissimum. diei crepusculo cognoscit Mauricius Germanum cornua altaris apprehendisse. quare Stephanum eunuchum, filiorum suorum paedagogum, hominem nobilem

V 282 παίδων (εὐνοῦχος δὲ οὗτος τῶν ἐπιφανῶν τοῦ βασιλέως καὶ λίαν περίδοξος τοῖς ἀνακτόροις) πρὸς τὸν Γερμανὸν ἀφικέσθαι προσέταξεν, ὅπως πειθοῖ ὑπεξαγάγοι τῶν ἱερῶν περιβόλων ἐκεῖνον. οἱ μὲν οὖν περὶ τὸν Γερμανὸν ὡς εἶδον τὸν τοῦ βασιλέως εὐνοῦχον ὑπεξαγαγεῖν τοῦτον ἐθέλοντα τοῦ τῆς θεομήτορος ἱεροῦ, ἀντικαταστάντες ἐξωθοῦσι τὸν Στέφανον, αἰσχίστοις αὐτὸν περιβάλλοντες ὀνείδεσι. νυκτὸς δὲ γεγονυίας ὑπεξέρχεται τοῦ τεμένους ὁ Γερμανός, καὶ πρὸς τὸ μέγα τῆς πόλεως ἱερὸν μετεφοίτησε, τὸ ὑπὸ Ἰουστινιανοῦ τοῦ αὐτοκράτορος λίαν φιλοτίμως καὶ πολυτελῶς ἱδρυμένον· τοῦτο καλοῦσιν ἐκκλησίαν μεγάλην οἱ Βυζάντιοι. ὁ μὲν οὖν Μαυρίκιος ῥάβδῳ ἐμαστίγου τὸν ἑαυτοῦ υἱὸν Θεοδόσιον· ἔφασκε γὰρ τὸ ἀπόρρητον εἰς Γερμανὸν ἐκεῖνον P 208 μεταγαγεῖν. (9) τούτων δὴ πραττομένων, οἱ Ῥωμαῖοι τῆς ὁδοιπορίας ἐχόμενοι Βυζάντιον τὰς ὁρμὰς ἐπιτείνουσιν. ὁ δὲ Γερμανὸς ὁπλίταις συμπεφραγμένος ἀπρὶξ εἴχετο τοῦ ἱεροῦ. ὁ δὲ αὐτοκράτωρ πλῆθος τῶν σωματοφυλάκων ἐξέπεμψεν, ὑπεξαγαγεῖν τοῦ ναοῦ τὸν Γερμανὸν ὀρεγόμενος. ἐντεῦθεν θυμὸς μέγας τῇ πόλει ἐνέσκηψε. πείθεται τοίνυν ὁ Γερμανὸς τοῦ τεμένους ὑπεξελθεῖν. τὸ τοίνυν πλῆθος τῆς πόλεως ἀθροισθὲν περὶ τὰ προαύλια γίνεται τοῦ ἱεροῦ, καί τις ἀνήρ, Ἀνδρέας ὄνομα αὐτῷ, τῶν περὶ τὰς ἱερὰς ἀπασχολουμένων λιτάς, μεγίστῃ φωνῇ κέκραγε "παλινδρόμει πρὸς τὸ ἱερόν, Γερμανέ· τὴν σεαυτοῦ B σῶζε ψυχήν· θάνατός σοι τὸ ἐπαγόμενον." καὶ πείθει τὸν Γερμανὸν μεταφοιτῆσαι πάλιν πρὸς τὰ ἐνδόμυχα τοῦ ναοῦ. τὰ δὲ πλήθη συρρεύσαντα ἐβλασφήμουν εἰς τὸν αὐτοκράτορα, καὶ μεγίσταις ὕβρεσι τὸν Μαυρίκιον ἔβαλλον, τῷ δὲ τῶν Μαρκιαν-

et inter aulicos imprimis conspicuum, eum convenire et persuasum e sacris septis educere iubet. comites Germani videntes quid eunuchus conaretur, resistunt, ipsumque conviciis turpissimis opertum templo expellunt. noctu Germanus se subducit, et in amplissimum urbis templum, a Iustiniano imperatore admodum ambitiose ac sumptuose exaedificatum, quam Byzantii ecclesiam magnam vocitant, porro transit. Mauricius Theodosium fustibus accipit, quod ei arcana sua aperuisset. (9) his ad hunc modum procedentibus, Romani iter aggressi cupiditatem Byzantium intendunt. Germanus armatis septus, templo fixus adhaeret. imperator complures de excubitoribus suis ad eum educendum mittit; unde civitatem ira pervadit. flexus tamen Germanus exire instituit. tum plebs urbana aedis vestibula concursat, et Andreas quidam, sacris precibus in ea vacare solitus, voce altissima exclamat "recurre in templum, Germane; conserva vitam tuam: exitium tibi suadetur." quibus vocibus obsequens in abditiora aedis gradum revocat. tum vulgus coitione facta probris imperatorem lacerat, exquisitisque contumeliis in eum debaccha-

στῶν καταλόγῳ συνέταττον· αἵρεσις δὲ αὕτη μετά τινος μωρᾶς εὐλαβείας εὐήθης τε καὶ καταγέλαστος. σφριγῶντος τοιγαροῦν τοῦ ταράχου, οἱ τὰ τείχη διαφρουροῦντες δημόται τούτων ἀκηκοότες, τῇ φρουρᾷ χαίρειν εἰπόντες ἀναμίγνυνται τῷ λαῷ τῷ στασιάζοντι. πανταχοῦ τοιγαροῦν τῇ πόλει περικυμαίνοντος τοῦ κακοῦ, ἀλογίστῳ ὁρμῇ καταμανῶς τὰ πλήθη τὴν οἰκίαν Κωνσταντίνου τοῦ λεγομένου Λαρδῦ τῷ παμφάγῳ πυρὶ καταφλέγουσιν C. ἀνὴρ δὲ οὗτος ἐτύγχανεν ὢν τῶν ἐς σύγκλητον βουλὴν ἐπιφανέστατος, τήν τε τῶν πατρικίων ἀξίαν περιεβέβλητο οὗτος, καὶ τὴν ἡγεμονίαν τῶν φόρων τῆς ἑῴας πρό τινος καιροῦ ὑπὸ τοῦ αὐτοκράτορος ἀπειλήφει, ὃν ἔπαρχον πραιτωρίων εἰώθασιν ὀνομάζειν Ῥωμαῖοι. τοῦτον ὁ Μαυρίκιος ἐν τοῖς προτερεύουσι τῶν ἀρχόντων ἐκέκτητο. τοιγαροῦν μεσούσης νυκτὸς τὴν βασίλειον στολὴν ἀποδυσάμενος, τήν τε ὑπηρέτιν ὁλκάδα παραστησάμενος (δρόμωνα δὲ ταύτην εἰώθασι τὰ πλήθη ἀποκαλεῖν) καὶ D χρήματα ἐς αὐτὴν ἐκβαλὼν ἅμα τῷ γυναίῳ καὶ τοῖς παισὶν ἐπ' αὐτῆς ἐπιβαίνει, τόν τε Κωνσταντῖνον ἀναλαβὼν πρὸς ἀπόδρασιν εἶδεν. τὰ δὲ πλήθη ἐπὶ τὴν τυραννίδα κατολισθήσαντα κατεπαννυχίζοντο τοῖς κακοῖς, καὶ ἐς τὸν Μαυρίκιον ἐρραψῴδουν μεθ' ὕβρεως ᾄσματα. ἐπέσκωπτόν τε καὶ τὸν ἱεράρχην τὸ τηνικαῦτα καιροῦ, ὃν πατριάρχην σύνηθες Ῥωμαίοις ἀποκαλεῖν· Κυριακὸς ὄνομα αὐτῷ. τῷ ὄντι γὰρ τὸ πλῆθος ἀπαίδευτον καὶ πρὸς τὸ χεῖρον ταῖς τροπαῖς ἐμμανές, δυσνουθέτητόν τε καὶ τοῦ συνοίσοντος λίαν ἀμύητον. λαίλαπος τοιγαροῦν γεγονυίας με- P 209

tur, et Marcionistis aggregat; quae est haeresis cum quadam fatua religione stolida et deridicula. fervente igitur tumultu, plebeii, qui muros custodiebant, his auditis, deserta custodia tumultuantibus sese immiscent. itaque malis urbem undique instar fluctuum inundantibus, plebeia multitudo caeco impetu et furore incitata Constantini Lardys aedes igne iniecto perdit. erat hic vir e senatu illustrissimus et patricia dignitate cohonestatus; et antea tributis Orientalibus recipiendis (quem praefectum praetorio Romani nominare solent) ab imperatore praepositus, et inter primos principes habitus. in hoc rerum statu Mauricius medio noctis vestem augustalem exuens et privatam induens, dromone, ut vocatur, conscenso et grandi pecunia illata, una cum uxore liberisque et Constantino fugam inivit. cui vulgus, ut tyranno, tota nocte male dicere non cessavit, cantilenis etiam in eum per contumeliam compositis. scommatis item in Cyriacum hierarcham sive patriarcham, ut Romanis appellare mos est, insultabant. sane multitudo popularis imperita est, et rebus mutatis deteriora furiose complectens admonitiones respuit; et quid conducibile sit, prorsus non intelligit. procella igitur notis immane

γίστης, ἐξαισίου τε νότου προσπνεύσαντος, μόλις ὁ Μαυρίκιος
διασώζεται ἐπὶ τὸν νεὼν Αὐτονόμου τοῦ μάρτυρος, ὡς ἀπὸ στα-
δίων ἑκατὸν καὶ πεντήκοντα τῆς πόλεως Κωνσταντίνου τοῦ αὐ-
τοκράτορος. ἐπιγίνονται δὲ αὐτῷ νόσοι ἀρθρίτιδες. ταύτης
V 283 δὲ τῆς νόσου ἀσθένεια καθέστηκε δυστυχὴς τοῖς τὸ βασίλειον
ἄστυ κατοικοῦσι διὰ παντός· τὰς δὲ αἰτίας οὐ δίειμι, ἵνα μὴ
τὴν ἱστορίαν παραμορφώσωμαι. τότε Μαυρίκιος ἐξαποστέλλει
B τὸν Θεοδόσιον ὡς τὸν Χοσρόην γενέσθαι καὶ περὶ συμμαχίας κα-
θικετεῦσαι τὸν βάρβαρον, ἀναμιμνήσκειν τε καὶ ὅσα περ αὐτῷ
δυστυχήσαντι Μαυρίκιος διελύσατο, ἀξιοῦν τε ἀμοιβαίαν τὴν
χάριν ἀντιταλαντεύεσθαι, ὅλης ὁμοῦ τῆς οἰκίας ἐν μεγίστῳ κα-
ταπεπτωκυίας κινδύνῳ. ὑπεδείκνυε δὲ καὶ τὸν δακτύλιον ὁ
Μαυρίκιος, παρενεγγύα τε μηδαμῶς ποιήσασθαι τὴν ἀνάζευξιν,
εἰ μή πού γε αὖθις θεάσοιτο τὸν δακτύλιον. οὕτω μὲν οὖν ὁ
Θεοδόσιος ἐπὶ τὴν Νίκαιαν γίνεται. ἀλλὰ καὶ συνέκδημος γίνε-
C ται αὐτῷ Κωνσταντῖνος, ὃν τὰ πλήθη Λαρδὺν κατωνόμαζον.

Κατὰ ταύτην τὴν νύκτα ἀνὴρ δημότης ἐπίσημος (Ἑβδομί-
της δὲ ἦν αὐτῷ τὸ ἐπώνυμον) καὶ ἕτεροι τοῦ χλοάζοντος χρώμα-
τος ἐρασταὶ τὰς πύλας τοῦ τείχους ἀναπετάσαντες πρὸς τὸν τύ-
ραννον παραγίνονται. ὁ δὲ Γερμανὸς ἐς βασιλείας καταπεπτω-
κὼς ἔρωτα, καὶ Θεόδωρον (σιλεντιαρίου δὲ οὗτος στρατεύματι
D ἐκεκόσμητο) πρὸς τὸν Σέργιον ἔπεμπε (κατ' ἐκεῖνο δὲ καιροῦ οὗ-
τος ὁ Σέργιος δήμαρχος ἐτύγχανεν ὢν τῆς Πρασίνων πληθύος),
καὶ ἠξίου ὑπὸ τοῦ δήμου τὸν βασιλικὸν ἀναδήσασθαι στέφανον

frementibus excitata, Mauricius aegre ad aedem martyris Autonomi vivus evadit; qui locus Cpoli circiter centum et quinquaginta stadiis abest. praeterea articulorum doloribus corripitur; cuius morbi misera imbecillitas urbem imperialem incolentibus semper infesta est. causas disserere nolo, ne quid historiae facies immutetur. mittitur a Mauricio ad Chosroen Theodosius, qui et auxilium supplex roget, et regem commonefaciat quantum durissimis temporibus suis praesidium ab eo auxiliumque senserit, tantorumque beneficiorum remunerationem aliquam postulet, quandoquidem cum universa domo in extremum praecipitatus sit discrimen. ostendit porro annulum, cohortando ne ullo modo redeat, nisi eundem rursus conspexerit. sic Theodosius Nicaeam defertur, quem Constantinus Lardys comitatur.

Eadem nocte vir plebeius et egregius, cognomento Hebdomites, aliique Prasinae factionis moenibus egressi ad tyrannum se conferunt. caeterum Germanus regnandi desiderio incensus Theodorum Silentiarii honore ab exercitu donatum ad Sergium, qui per id tempus Prasinorum tribunum agebat, rogatum mittit, ut eius opera certis conditionibus et pactis, quae simul scripta mittebat, liceret sibi a populo diadema im-

ἐπὶ συνθήκαις τισὶ καὶ ὁμολογίαις ἐγγράφοις. ὁ μὲν οὖν Σέργιος ἐξ ἑωθινοῦ πρὸς τοὺς κορυφαιοτέρους τοῦ δήμου τοὺς λόγους τοῦ Γερμανοῦ μετωχέτευσεν. δυσανασχετοῦσι τοίνυν οἱ λεγόμενοι Πράσινοι, καὶ τὴν ἀξίωσιν ἀποπέμπονται, φάσκοντες "οὐκ ἂν μεταβολὴν τῆς αἱρέσεως ὁ Γερμανὸς ποιήσηται πώποτε, οὔτε μεταθήσοι τὸ δόγμα διὰ τὸ ἐς ἄγαν ἐμπαθῶς διακεῖσθαι περὶ τὴν τῶν λεγομένων Βενέτων προσπάθειαν." οὕτω μὲν οὖν οἱ Πράσινοι τοῦ Γερμανοῦ τὰς ἐλπίδας ὤβέλισαν· ἐπεὶ δὲ ὁ Γερμανὸς διητύχησε τοῦ βουλήματος, περὶ τὴν τοῦ τυράννου μετεχώρησεν εὔνοιαν, καὶ προσκυνεῖ πρὸς ὃν ἡ τύχη ὡς ἔπος εἰπεῖν μεταβέβηκεν.

10. Οἱ δὲ Πράσινοι εἰς τὸ λεγόμενον Ῥήγιον γίνονται, P 210
καὶ ταῖς εὐφημίαις τὸν τύραννον μεγαλύνουσι, καὶ πείθουσιν ἐν τῷ λεγομένῳ Ἑβδόμῳ (τόπος δὲ οὗτος τοῦ ἄστεος ἀπὸ σημείων ἑπτὰ) τὸν Φωκᾶν ἀφικέσθαι. κατ' αὐτὴν τὴν ἡμέραν ὁ τύραννος τὸν ἀσηκρήτοις Θεόδωρον, τῶν βασιλικῶν ταχυγράφων ἄνδρα ἐπίσημον, ἐν τῇ λεγομένῃ ἐκκλησίᾳ μεγάλῃ ἐκπέπομφεν, ὅπως οἱ Βυζάντιοι λαοὶ τὸν ἱεράρχην τήν τε σύγκλητον ἀναλαβόμενοι ὡς αὐτὸν παραγένωνται. ὁ μὲν οὖν Θεόδωρος ἀφικόμενος ἐπὶ τὸ μέγα τέμενος τῆς πόλεως τὸ ὑπὸ Ἰουστινιανοῦ τοῦ αὐτοκράτορος ἱδρυμένον, ἀνεὶς ἐπὶ τῶν βημάτων τῶν ὑψηλῶν (ἄμβωνα ταῦτα τὰ πλήθη ἀποκαλεῖ) τὸ τοῦ τυράννου πρόσταγμα B
τῷ λαῷ μεταδίδωσι. πάντων τοιγαροῦν γενομένων πρὸς τὸν Καλυδώνιον τύραννον, τὸν τῆς σώφρονος ἀλουργίδος ἀσελγέστατον Κένταυρον (πρέπει γὰρ οὕτω τὸν Φωκᾶν ὀνομάζεσθαι), ἔδο-

peratorium consequi. Sergius prima luce ad populi primores de Germani petitione refert. Prasini moleste ferunt, petitioneque relecta Germanum nunquam factionem permutaturum neque a placito suo discessurum autumant, quia Venetae factioni modis omnibus sit deditissimus. sic Prasini spes Germani confoderunt. qui, postquam res secus ivit quam voluisset, ad tyranni amicitiam conversus, cui fortunam videbat propitiam, ut verbo dicam, eum adoravit.

10. Prasini Rhegium venientes tyrannum faustis acclamationibus beant, auctoresque illi sunt ut in Septimum (locus ab urbe septem millibus abest) progrediatur. eodem die tyrannus Theodorum a secretis, inter celeres scribas seu actuarios imperatoris virum clarissimum, in magnam, ut dicitur, ecclesiam populum Byzantium una cum hierarcha et senatu ad se vocatum mittit. Theodorus templum urbis amplissimum a Iustiniano Augusto constructum ingressus, excelsos gradus sive ambonem vulgo dictum ascendit, tyranni mandatum palam edictat. universis igitur profectis ad tyrannum Calydonium, ad Centaurum in modesta purpura protervissimum (his quippe nominibus Phocam par est afficere),

ξεν ὁ μιξοβάρβαρος τύραννος κατειρωνευόμενος Γερμανὸν ἀνα-
γορεύειν ἐθέλειν. τῶν τοίνυν δήμων κατευφημούντων τὸν τύ-
ραννον, καὶ πάντων τῆς μεταβολῆς γλιχομένων, ἀναγορεύεται
τὸ κακόν, καὶ κύριος τῶν σκήπτρων ὁ τύραννος προχειρίζεται,
καὶ κρατεῖ τῆς εὐδαιμονίας ἡ συμφορά, καὶ λαμβάνει τὴν ἔναρ-
ξιν τὰ μεγάλα καὶ ἐπίσημα τῶν Ῥωμαίων ὡς ἔπος εἰπεῖν ἀτυχή-
C ματα. περιβάλλεται τοίνυν τὸν βασίλειον στέφανον ὁ πα-
λαμναῖος ἐκεῖνος ἀνὴρ ἐν τῷ νεῷ τοῦ προφήτου καὶ βαπτιστοῦ
V 284 Ἰωάννου. τῇ δ' ὑστεραίᾳ ἐπιβαίνει τῆς πόλεως, ἐφιζάνων ἁρ-
μαμάξης βασιλικῆς. οὕτω μὲν οὖν ἐπιφανῆ καὶ περίδοξον τὴν
εἴσοδον ἐπὶ τὰ βασίλεια τεθρίππῳ λευκῇ ὁ τύραννος ἐποιήσατο,
καὶ οἷα νεφέλην χρυσῆν ὑετίζουσαν τῶν βασιλικῶν θησαυρῶν ἐκ-
πομπὴν τοῖς ἐντυγχάνουσι κατομβρίσατο. πολλοὶ δὲ παρὰ τῶν
δήμων κρότοι εὐχαί τε καὶ εὐφημίαι τοῖς ὠσὶ τοῦ τυράννου περι-
D κέχυντο. ἐπεὶ δ' εἰσήρρησεν εἰς τὰ βασίλεια, πανηγυρίζει τὰ
πλήθη, ἱππικοῖς ἀγῶσι τὴν δυστυχῆ ταύτην ἀναγόρευσιν ἑορτά-
ζοντα. τῇ δ' ὑστεραίᾳ ἐπιβατήρια τῶν σκήπτρων τοῖς στρατεύ-
μασι δῶρα παρείχετο. ὑπῆν δὲ τῷ τυράννῳ καὶ γύναιον (Λεον-
τία ὄνομα αὐτῷ)· ταύτῃ στέφανον βασίλειον περιτίθησιν. ἐπεὶ
δὲ καὶ πομπαῖς εἴθισται τοῖς αὐτοκράτορσι τοὺς ὁμοζύγους ἀνα-
γορεύειν, ἐπιφανῶς τιμήσας τὸ ἔθος ὁ τύραννος τὴν Λεοντίαν
P 211 βασίλισσαν ἠξίου θριαμβεύειν. γίνεται τοίνυν κατὰ ταύτην τὴν
ἡμέραν τοῖς δημοτικοῖς περὶ τῆς στάσεως ἅμιλλα. ἦν γὰρ αὐ-

13. ἐκτυγχάνουσι IP.

visus est semibarbarus et simulavit se velle Germanum imperatorem declarare. sed enim populo illi applaudente omnibusque res novas exposcentibus, promulgatur pestis illa, et sceptri dominus tyrannus deligitur, obtinetque felicitatem calamitas, et ingentia atque insignia Romanorum detrimenta, ut summatim dicam, procedere incipiunt. itaque corona in aede Ioannis Baptistae et Prophetae homo consceleratus induitur; ac postridie imperatorio in curru, quadrigis albis, splendida et magnifica pompa urbem et palatium init, e thesauris imperatoriis, velut ex aurea nube passim imbrem spargens aureum. multis tum populi plausibus, multis complurium votis et gratulationibus eius aures circumsonuerunt. fit concursus ad regiam, equestria certamina instituuntur, et infelicis huius creationis dies festus agitatur. postridie propter initum imperium congiarium dat militibus. habebat uxorem vocabulo Leontiam tyrannus: huius caput corona imperatoria cingit. quia vero imperatores coniuges suas publice et solenni cum apparatu Augustas pronuntiare consueverant, consuetudinem eam tyrannus insigniter colens Leontiae pompam ac triumphum parandum indicavit; quo die populares de loco stationis liti-

τοῖς ἡ περὶ τῶν τόπων θέαις ἐπίμαχος· τῶν Πρασίνων γὰρ ἐθελόντων ἐν τῷ λεγομένῳ Ἀμπελίῳ (προαύλιον δὲ τοῦτο τῆς βασιλέως οἰκίας) τὴν στάσιν ποιήσασθαι καὶ τὴν βασιλίδα τοῖς εἰωθόσι κρότοις ὑμνεῖν, ὁ τῶν Βενέτων δῆμος ἀντέλεγεν· ἔδοξε γὰρ αὐτοῖς ἄηθες τοῦτο πεφυκέναι καὶ ξένον. μεγίστου τοιγαροῦν γενομένου ταράχου, τὸν Ἀλέξανδρον εἰσπέμπει ὁ τύραννος κατευνάσαι τῶν ἀμφισβητουμένων τὴν ἔριν. ἦν δὲ οὗτος ὁ Ἀλέξανδρος ἀνὴρ πονηρός, τῶν καταστασιασάντων Μαυρικίου τοῦ αὐτοκράτορος λίαν ἐπίσημος. ὁ μὲν οὖν Κοσμᾶς ὁ τὴν δη- B μαρχικὴν περικείμενος ἐπιστασίαν Ἀλεξάνδρου τοῖς λόγοις ἀντέτεινεν. ὁ δὲ Ἀλέξανδρος γαῦρον καὶ τυραννικὸν κεκτημένος τόλμην ὕβρισιν ἔβαλλε τὸν Κοσμᾶν, εἶτα καὶ χεῖρα ἐπὶ τὸ στέρνον ἐπιβαλὼν τοῦτον ἐξώθησεν· ὁ δὲ Κοσμᾶς ὑπὸ τῆς ὠθήσεως ἀνατρέπεται. ἐπὶ τούτοις οἱ Βένετοι χαλεπαίνοντες κατὰ τοῦ Ἀλεξάνδρου ἐξώθουν δημώδεις βοάς. ἃ δ' εἶπον ἐκεῖνα ταῦτά γε (καλὸν γὰρ καὶ τῆς ἰδιώτιδος φωνῆς μνήμην ποιήσασθαι) "ὕπαγε, μάθε τὴν κατάστασιν· ὁ Μαυρίκιος οὐκ ἀπέθανεν."

(11) ὁ δὲ τύραννος τούτων ἀκηκοὼς ἀποπαύει τὰ πλήθη καθυ- C λακτοῦντα περὶ τῶν καιρίων, τῇ δ' ἐπαύριον πρὸς τὸν φόνον τοῦ αὐτοκράτορος ἐκβακχεύεται. τοιγαροῦν ὁ Μαυρίκιος τῷ μεταμέλῳ φιλοσοφήσας τὸν κίνδυνον, τὸν δακτύλιον πέμπει Θεοδοσίῳ τῷ παιδὶ ἐπιβεβηκότι Νικαίας τῆς πόλεως, ἀναζεῦξαί τε πρὸς αὐτὸν θᾶττον προσέταξεν. οὕτω μὲν οὖν Θεοδόσιος γεγονὼς πειθήνιος τῷ πατρὶ πρὸς τὰς συμφορὰς ηὐτομόλησε, καὶ φιλυπόστροφος γεγονὼς πρὸς ἀποσφαγὴν παραγίνεται. τοίνυν ὁ

garunt. nam cum Prasini in Ampelio, quod est regiae vestibulum, stationem habere ibique Augustam solitis plausibus excipere vellent, repugnabat Venetorum populus, cui istuc insuetum et peregrinum videbatur. tumultu igitur maximo exorto, tyrannus ad controversiam componendam Alexandrum mittit, hominem perversum et inter seditiosos adversus Mauricium nobilem. ei Cosmas Venetorum tribunus se obiicit. Alexander superbus et tyrannica praeditus audacia Cosmam contumeliis lacessit, manuque in pectus adacta eum propellit. Veneti irascentes clamorem communiter tollere in verba huiuscemodi (placet enim et privatae vocis meminisse) "apage, cognosce rerum statum melius: adhuc vivit Mauricius." (11) tyrannus his cognitis populum de praerogativa loci dissidentem et mutuo allatrantem tranquillat, ac die postero ceu furore quodam bacchico stimulatus caedem Mauricii parturit. is actorum suorum poenitens, et periculum supra caput sapienter considerans, Theodosio filio, qui iam Nicaeam pervenerat, annulum transmittit atque ad se celeriter reverti iubet. Theodosius patris imperata faciens ad calamitatem

D *τύραννος στρατιωτῶν ἐκπέμψας ἐς τὸ ἀντιπέρας τῆς βασιλίδος*
τῶν πόλεων, ἐν ᾗ καὶ ἡ Χαλκηδόνος πόλις καθίδρυται, ἀναι-
ρεῖ τὸν Μαυρίκιον εἰς τὸν λεγόμενον Εὐτροπίου λιμένα. προα-
ναιροῦνται ἐπ' ὄψεσι τοῦ βασιλέως οἱ παῖδες οἱ ἄρρενες, ἐντεῦ-
θεν τῷ τῆς φύσεως ξίφει τῷ φόνῳ τῶν παίδων προκολάζοντες
οἱ φονευταὶ τὸν Μαυρίκιον. ὁ μὲν οὖν Μαυρίκιος φιλοσοφῶν
τὸ δυστύχημα τὸν ἐπὶ πάντων ἀνεκαλεῖτο θεόν, καὶ πυκνότερον
ἀπεφθέγγετο "δίκαιος εἶ, κύριε, καὶ δικαία ἡ κρίσις σου." γί-
νεται γοῦν καὐτὸς παρανάλωμα ξίφους, ἀποτομὴν τῆς κεφαλῆς
P 212 *ὑποστάς, ἐπιτάφιον ὥσπερ τῶν τέκνων τὴν ἐς ὕστερον ἑαυτοῦ*
ἀναίρεσιν κληρωσάμενος, προεπιδειξάμενος τὴν ἀρετὴν ἐν τῷ με-
V 235 *γέθει τῆς συμφορᾶς. τῆς γὰρ τιθήνης ὑποκλεψάσης ἕν τι τῶν*
βασιλικῶν μειρακίων, καὶ πρὸς ἀποσφαγὴν τὸ ἑαυτῆς ὑπομά-
ζιον παραδούσης, κηρύττει λόγος ἀληθὴς Μαυρίκιον τὸ ἀπόρ-
ρητον ἐξειπεῖν τοῖς φονεύουσι, καταμηνῦσαί τε τὴν ἀποκρυφὴν
τοῦ παιδός, καὶ μὴ δίκαιον εἶναι κατισχυρίζεσθαι τὸν φόνον
παρανοθεύεσθαι τῇ ὑποκλοπῇ τοῦ υἱοῦ. οὕτω μὲν οὖν ὁ βασι-
λεὺς καὶ νόμου φύσεως ὑψηλότερος γεγονὼς ὑπαλλάττει τὸν βίον.
B *λέγεται δὲ τὸν βασιλέα Μαυρίκιον πρό τινων τῆς ἀναιρέσεως χρό-*
νων ἐν τοῖς σεβασμιωτέροις τῆς οἰκουμένης ναοῖς ἐν γράμμασι
καθικετεῦσαι τὸν ἕνα τῆς ὑπερκοσμίου τριάδος Χριστὸν Ἰησοῦν
τὰς ἀντιδόσεις τῶν βεβιωμένων κατὰ τοῦτον δῆτα τὸν θνητὸν
καὶ ἐπίκηρον κόσμον ἀπολαβεῖν.

transfugit, libenterque reversus ad mactationem adest. tyrannus emissis militibus e regione principis urbium, ubi Chalcedon condita visitur, in portu Eutropii Mauricio vitam eripit, prius eo spectante maribus eiusdem filiis iugulatis. in qua filiorum iugulatione prius eum naturae gladio homicidae illi cruciaverunt. qui casum hunc infelicissimum, ut sapienti decorum est, perferens, rectorem omnium deum clara voce, ut exaudiri posset, appellabat et crebrius alloquebatur, "iustus es, domine, et rectum iudicium tuum." deinde et ipse amputato capite consumitur, necem suam quae consecuta est, velut epitaphium filiis condens; cuius virtus ante in summa calamitate enituit. nam cum nutrix unum de puerulis imperatoriis suffurata suum adhuc lactentem pro eo iugulandum subiecisset, ferunt, quod res est, Mauricium percussoribus arcanum detexisse occultationemque pueruli indicasse, et minime iustum esse affirmasse, ista subtractione sui filii germanam caedem quasi adulterari atque corrumpi. hunc in modum imperator ipsis naturae legibus superior factus vitam hanc cum alia mutavit. auditione accepimus insuper eum aliquanto ante caedem scriptis litteris per omnia augustiora orbis templa pias preces ad Christum dominum, unam e coelesti trinitate personam, efflagitasse, ut eorum quae deliquisset in hac mortali et caduca vita poenas ab se reposceret.

Οὐ παρώσομεν δὲ καὶ τὰ περὶ τῆς λεγομένης αὐτοῦ διαθήκης ταῖς ἱστορίαις συντάξασθαι. κατὰ γὰρ τὴν ἔναρξιν τῆς βασιλείας Ἡρακλείου τοῦ αὐτοκράτορος χάρτης σφραγῖσιν ἐνειλημένος εὑρέθη Μαυρικίου τοῦ αὐτοκράτορος, ἐν ᾧ ἐτύγχανεν ὢν διαθέμενος ἅπερ ἦν αὐτῷ μελετήματα μετὰ τὴν ἀποβίωσιν προελθεῖν· νόσῳ γὰρ χαλεπῇ περιπεπτωκὼς ὁ Μαυρίκιος τῷ πεντεκαιδεκάτῳ ἐνιαυτῷ τῆς αὐτοκρατορικῆς ἐξουσίας ἐν γράμμασι διετύπου τὸ κράτος. τὸν μὲν Θεοδόσιον τὸν πρεσβύτερον C παῖδα τῆς Κωνσταντίνου πόλεως κύριον καταστήσας τὰς ἑῴας φροντίδας αὐτῷ περιτίθησι· τὸν δὲ Τιβέριον τῆς πρεσβύτιδος Ῥώμης βασιλέα διέθετο, τήν τε Ἰταλίαν καὶ τὰς περὶ τὸ Τυρρηνικὸν πέλαγος νήσους τούτῳ ἀπέδοτο· τὰ δ' ἄλλα τῆς Ῥωμαίων πολιτείας τοῖς ἑτέροις παισὶ κατετεμαχίσατο, κηδεμόνα τῆς ἀώρου τῶν παίδων ἡλικίας Δομετιανὸν προστησάμενος, ὃς πρὸς γένος τῷ Μαυρικίῳ συνήπτετο. οὗτος τῆς ἐπιφανοῦς τῶν Μελιτηνῶν ἐκκλησιῶν τὴν ἀρχιερατικὴν τιμὴν ἐπεφέρετο, ἀνὴρ δεξιὸς τὴν πρᾶξιν, δεξιώτερος τὴν προαίρεσιν· καὶ οὖν μεγαλονοίᾳ D συνέσεως τῆς Ῥωμαίων πολιτείας τὰς ἐπισημοτέρας τῶν πράξεων ὑπὸ τοῦ αὐτοκράτορος ἐπεπίστευτο. περὶ μὲν οὖν τῆς ἀρετῆς τοῦ ἀνδρὸς οὐ τοῦ παρόντος καιροῦ τελεώτερον τὸν λόγον τεκταίνεσθαι· ἵνα δὲ μὴ τὸν περὶ τούτου λόγον παχύνοντες τοῖς καιριωτέροις τῶν ἀφηγημάτων ἀπρόσφορον τὴν ἀναβολὴν περιβάλωμεν, ἐπὶ τὰ προσεχῆ τῆς διηγήσεως φέρε τὴν συγγραφὴν οἰακίσωμεν.

12. Τὰ μὲν οὖν σώματα τῶν τεθνεώτων ἐπίδακρυ παί- P 213 γνιον τοῖς τῆς θαλάσσης ἀκοντίζονται κύμασι· καὶ ἦν ἰδεῖν τὸ

Non omittemus etiam illa huic historiae adscribere, quae de eius testamento dicuntur. imperium ineunte Heraclio tabellae involutae et obsignatae inventae sunt, in quibus conscripta patebant quae post suum ex hac luce discessum fieri vellet. nam cum imperii sui anno quintodecimo in morbum difficilem esset lapsus, de imperio constituit et in litteras constituta redegit. Theodosium filiorum natu maximum Cpolis dominum fecit, cum administratione Orientis. Tiberio Romam veterem cum Italia et insulis in mari Tyrrheno decrevit. caeteras Romanae ditionis provincias inter reliquos filios distribuit, iisque aetate adhuc immaturis Domitianum cognatum suum, nobilis ecclesiae Melitenensis antistitem, virum rebus agendis dextrum, consilio dexteriorem, tutorem designavit; quamobrem imperator maioris momenti negotia ei expedienda ob eximiam prudentiam committebat. sed de virtute huius viri nihil nunc quidem attinet agere pluribus. ne igitur super eo orationem extendentes, quae opportunius narrari possunt, inutiliter differamus, age, ad consequentia stilum dirigamus.

12. Occisorum corpora, flebile ludibrium, fluctibus marinis obiecta sunt. licebatque videre recens neci data nunc ad littus quasi data opera

ῥεῖθρον ὡς ἔπος εἰπεῖν τὸ θαλάττιον ποτὲ τῇ χέρσῳ τὰ νεοσφαγῆ φιλοτιμούμενον σώματα, ποτὲ φιλυποστρόφοις τισὶν ἀντωθήμασι πρὸς τὴν ὑποδεξαμένην ἐναγκαλιζόμενον θάλατταν. θεατρίζεται τοίνυν τοῖς ὄχλοις τὰ τῆς βασιλικῆς συμφορᾶς, εἰπεῖν δὲ μᾶλλον οἰκειότερον, τὰ περὶ τὴν οἰκουμένην συμπτώματα. οἵ τε τῆς Χαλκηδόνος αἰγιαλοὶ ἐπληροῦντο τῶν ὄχλων, καὶ τῆς ἑαυτῶν ἀνοίας τὴν ἱστορίαν ἐλάμβανον, πίνακας δυστυχημάτων τινὰς τὰ τῆς θαλάττης ἀτενίζοντες κύματα, γυμνὰ τὰ τῶν βα-
B σιλέων σώματα θεατρίζοντα. τούτων δῆτα ὑπὸ τοῦ συγγραφέως ᾀδομένων ἐπὶ τοῦ βήματος τῆς τυραννίδος ληξάσης πληροῦται δακρύων ὁ ξύλλογος, μονονουχὶ ἐπ' ὄψεσι πάντων εἶναι δοκούντων τῶν βασιλικῶν συμφορῶν. διά τοι τοῦτο ὁ τῆς ἱστορίας
V 286 πατήρ, τὸ ἀκροατήριον θεασάμενος ἅπαν ὑπὸ τῶν δακρύων περιρρεόμενον διὰ τῶν θρήνων, ἐγκοπὴν τοῖς ἀφηγήμασιν ἐμβαλὼν αὐτοσχεδίοις τισὶν ὀδυρμοῖς, τάδε τοῖς συνεληλυθόσι παρέθετο.

C Θέατρον καὶ βῆμα καὶ παρρησία συμπενθείτω μοι σήμερον. πανηγυριζέτω δὲ τραγῳδία καὶ δάκρυον. ἐξαλλέσθω δὲ κατορχούμενος θρῆνος, τηλικαύτης κατηφείας ἑορτῇ θρησκευόμενος καὶ τιμώμενος. ἀποκειράσθωσαν οἱ λόγοι τὸν κρότον, τὴν εὐφημίαν αἱ μοῦσαι, τὸ λευκὸν Ἀθῆναι τριβώνιον. χηρεύουσι γὰρ ἀρεταί, καὶ τὸν ἑαυτῶν ἀναζητοῦσιν ἡνίοχον, ῥαγδαίου φθόνου τινὸς τὸν ἐκείνου διαρρήξαντος ἄξονα. ἄνδρες

17. Titulum addunt IP: *Μονῳδία τοῦ συγγραφέως ἐπὶ τοῖς τῷ Μαυρικίῳ συγκεκυρηκόσιν.*

appelli, nunc reciproco fluctu complexa, rursum in mare abripi. casus igitur calamitatis imperatoriae seu, ut verius dicam, totius orbis, ceu in theatro spectandi argumentum populo praebuerunt. complebantur Chalcedonis littora spectantium turbis, cognoscebantque ibi quid effecisset popularis amentia, fluctus marinos nuda imperatorum corpora ostentantes, tanquam tabulas quasdam infortuniorum miseriarumque, contemplantes. cum ista historicus de loco superiore sublato iam tyranno Phoca recitasset, concio se in lacrimas effudit, quasi oculis ipsis tantam imperatorum calamitatem aspiceret. quocirca cum totum conventum in fletus et lamenta solutum cerneret, intercisa narratione, extemporanea quadam lamentatione haec ad auditores insuper est prolocutus.

Monodia scriptoris super his quae Mauricio contigerunt.

Theatrum, suggestus et licentia hodie mecum lugeant. tragoedia et lacrimae diem festum agant. lamentum tantae moestitudinis festo cultum et honoratum exiliat ac tripudiet. applausus praecidantur. desinant praedicare Musae. album pallium deponant Athenae. viduae ac desertae sunt virtutes, suumque aurigam requirunt, cuius currum impetus

θεαταί, ἀλλ' εἴθε μὴ τηλικούτων κακῶν γεγόνατε μάρτυρες. Ἰλιὰς κακῶν ἡ ὑπόθεσις, Ἐριννύες τῷ λόγῳ χορός. ἡ δὲ σκηνή D μοι τοῦ δράματος τάφος ἐπίσημος....

Ὁ μὲν οὖν Λίλιος (οὗτος γὰρ ὑπὸ τοῦ τυράννου τὸν τοῦ αὐτοκράτορος ἐπεπίστευτο φόνον) διαπορθμεύει τὰς τῶν ἀνῃρημένων πρὸς τὸν τύραννον κεφαλάς. εἶτα πρὸς τὸ πεδίον τὸ ἀνακείμενον ἐν τῷ λεγομένῳ Ἑβδόμῳ, ὃν Κάμπον Ῥωμαῖοι κατονομάζουσι, ταῖς τυράννοις στρατιαῖς τὴν τῶν βασιλέων στηλιτεύει ἀναίρεσιν. ἔδει γὰρ τοῦ μύσους καὶ διὰ τῆς θεωρίας μετασχεῖν P 214 τὸ ἀφιλάνθρωπον στράτευμα, ἵνα καὶ πάντας τοὺς ἐπὶ τούτῳ καταμανέντας ἡ μισοπόνηρος τοῦ θεοῦ καὶ ἀδέκαστος κρίσις τοῖς τῆς ἀντιδόσεως σαγηνεύσῃ δικτύοις. ἅπαντες γὰρ οἱ τῶν παλαμναίων στρατοπέδων ἐκείνων μεγίστοις τε καὶ ποικίλοις περιπεπτωκότες κακοῖς τὸν τῇδε βίον κατέλυσαν. τοῦ Περσικοῦ γὰρ λαβόντος παρρησίαν πολέμου, θεηλάτοις τισὶν ἀπειλαῖς τῶν κακῶν ἐπιχείρων ἐκείνων κατεκληροδοτήσαντο τὴν ἀντίδοσιν, ποτὲ μὲν πυρὶ οὐρανόθεν βαλλόμενοι κατὰ τὴν τῆς παρατάξεως ὥραν, ἄλλοτε λιμοῖς καὶ προνομῇ ἀναλισκόμενοι· οἱ δὲ πλεῖστοι στόματι ῥομφαίας καὶ ξίφους παραδιδόμενοι τὴν φιλάμαρτον ταύτην ζωὴν κατεστρέψαντο, καὶ οὐ πρότερον Πέρσας τὰ τῆς νίκης B ἀπέλιπε, πρὶν ἂν εἰς τὸ παντελὲς διεφθάρῃ ἡ φιλοτύραννος ἐκείνη καὶ ἀνοσιωτάτη πληθύς. ἱκανὸν δὲ τῷ τεκμηριῶσαι τὸ λεχθησόμενον· διὰ γὰρ τοῦ λόγου τὴν πίστευσιν τὴν συνέχειαν τῶν παρηκολουθηκότων μικρὸν ὑποκλέψομεν. ὁπηνίκα πρὸς τὸν

quidam invidiae disrupit. utinam auditores ne tantorum malorum testes essetis. Iliade incommodorum laboramus. Erinnyes chori partes agunt. illustris tumulus est mihi scena dramatis.

Caetera huius monodiae, ut auctor appellat, desiderantur.

Lilius igitur trucidationi huic imperatoris a tyranno praepositus occisorum capita ad eum apportat. deinde in Campo tyrannicis militibus imperatorum caedem propositis ad spectaculum capitibus promulgat. oportebat enim detestandi sceleris etiam spectando participem fieri crudelem immanemque exercitum, ut ita omnes qui in eo perpetrando insanivissent, dei iudicium, cui odio est improbitas omnis, quodque nullis muneribus corrumpi potest, idem retributionis rete involveret. omnes quippe de copiis illis sanguinariis summis et diversis aerumnarum generibus impliciti disperierunt. nam Persis denuo ad armorum sumendorum libertatem redeuntibus, deo vindice, quae male ausi fuerant, eorum poenas meritas persolverunt, aliisque in conflictu, aliis fulminum ignibus, aliis fame et servitute perditis, plurimi in ore gladii vitam hanc peccatis obnoxiam finiverunt. nec prius Persae victorias referre desierunt, quam tyranni studiosus ille sceleratissimusque exercitus funditus consumptus est. cui rei satis argumenti conciliat, quod subiungemus: nam

Ῥαξάτην τὸν πόλεμον ἐποιήσατο αὐτοκράτωρ Ἡράκλειος, ἐξέτασιν τοῦ ὁπλιτικοῦ ἀνακρίνας δύο καὶ μόνους στρατιώτας τῆς φιλοτυράννου πληθύος ὑπολελειμμένους ἐξεῦρε, καίτοι μὴ πολλῶν μεσολαβησάντων τῶν χρόνων. ἐπεὶ δὲ ἐνεόχμωσεν ἑτέρας ὁ χρόνος δυνάμεις τό τε κακὸν κατανάλωτο, τὰ τῆς εὐπραγίας με-
C ταπίπτει τοῖς Πέρσαις, καὶ ἀναιρεῖται ὁ Βαβυλώνιος δράκων, ὁ τοῦ Ὁρμίσδου Χοσρόης, καὶ ὁ Περσικὸς καταπαύεται πόλεμος. ἀλλ' ἐπὶ τὰς τῆς τυραννίδος πράξεις τακτικῶς ἀναδράμωμεν, ἵνα μὴ διλογῶμεν ταῖς παρεκβάσεσιν. οὐ διέλιπε γὰρ ἐξ ἐκείνου καιροῦ μέχρι τῶν χρόνων τῶν καθ' ἡμᾶς τῇ Ῥωμαίων ἀρχῇ ἀποτεύγματα ποικίλα τε καὶ ἐξαίσια καὶ τῷ μεγέθει ἀνυπομόνητα.

D V 287 13. Ὁ δὲ τύραννος (πρὸς γὰρ τὸν λόγον ἐπάνειμι) καταμεθυσθεὶς τοῖς ἀσεβήμασι πρὸς ἑτέρους ἐκβακχεύεται φόνους, καὶ τὸν ἀδελφὸν τοῦ Μαυρικίου τὸν ἑαυτοῦ στρατηγὸν ἀποτέμνει τῷ ξίφει. ἀναιρεῖταί τε καὶ Κομεντίολος ἐκεῖνος, ὃν πολλάκις ὁ λόγος στρατηγὸν τῆς Εὐρώπης ἀνέδειξε. ναὶ δὴ καὶ Γεώργιος ὁ τοῦ Φιλιππικοῦ ὑποστράτηγος. ἀλλὰ μὴν καὶ ὁ Πραισεντῖνος ὁ τὰς τοῦ Πέτρου πεπιστευμένος φροντίδας, ὃν δομέστικον
P 215 εἰώθασιν οἱ Ῥωμαῖοι ἀποκαλεῖν. ὁ μὲν οὖν Θεοδόσιος ἀναζεύξας, ὁ Μαυρικίου παῖς τοῦ αὐτοκράτορος, εἰς τὸν ναὸν καταφεύγει Αὐτονόμου τοῦ μάρτυρος. ἀκηκοὼς τοίνυν τοῦτο ὁ τύραννος τὸν Ἀλέξανδρον πέπομφεν ἀποσφάξαι τὸν παῖδα. τοιγαροῦν ὁ Ἀλέξανδρος ἀναιρεῖ Θεοδόσιον. τόν τε λεγόμενον παρὰ τῷ πλήθει Λαρδὺν εἰς τοὺς λεγομένους Διαδρόμους μετα-

fidei gratia seriem consequentium paulum interrumpemus. quando Heraclius imperator expeditione adversus Raxatem suscepta exercitum recensuit, re inquisita duos duntaxat milites ex illa multitudine quae tyranno faverat superstites invenit, tametsi anni non multi intercessissent. verum ubi tempore procedente novas copias Romani sunt adepti et exercitus ille improbus evanuit, Persarum felicitate commutata, Babylonius ille draco, Chosroes Hormisdae filius, interfectus est et bellum Persicum conquievit. sed ne gemina digressione utamur, ad tyranni facinora redeamus. sane ab occiso Mauricio usque ad nostra tempora Romanorum imperio clades variae et ingentes ipsaque magnitudine intolerandae nunquam defuerunt.

13. Tyrannus (ut ad intermissa nos referamus) impietate ebrius ad alias caedes perpetrandas furit. in primis Petro Mauricii germano et duci cervices praecidit. tollitur e medio etiam Comentiolus, quem Europae ducem fuisse toties ostendimus. praeterea Philippici hypostrategus Georgius. item Praesentinus Petro a consiliis, quem Romani domesticum vocant. Theodosius Mauricii filius rediens in aedem martyris Autonomi confugit. quo audito tyrannus Alexandrum ad adolescentem obtruncandum mittit. obtruncatur. insuper Lardyn in locum διάδρομον

γαγὼν διαφθείρει τῷ ξίφει. λόγος δὲ ὑπό τινων τὸν Ἀλέξανδρον ὑπὸ Γερμανοῦ χρηματίσασθαι φειδοῖ τῶν κινδύνων. διά τοι τοῦτο ἀποσχέσθαι φασὶ τὸν Ἀλέξανδρον τῆς Θεοδοσίου φθορᾶς, ἕτερον δὲ προσεοικότα αὐτῷ ἀνελεῖν, καὶ τοῦτον αὐτὸν τὸν Θεοδόσιον τὸν παράδοξον τοῦτον κίνδυνον πεφευγότα τῆς ἑῴας τόπους ἀμεῖψαι πολλούς, εἶτα ἐς ὕστερον πρὸς τῇ Κολχίδι γενέσθαι, B μετὰ τοῦτο πρὸς τὰς ἐρήμους τῶν βαρβάρων μεταχωρήσαντα, μαλακισθέντα τὸ σῶμα καταστρέψαι τὸν βίον. ὁ μὲν οὖν λόγος οὗτος ἀνὰ πᾶσαν τὴν οἰκουμένην διήχησε· πλὴν δέ τις αὐτὸν βάρβαρος ἀπεκύησεν. ὡς γὰρ οἷόν τε ἦν, τὴν περὶ τούτου ταλαιπωρήσαντες ζήτησιν μετεσχηκότα τῆς ἀναιρέσεως καὶ τὸν Θεοδόσιον εὕρομεν. ἐξιτήλῳ γὰρ τεκμηρίῳ νεανιεύονται οἱ μὴ τεθνάναι τὸν παῖδα ἐπαγγελλόμενοι· λόγος γὰρ αὐτοῖς μόνην ἀνεπίδεικτον τῶν ἀνῃρημένων τὴν κεφαλὴν γεγενῆσθαι Θεοδοσίου τοῦ αὐτοκράτορος.

Οὐκ ἂν δὲ περιοψόμεθα τὰ τῆς παραδόξου διηγήσεως ἄξια. κατὰ γὰρ τὴν ἡμέραν τῆς ἀναιρέσεως Μαυρικίου τοῦ αὐτοκράτορος C συμβαίνει κατὰ τὴν Ἀλεξάνδρειαν ἀξιαφηγητότατον ἔργον, πινάκων συγγραφῆς λίαν ἐπάξιον. ἐδέησε γὰρ ἄνδρα τινὰ τῶν ἐς κάλλος γραφόντων, ὃν ἐν συνθέσει φωνῆς καλλιγράφον ὀνομάζει τὰ πλήθη, γνώριμον καὶ ἡμῖν καθεστῶτα, μέχρι τετάρτης φυλακῆς τῆς νυκτὸς εἰς οἰκίαν τινὸς καταπαννυχίζεσθαι. τούτῳ γὰρ δὴ τῷ ἐμπόρῳ πάννυχος ἦν ἡ πανήγυρις· ἑβδομαίαν γὰρ

7. μεταχωρήσαντες IP. 22. τινὸς] ἐμπόρου τινὸς?

perducit, ibique eum gladio mactat. rumor autem a quibusdam disseminatus est, Alexandrum a Germano impendentis sibi periculi admonitum Theodosio pepercisse, aliumque in eius locum, ei similem, necavisse; ipsum Theodosium hoc inopinato discrimine elapsum varia Orientis loca peragrasse, postea in Colchidem venisse, deinde in solitudines barbarorum transgressum incommoda valetudine laborasse ac decessisse. hic rumor omnes imperii regiones pervagatus est; cuius auctor barbarus nescio quis fuit. nos quidem, quantum potuimus, in huius rei inquisitione laborantes, etiam illum occisum esse invenimus. frivolo sane argumento ineptiunt, qui eum evasisse persuadere aliis volunt: aiunt enim ex interemptis eius tantummodo caput non apparuisse.

Inopinatam porro rem et notitiae merito tradendam exponere hoc loco non gravabimur. quo die interfectus est Mauricius, eo ipso die Alexandriae res narratu et scriptu dignissima contigit. virum quendam eleganter efformantem ductus litterarum, quem vulgus voce iuncta calligraphum nominat, quem et nos cognovimus, usque ad quartam vigiliam noctis in cuiusdam mercatoris aedibus pervigilare oportebat: nam ibi

ἡμέραν ἦγε τὸ γύναιον, ἄρσεν παιδίον τῷ ἀνδρὶ λοχευσάμενον·
σύνηθες γοῦν τῆς ἐγχωρίοις ἐπὶ τοῖς λελοχευμένοις παιδίοις ἑβδο-
μαίαν ἄγουσι τὴν ἡμέραν συμποσίων ἑορταῖς καταπαννυχίζεσθαι.
D ἐπεὶ τοίνυν τὰ τοῦ δείπνου τῷ ἐμπόρῳ κόρῳ καθυπεβάλλετο,
διαλύεται ἡ ἑστίασις καὶ τῆς τοῦ ἐμπόρου οἰκίας ὁ εἰς κάλλος
γράφων ἀποφοιτᾷ. μεσούσης τοίνυν νυκτός, καὶ γενόμενος κατὰ
τὸ λεγόμενον τῆς πόλεως Τύχαιον (χῶρος δ' οὗτος τῆς Ἀλεξαν-
δρείας ἐπίσημος) ὁρᾷ τοὺς ἐπισημοτέρους τῶν ἀνδριάντων ἐκ
τῶν βωμῶν καθερπύσαντας, καὶ μεγίστην αὐτῷ ἀφιέντας φωνὴν
ἐξονομακλήδην τὸν ἄνδρα προσαγορεύσαντας, διηγουμένους τε
μεγάλῃ καὶ συντόμῳ φωνῇ τὰ κατ' ἐκείνην τὴν ἡμέραν παρηκο-
λουθηκότα συμπτώματα Μαυρικίῳ τῷ αὐτοκράτορι. ὁ μὲν οὖν
ἀνὴρ τῷ παραδόξῳ τῆς θέας φόβῳ πολλῷ συσταλεὶς οἴκαδε γίνε-
ται, ὄρθριός τε γενόμενος τοῖς περὶ τὸν λεγόμενον Αὐγουστά-
λιον ταῦτα δὴ τὰ φοβερὰ διέξεισιν ἀφηγήματα. ἐπεὶ δ' ἐπὶ τὸν
τῆς Αἰγύπτου ἔπαρχον τὸ ἄκουσμα γέγονε (Πέτρος δὲ κατ' ἐκεῖνο
καιροῦ τῆς Αἰγυπτιακῆς ἡγεμονίας τὰς ἡνίας διίθυνεν, ὃς καὶ
P 216 συνήπτετο πρὸς γένος ἡμῖν), μετάκλητος γίνεται ἐν παραβύστῳ
ὁ τῶν ἀνδριάντων γενόμενος ἀκουστής. ὁ δ' ἡγεμὼν ἀνετάσας
V 288 τούτου τὰ ῥήματα καὶ θαυμάσας τῶν ἀφηγηθέντων τὴν ἔκθεσιν,
τῷ εἰς κάλλος γράφοντι ἐπετίμησε μὴ μεταθεῖναι ἐφ' ἕτερον τὰ
μυστικὰ ταῦτα καὶ ἀπόρρητα διηγήματα. τὴν ἡμέραν τοίνυν
ἀπογραψάμενος ἐκείνην ὁ τῆς Αἰγύπτου ἡγεμὼν ἐκαραδόκει τὴν
ἔκβασιν. ἐννάτῃ δὲ ἡμέρᾳ, καὶ ἄγγελος εἰς τὴν Ἀλεξάνδρειαν
παραγίνεται, πομπεύων ὡς ἔπος εἰπεῖν τὴν ἀναίρεσιν Μαυρικίου

10. ἐξ ὀνόματος κλήδην IP. 18. ἐν deest IP.

tota nox festa agebatur, quod eius uxor septimum iam diem a partu pueri masculi agebat. habent quippe morem indigenae, ut natis maribus diem septimum solennem agentes noctem, quam longa est, luxu et convivio traducant. cui ubi mercator finem fecit, et coetus convivialis solutus est, calligraphus ex aedibus abit. nocte autem media cum in regionem urbis celebrem venisset, Tychaeum nomine, nobiliores statuas basibus suis dimotas cernit, seseque clarissime nominatim appellantes audit, magnaque voce et tribus verbis nuntiantes, quid illo die calamitatis Mauricio imperatori accidisset. ille inexpectato viso pavefactus domum venit, et mane Augustali terriculamentum istuc commemorat. quod ubi ad aures praefecti Aegypti perlatum est (Petrus eo tempore provinciam illam regebat, generis propinquitate nobiscum coniunctus), clam illum qui statuas loquentes audiverat accersit. quem ut diligenter percunctatus et quae narrabat admiratus est, vetuit cuiquam alteri haec arcana et silentio tegenda patefacere; notatoque die, eventum rei est praestolatus. die nono venit Alexandriam qui caedem Mauricii, ut pae-

τοῦ αὐτοκράτορος. τῶν τοίνυν προμεμηνυμένων διὰ τῶν ἀνδριάντων, ἢ δαιμόνων εἰπεῖν οἰκειότερον, ὡς διέγνω τὰς ἐκβάσεις ὁ Πέτρος, ἐς τὸ φανερὸν τὴν προαγόρευσιν ἐθριάμβευσε, τόν τε εἰς κάλλος γράφοντα ἐς μέσον προὐβάλλετο, καὶ κύριον B αὐτὸν τῆς ἱστορίας ἐδείκνυε. πολλὰ μὲν καὶ ἕτερα κατὰ τὴν Ῥωμαίων πολιτείαν τῆς τῶν μελλόντων προαγορεύσεως θαύματα γίνεται, ἃ εἰ διεξοδικώτερον ἀναγράφειν διεγχειρήσομεν, ὁ πᾶς ἡμᾶς αἰὼν ἀπολείψει.

Μὲν οὖν λέγεται τὸν Μαυρίκιον φιλοτίμως ἔχειν περὶ τὴν τῶν λόγων μεγαλοπρέπειαν, τιμᾶν τε λίαν λαμπρῶς τοὺς ἐνηθληκότας περὶ τὰ κάλλιστα τῶν μαθημάτων. τοῦτον δείμασθαι καὶ τὸ ἐπὶ τῆς Ταρσοῦ ἱερὸν Παύλου τοῦ Κίλικος τοῦ κατευαγγελισαμένου ἐν ὅλῃ τῇ οἰκουμένῃ σχεδὸν τὸ σωτήριόν τε καὶ παράδοξον κήρυγμα Χριστοῦ Ἰησοῦ τοῦ μονογενοῦς υἱοῦ τοῦ θεοῦ. ἀναφέρεται δὲ καὶ τὴν τρίτην μοῖραν τῶν φόρων συγχωρῆσαι τοῖς ὑπηκόοις τὸν βασιλέα Μαυρίκιον, τάλαντά τε τριάκοντα τοῖς Βυζαντίοις φιλοτιμήσασθαι, ὅπως τὸν τῶν ὑδάτων ὁλκὸν νεουργήσοιντο.

14. Μὴ παραδράμοι δὲ τοὺς φιλοΐστορας καὶ τὰ κατὰ C V 289 τὴν Εὐφημίαν τὴν μάρτυρα παραδόξως συμβεβηκότα κατ' ἐκεῖνο καιροῦ, ἀλλά τι μικρὸν παρεκτείνωμεν τὸν λόγον· τὰ γὰρ θείας ἐλλάμψεως διηγήματα τετευχότα πολλὴν ταῖς ψυχαῖς τῶν ἀκουόντων τὴν παρ' ἑαυτῶν φιλοτιμοῦνται ὠφέλειαν. Χαλκηδὼν πόλις καθίδρυται ἐπὶ στόματος Πόντου, ἐς τὸ ἀντιπέρας τοῦ τῶν Βυζαντίων πολίσματος. ἐν ταύτῃ νεὼς ἵδρυται Εὐφημίας τῆς

cis dicam, divulgat. Petrus itaque ut eorum quae per statuas, seu ut convenientius loquar, per daemones praenuntiata erant exitum cognovit, praedictionem quoque divulgavit, calligraphumque narrationis auctorem in medium produxit. multa quidem et alia eaque mirabilia in futurum Romano imperio praedicta sunt, quae si disertius explanare velimus, nullum tempus nobis suffecerit.

Quin etiam praedicatur Mauricius eloquentiae fuisse cupidissimus, quique in artibus liberalibus desudassent, eos honoribus insignibus cumulasse. aedificasse item Tarsi templum Paulo Cilici, qui toto pene orbe salutariter evangelium Christi Iesu, unigeniti filii dei, disseminavit. insuper tertiam partem vectigalium subditis remisisse, et Byzantiis ad aquaeductus renovandos triginta talenta donavisse.

14. Non decet historiarum cupidos praeterire, quae illo tempore circa martyrem Euphemiam praeter hominum opinionem gesta sunt. aliquantum igitur orationem producamus. etenim narrationes quae mentes divina quadam claritate illuminant, non mediocrem utilitatem audientibus ingenerare consueverunt. Chalcedon urbs est ad ostium Ponti sita, ex adverso Byzantii. in ea templum est sanctae Euphemiae martyris, ubi

μάρτυρος, ἔνθα πρεσβύτης λόγος καθέστηκε τὸ πανίερον σῶμα
D ἐπὶ σηκῷ καθεστάναι τῆς μάρτυρος. γίνεται τοιγαροῦν καθ' ἕκαστον ἐνιαυτὸν κατὰ τὴν ἡμέραν τοῦ κατ' αὐτὴν μαρτυρίου σημεῖον παραδοξότατον καὶ τοῖς μὴ τεθεαμένοις συλλήβδην εἰπεῖν ἀπιστότατον διὰ τὴν ὑπεροχὴν τῆς θείας ἐνεργείας ἐκείνης. τετρακοσίοις γὰρ ἤδη που ἐνιαυτοῖς ἐν τῷ τάφῳ ἐγκειμένου τοῦ σώ-
P 217 ματος, κατὰ τὴν προαγορευθεῖσαν ἡμέραν ἐπ' ὄψεσι τῶν ὄχλων ὁ τῆς ἱερατικῆς τῶν αὐτόθι προεστὼς ἐκκλησίας σπόγγοις ἀπὸ σώματος τεθνεῶτος πηγὰς αἱμάτων ἀρύεται· καὶ ἴδοις ἂν ὡς ἀπό τινος σώματος νεοσφαγοῦς ἰχῶρι τραυμάτων ἀναμεμιγμένα τὰ αἵματα, μύροις συγκεκραμένα αὐτοφυέσι τισί, καὶ τούτων τὰς διανομὰς ἐπὶ σκευῶν ἐξ ὑέλου πεποιημένων μικρῶν τοῖς ὄχλοις τὸν ἱερέα ποιούμενον. εἰσέρχεται τοίνυν εἰς τὸν βασιλέα Μαυρίκιον ἔννοιά τις τῷ δυοκαιδεκάτῳ χρόνῳ τῆς αὐτοκρατορικῆς ἐξουσίας καὶ ῥαθυμία περὶ τὰ θεῖα ψυχῆς, καὶ σμικρολογεῖται τὰ θαύματα, καὶ ἀποδοκιμάζεται παρ' αὐτῷ τὸ παράδοξον, καὶ ῥᾳδιουργικαῖς ἐπινοίαις ἀνθρώπων ἀνατίθησι τὸ μυστήριον.
B ἀπογυμνοῦται τοιγαροῦν τὸν ἀργύρεον κόσμον ὁ τάφος, καὶ περιφρουρεῖται ταῖς σφραγῖσι τὸ μνῆμα· οὕτω γὰρ τὸ τῆς ἀπιστίας θράσος ἠβούλετο. ἐπεὶ δ' ἡ κυρία ἐπεδήμει ἡμέρα, βασανίζεται τὸ ἀπόρρητον, ἐξετάζεται τὸ μυστήριον, τὰ θαύματα δοκιμάζεται, καὶ γίνεται τῆς ἑαυτῆς δυνάμεως διὰ τῶν θαυμάτων ἀπαράγραφος μάρτυς, καὶ πάλιν μεμυρισμένων αἱμάτων ἀπὸ τοῦ μνήματος πηγάζουσιν ὀφθαλμοί, καὶ βλύζει ταῖς ἐκπομπαῖς τὸ

22. ἀπερίγραφος IP.

eiusdem sacratissimum corpus in arca asservari inde a maioribus ad nos fama pervenit. in annos porro singulos, die quo martyrium obiit, res maxime admiranda editur, et ut breviter dicam, iis qui non viderunt, minime credibilis propter divini illius operis excellentiam. nam cum eius corpus iam annis quadringentis in monumento iaceat, die tamen de quo dicebamus, in conspectu omnium, loci episcopus spongiis a corpore mortuo plurimum sanguinis colligit. videas non secus quam e recens occiso corpore vulnerum tabo commistam erumpere vim sanguinum, unguenta nulla arte comparata redolentium, et per vascula vitrea ab eodem adventantibus distribui. Mauricium igitur duodecimum iam annum imperantem subit imbellis et ignava quaedam circa res divinas cogitatio, extenuatque et reiicit tam insigne miraculum, et mysterium hoc fallacium hominum commentum esse asserit. ornamentis igitur argenteis sepulcrum nudat, et obsignat, id quod incredulitatis audacia postulabat. ubi status dies affuit, arcanum exploratur, in mysterium inquiritur: miraculum probatur, fitque martyr suae virtutis hoc admirando opere testis omni exceptione maior, iterumque sanguine unguentifero meatus corporis per monumentum instar fontium fluit, et scaturit emissionibus mysterium,

μυστήριον, καὶ πιαίνονται σπόγγοι εὐωδίας αἱμάτων, καὶ πολυπλασιάζει ἡ μάρτυς τὴν ἔκροιαν· οὐκ οἶδε γὰρ γνώσεως φθονῆσαι θεὸς ἀπιστούμενος. οὕτω μὲν οὖν ἡ μάρτυς ἐπαιδαγώγει τοῦ C βασιλέως τὸ ἄπιστον· ὁ δ' αὐτοκράτωρ ἀντέπεμπε ταῖς τῶν αἱμάτων ἐκβλύσεσι τὴν τῶν δακρύων ἐπίχυσιν, καὶ ταῖς ἐκροίαις τῶν μύρων ἀντεδίδου τῶν ὀμμάτων τὸν ὄμβρον, "θαυμαστὸς" φάσκων "ὁ θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ."

Ἐπεὶ δὲ λίαν νουνεχόντως πρὸς τὴν παρέκβασιν εἴδομεν, ἀναμνησθῆναι καὶ τῆς ὑπογραφῆς ὁ καιρός, καὶ τὰ περὶ τὴν τυραννίδα γεγενημένα διεξοδικώτερον ἀναγράψασθαι.

15. Κωνσταντίνην τοιγαροῦν τὴν παῖδα Τιβερίου τοῦ D V 290 αὐτοκράτορος ἅμα τρισὶ θυγατράσιν ἐν ἰδιωτικῇ οἰκίᾳ τινὶ κατάκλειστον ὁ τύραννος ἐποιήσατο· Λέοντος δ' ὁ οἶκος προσηγορεύετο. μηνὶ δὲ πέμπτῳ καὶ γράμμασι τὴν ἑαυτοῦ ἀναγόρευσιν συντάξας ὁ τύραννος πρὸς Χοσρόην ἐξέπεμπε, Λίλιον ἄγγελον τῆς τυραννικῆς χειροτονίας προχειρισάμενος· τοῦτο γὰρ εἴθισται Ῥωμαίοις τε καὶ Πέρσαις ποιεῖν, ὁπηνίκα τῆς βασιλείου ἐπιβῶσι P 218 δυνάμεως. ὁ μὲν Λίλιος βασιλικὰ δῶρα ἐπιφερόμενος ἐς τὸ Δάρας παραγίνεται. τοῦτον ὁ Γερμανὸς (ἀνὴρ δ' οὗτος τῇ τῶν ὑπάτων ἀξίᾳ κοσμούμενος, τήν τε τοῦ συντεταγμένου αὐτόθι στρατοπέδου λαχὼν ἐπιμέλειαν) περιφανῶς λίαν εἰσεδέξατο· πρό τινος γὰρ βραχέος τῆς τυραννίδος καιροῦ, Χοσρόου τοῦ Περσῶν βασιλέως ἀπεχθανομένου τῷ πολεμάρχῳ Ναρσῇ, ὁ αὐτοκράτωρ Μαυρίκιος ἀποπαύει τῆς περιφρουρᾶς τοῦ Δάρας τὸν ἡγεμόνα Ναρσῆν, καὶ Γερμανὸν ἀντανίστησιν, ἐντεῦθεν ὁ Μαυ- B

odoreque cruoris suaviter spirantis spongiae imbuuntur. eum fluxum tum martyr adauxit: deus enim, quamvis illi non credatur, non tamen hominibus cognitionem suae virtutis et bonitatis invidet. atque ita martyr incredulitatem imperatoris sapere docuit; qui sanguinis emanationibus lacrimarum effusiones remisit, et fluentibus unguentis imbres oculorum suorum rependit, "mirabilis" inquiens "deus in sanctis suis."

Posteaquam igitur non imprudenter digressi sumus, tempus monet, ut descriptionis nostrae recordati, quae in tyrannnide evenerunt, enucleatius persequamur.

15. Constantinam itaque, Tiberii imperatoris filiam, una cum tribus filiabus in privatam domum, Leonis dictam, tyrannus includit. mense quinto litteris scriptis Chosroen de sua inauguratione, Lilio huius tyrannicae creationis delecto nuntio, monet. sic enim et Romani et Persae solent, cum in regiae dignitatis gradu collocantur. Lilius cum muneribus imperatoriis Daram venit; quem Germanus consularis et praesidii illic praefecturam sortitus magnifico apparatu excipit. paulo etiam ante occupatam tyrannidem, cum Chosroes Narsi duci infensus esset, Mauricius Narsem praefectum praesidii Darensis ordine movit, Germanumque

ρίκιος ἐθέλων κατευνάσαι τὴν Βαβυλώνιον χαλεπότητα. ἱππαζομένων τοιγαροῦν καὶ ξυνωρίδα πεποιημένων Γερμανοῦ καὶ Λιλίου, στρατιώτης ἀνὴρ πλήττει τῷ ξίφει ὑπὸ τρίτην ὥραν τὸν Γερμανὸν ἱππαζόμενον. ὁ μὲν οὖν Γερμανὸς ἀποβὰς τοῦ ἵππου φοράδην οἴκαδε παραγίνεται· ἐπεὶ δ' οὐκ ἐν καιρίῳ τὰ περὶ τὴν καταφορὰν εὐδοκίμησεν, ὀλίγαις ἡμέραις ὁ Γερμανὸς ἀκέσατο C τὴν πληγήν. ὑπὸ τοίνυν φαρμάκων βελτιωθείς, ἑστιάσας τὸν Λίλιον λίαν ἐπισήμως πρὸς Χοσρόην παρέπεμψεν. ὁ μὲν οὖν Χοσρόης ὑπόθεσιν πολέμου τὴν τυραννίδα πραγματευσάμενος, τὴν κοσμοφθόρον ἐκείνην ἐστράτευσε σάλπιγγα· αὕτη γὰρ λυτήριος γέγονε τῆς Ῥωμαίων τε καὶ Περσῶν εὐπραγίας. ἐδόκει γὰρ κατειρωνευόμενος ὁ Χοσρόης ἀντέχεσθαι τῆς ὁσίας Μαυρικίου D τοῦ αὐτοκράτορος μνήμης. οὕτω μὲν οὖν ὁ Περσικὸς πόλεμος τὴν γένεσιν ἐκληρώσατο, ὁ δὲ Λίλιος διετέλει παρὰ τοῖς Πέρσαις σκληραγωγούμενος.

Κατὰ ταύτας τοίνυν τὰς ἡμέρας εἰς τὴν οἰκουμένην πλάνη εἰσήρρησε, καὶ Θεοδόσιον οἱ Ῥωμαῖοι μὴ τεθνηκέναι ἐδόξαζον. καὶ γίνεται τοῦτο καίριον μεγίστων κακῶν, καὶ φόνων εὐθηνίαν ἡ ψευδὴς αὕτη ὑπόθεσις πραγματεύεται. τοῦ δὲ λόγου αὐξανομένου πρὸς τὰ βασίλεια ταράττεται λίαν ὁ τύραννος, καὶ τὸν Ἀλέξανδρον ξίφει διέφθειρεν. ἔδει γὰρ τοὺς συνεργάτας τῆς τυραννίδος τὸν Φωκᾶν διαφθεῖραι, καὶ τοὺς ἐπὶ τῷ κακῷ συμμαχήσαντας ἐξαισίοις παραπέμψαι ὀλέθροις· οὐκ οἶδε γὰρ κοινοπραγία κακοῦ τὴν φιλίαν τῶν συμπεφρονηκότων βεβαίαν ἱδρύσασθαι.

ei subrogavit, cupiens isto modo Babyloniam iracundiam mitigare. Germano et Lilio equis et bigis in oppidum invectis, miles quidam die tertio Germanum in equo ense ferit; quem descendentem domum sui deportant. sed quoniam plaga letalis non erat, paucis diebus ex ea auxiliis adhibitis convaluit. tum Lilium lautissime structis epulis acceptum ad Chosroen dimittit. Chosroes belli causam et invitamentum sibi Phocae tyrannidem sumens, illud orbi exitiosum classicum cecinit, quod Romanorum Persarumque fortunas afflixit. visus est enim plane Chosroes tueri et asserere velle sanctam Mauricii memoriam. atque haec belli Persici origo fuit. Lilius in Perside manens inhumanius tractabatur.

Per eosdem dies error per imperium increbuit, creditumque a Romanis non interiisse Theodosium; quae fabula mala maxima caedesque plurimas progenuit. et cum etiam ad regiam usque pertigisset, tyrannus nimiopere conterritus Alexandrum neci dedit. oportebat nimirum ipsum Phocam administris suae tyrannidis vitam auferre; quique sibi ad scelus subserviissent, eos ad magnum exitium mittere: nam in societate maleficii firma stabilisque amicitia non reperitur.

INDEX GRAMMATICUS.

INDEX HISTORICUS.

GENESIUS

EX RECOGNITIONE

CAROLI LACHMANNI.

BONNAE
IMPENSIS ED. WEBERI
MDCCCXXXIV.

LIBRARY OF THE TAYLOR INSTITUTION
UNIVERSITY
13 NOV. 1930
OF OXFORD

PRAEFATIO CAROLI LACHMANNI.

Genesii historiae codex unus extat Lipsiensis, paginarum 77 formae maximae, editio item una Veneta, a. 1733, cui addita est St. Bergleri interpretatio Latina et annotatio (vid. Fabric. Harlesii, vol. 7, p. 582). mihi praeter apographum editionis Venetae imperitissime factum traditae sunt E. Wunderi V. Cl. schedae quibus editionem cum codice magna diligentia contulit. hac collatione ita usus sum, ut editionis Venetae errores raro indicarem (V), plerosque (erant autem paene innumeri) tacite corrigerem. verba scriptoris satis accurate distinxi, emendare non satis potui: curavi tamen ut emendationis instrumentum paratum esset. itaque codicis Lipsiensis scripturam (L), quoties ab ea recedendum esse videretur, ex editione Veneta vel ex Wunderi schedis annotavi: emendationes Bergleri, si probabiles essent, nomine eius interdum sed raro adiecto (B), vel recepi vel commemoravi: meas tanti non facio, ut a Berglerianis distinguendas duxerim. neutri nostrum iniuriam fecerit qui omnia in quibus haec editio a codice differt Berglero ascripserit. huius emendationes, quas quidem veras esse putarem, curavi ne iterum in eius annotationibus ponerentur: annotationes ceteras tantum non omnes retinui et quantum fieri potuit emendavi: erant enim neglegentissime expressae. earum pars sub textu vel in-

terpretatione Latina posita erat: has ad loca sua revocavi. interpretationem correxi, sed ut satis haberem vitia graviora tollere.

Libros Genesii cum plerique qui de eo locuti sunt quinque esse dixerint, sciendum est eum sane quinque *βασιλείας* pertractasse, sed a Michaele ad Basilium p. 113, 11 ita transiluisse ut illius obitum et mores prope omitteret, non eadem ratione quam in tribus prioribus et in ipso Basilio secutus est.

Caeterum Genesii nomen codici Lipsiensi praefixum esse traditur: Iosephus Genesius utrum ab Iohanne Scylitza dictus fuerit, dubitatur. sed in fine codicis Lipsiensis haec scripta extant, quae ex editione Veneta (p. 62) exhibeo, nisi quod ibi legitur *Λοΐστος*, sed, ut Wunderus testatur, non recte.

Ab alia manu.

Λοΐσθος ἀνὴρ ἄριστος ὡς ἐγὼ κρίνω,
Γεωργίου τε φημὶ καὶ Θεοφάνους.
Τῶν χρονογράφων. τῆς δὲ τῆς βίβλου πάτερ
Ιωάννης σοι ταύτης φίλε δαιμόνων
Ο τῶν προέδρων πρῶτος, ἀλλὰ καὶ θύτης
Διοκαισαρείας τῆς Αναζάρβης.
ΟΛΤΜΠΙΟΣ Ο ΟΛΤΜΟΣ
Λιμῷ τακήσῃ βρῶσις ὀρνέων ἔσῃ
Ος ἐξέκοψας ἐν ἀρχῇ τὰς μεμβράνας
Καὶ κέρδος ἔσχες πλῆρες κακοβουλίας
Τοῦ γραφέως τὴν κλῆσιν ἐξαφανίσας.

Ab alia manu, partim ante, partim post ultimam lineam.

Εγὼ δὲ ἀνεκλήρωσα τὰ ἐκκεκομμένα
Γέρων πανιχρὸς Θεσπολίτης Συμεών (scriptum *συμε*).

Idem Wunderus alios etiam versus additos esse refert, sed ita scriptos ut singula verba legi non possint.

PRAEFATIO TYPOGRAPHI VENETI

IO. BAPTISTAE PASQUALI.

Absolutis viginti et duobus Historiae Byzantinae Tomis, quibus Parisiensis Editio constat; ecce Tibi, Candide Lector, vigesimum tertium Supplementorum Volumen, quo Veneta Editio haec mea, si minus Regiae Typorum elegantia praestare poterit, numero certe praestabit. Initio statim Voluminis Catalogum omnium Operum in eo contentorum habes, ut uno intuitu quae et quanta additamenti loco tibi proponantur legenda deprehendas. De singulis quibusque Operibus, deque eorum Auctoribus nihil est quod ego dicam; cum hanc Spartam ornarint vel primi Editores, vel Interpretes. Unum, de quo praefarer, restat MS. Opus Iosephi Genesii de Rebus Constantinopolitanis a Leone Armenio ad Basilium Macedonem continuatum, quod in tui gratiam nunc primum publica luce fruitur, Eruditorum manibus terendum. Auctor hic Leonis sapientissimi Imperatoris aetate floruit, eiusque filii Constantini Porphyrogeniti iussu videtur historiam hanc conscripsisse: de quo etiam, ubi sese obtulit occasio, magna loquitur, et praedicat. Eiusdem Constantini iussu concinnata fuit Chronographia post Theophanem, quam Tomo decimo sexto habes; aliquanto tamen prius haec Genesii historia, de cuius stylo nec eleganti, et obscuro passim, etiam me tacente, cognosces. Latuit adhuc hoc Opus inter MM. SS. Bibliothecae eruditissimi Domini Ioannis Burkardi Menckenii, qui nuper fato literis inimico vi-

vere desiit, quique dum viveret, qua praeditus erat humanitàte, transcribendum dedit, ut novo beneficio praeclara eius in rempublicam literariam merita magis elucescerent. Novi, Lector, opus hoc propter sermonis vitia expectationi tuae minime responsurum, at illud insuper certum exploratumque habeo, te nihilo minus fidem meam probaturum, qui promissis religiose steti, tibique gratificandi studio ductus impensis non peperci, ut rem novam dono tibi darem. Vale.

ΓΕΝΕΣΙΟΥ ΒΑΣΙΛΕΙΑΙ.

ΒΑΣΙΛΕΙΩΝ Α

ΠΕΡΙ ΤΟΥ ΕΞ ΑΜΑΛΗΚ ΛΕΟΝΤΟΣ.

REGUM LIBER I

DE LEONE AMALEKITA.

Τὴν ἐξ ἱστορίας τελέσας βίβλον ὡς ἐκέλευσας, Ed. Ven. 1
αὐτοκράτορ, μελέταις καὶ καμάτοις μεγάλοις,
ἐν σοὶ δῶρον ἔθηκα, ὅπως ἐγνωσμένον εἴη
ἐκ φιλοδεσποτίας συντεθὲν ἔκ τε πόθου.

Ἡ τῶν πάλαι πεπονημένων διάληψις μεγίστην ὄντως ὠφέλειαν παριστῶσα τοὺς ἐπειλημμένους αὐτῆς πρὸς γραφὴν αὐτῶν διανίστησιν. ὅθεν κἀγὼ νῦν τὴν περὶ τούτων γραφικὴν σπουδὴν πολυτρόπως ἀνῃρημένος, ἔκ τε τῶν τότε βεβιωκότων καὶ ἀμωσγέπως εἰδότων ἔκ τε φήμης δῆθεν δραμούσης ἠκουτισμένος, εἰς τόνδε τὸν ἀγῶνα παρώρμημαι, τὸ μὲν εἴ πως πρός τι λυσιτελὴς τοῖς μετέπειτα διοφθείην, τὸ δὲ καὶ ἐμαυτῷ τοῦτο καρπώσοιμι,

Inscr. Βασιλειῶν α' om. L. 4. φιλοδεσποτείας L. 5. προοίμιον margo L. 6. ἐπιλειμμένους L. 8. ἀμοσγέπως L. 10. παρόρμημαι L. *ibid.* λυσιτελὲς L. 11. ἐμαυτὸ L.

Postquam absolvi librum historiae ut iusseras, imperator, curis et laboribus magnis, tibi dedico donum, ut intelligatur ex amore erga dominum compositum ac desiderio.

Rerum olim gestarum memoria maximam revera utilitatem afferens ad scribendum excitat illos qui ea attingunt. Quare et ego nunc scribendi in me studio de his diversimode suscepto, cum ex hominibus qui tunc vixerunt quodammodo gnaris, tum ex vagante fama edoctus, ad hoc certamen descendi, partim si possem ad aliquid utilis a posteris cognosci, partim ut mihi ipsi hunc fructum caperem, utpote haec etiam

B ἅτε ταῦτά γε καὶ διαιτῆσαι προστεταγμένος πρὸς Κωνσταντίνου
τοῦ αὐτοκράτορος, ἄλλως τε φιλοκάλου τὴν φύσιν καὶ τὴν
προαίρεσιν, καὶ τῶν πώποτε βασιλέων λογιωτάτου, υἱοῦ Λέον-
τος τοῦ πανσόφου ἀειμνήστου ἄνακτος, ὡς ἂν τὰ μὴ παραδεδο-
μένα βίβλῳ τῇ ἱστορούσῃ ἀπὸ τῆς κατὰ δυσσέβειαν φρενοβλαβοῦς
Λέοντος βασιλείας τοῦ ἐξ Ἀμαλὴκ καὶ καθεξῆς ἀναγράψωμαι.

Ἐν ἔτει β΄ βασιλείας Μιχαὴλ γαμβροῦ Νικηφόρου τοῦ βα-
σιλέως, κοσμικῆς δὲ κτίσεως ͵ςτκβ΄, ἰνδικτιῶνι ζ΄, ἐπὶ συμβά-
V. 2 σης ἥττης Ῥωμαίοις παρὰ Κρούμμου τοῦ ἀρχηγοῦ Βουλγάρων,
Λέοντός γε τηνικαῦτα στρατηγοῦντος τῶν ἀνατολικῶν, μὴ τῇ
συμπλοκῇ τοῦ πολέμου περιτυχόντος, ἀλλὰ σκαιοβούλως ὑπο-
χωρήσαντος σὺν τῷ ὑπ᾽ αὐτὸν τάγματι, καιροφυλακοῦντος τὴν
τῆς βασιλείας ἐπίθεσιν, φυγὰς ὁ βασιλεὺς Μιχαὴλ ἐντεῦθεν κα-
θίσταται σὺν τῷ περιλειφθέντι αὐτῷ λαῷ.

Ὡς δέ τινες ἔφησαν, ὅτι μόνος ὁ Λέων καθ᾽ ἕν τι μέρος
προσβαλὼν Βουλγάροις γενναίως κατηγωνίζετο, ὡς ἐνθένδε με-
γίστην ἀποίσασθαι εὔκλειαν· ὁ δὲ βασιλεὺς τὴν πρὸς ὑποστρο-
φὴν τρίβον ἐστήριξεν, τῶν ὑπηκόων πλεῖστα καταιτιώμενος, ὡς
μὴ πεφροντικότων τῶν ἐγγράφων ὅρκων αὐτῶν, ἀλλὰ προσχω-
ρούντων εἰς διαστάσεις, ἐξ ὧνπερ ἧτται συμβαίνουσιν, προστά-
ξας τῷ Λέοντι μετὰ τοῦ ὑπ᾽ αὐτὸν στρατεύματος ἔξω προσε-
B δρεύειν τῆς πόλεως διὰ τὴν μερικὴν αὐτοῦ πρὸς Βουλγάρους κα-

6. ἀναγράφομαι L. 8. ἐπισυμβάσης L. 10. τὸ L 12. και-
ροφυλακοῦντος L, καιροφυλακκοῦντος V.

administrare iussus a Constantino imperatore, cum omnis elegantiae studioso natura et instituto, tum imperatorum quotquot unquam fuere doctissimo, filio Leonis illius sapientissimi semper memorandi imperatoris, ut ea quae nondum essent tradita libro historico inde ab insanientis in impietate Leonis imperio, illius Amalekitae, et deinceps perscriberem.

Anno secundo imperii Michaelis generi Nicephori, a mundo autem condito sexies millesimo trecentesimo vicesimo secundo, indictione septima, post illatam cladem Romanis a Crummo supremo duce Bulgarorum, Leone tunc praefecto orientalibus, qui in conflictu belli non adfuerat, sed pravo consilio recesserat cum sua legione, occasionem observans invadendi imperii, fugere imperator Michael inde compellitur cum reliquo adhuc sibi populo.

Ut vero nonnulli aiunt, solus Leo una quadam parte aggressus Bulgaros strenue depugnaverat, ut hinc maximam reportaret gloriam: imperator autem ad revertendum iter ingressus est, subditos plurimum culpans, quasi non curassent scriptum iusiurandum, sed abirent in dissidia ex quibus clades existunt, iusso Leone cum suo exercitu extra urbem excubare, quia ipse pro parte sua Bulgaris superior

θυπερτέρησιν, εἰς τὸ μὴ τούτους ὀλιγανδρίας καὶ φυγαδείας Ῥωμαϊκῆς τοσοῦτον λοιπὸν ὑφορᾶσθαι. ἀφ' ὧν ὁ στρατιωτικὸς σύλλογος κατελρωδόρει τοῦ βασιλέως ἀφέλειαν, καὶ ἔκλυτον τοῦτον ἐπεψηφίζετο, καὶ τὸν στρατηγὸν Λέοντα συμφώνως εἰς βασιλείαν προέκρινεν. τοῦ δὲ ἀχλυώδει ἀγωνίᾳ καὶ πολλῇ συμπεσόντος πρὸς λόγον τῆς ἀναρρήσεως, καθώς ποτε κατὰ γέφυραν Γαΐου τοῦ Καίσαρος, Μιχαὴλ ὁ ἐξ Ἀμορίου ἀναιρήσειν τοῦτον διεμαρτύρατο, εἰ μὴ ταύτῃ κατάθοιτο. καὶ τὴν μὲν κατάθεσιν αὐτοῦ μόνον ἀπῄτει, τὴν δὲ μέχρι τῆς πόλεως καὶ αὐτῶν τῶν βασιλείων εἴσοδον ποιῆσαι ῥᾳδίαν ὑπέσχετο, ἥτις εἰς ἔργον παρ' αὐτοῦ τοῦ στρατεύματος τετελείωτο.

Πρὸ δέ γε τούτων, γενομένῳ τῷ βασιλεῖ Μιχαὴλ πλησίον C τῆς πόλεως, συναντᾷ τούτῳ ἀνήρ τις τῶν ἐπισήμων, τὴν τῶν τειχῶν κηδεμονίαν πεπιστευμένος, τῶν Ἐξαβουλίων ἐκ γένους, ἀφοσιῶν τὰ ἔθιμα βασιλεῖ, καὶ τῇ δυστυχίᾳ συναλγυνόμενος ἐπυνθάνετό γε "τίς ἂν εἴη, ὦ δέσποτα, τῶν στρατηγούντων λαθεὶς ἐν τῷ ἐπιλοίπῳ στρατῷ;" ὁ δέ φησι "Λέων ὁ τοῦ α' θέματος ἐξηγούμενος, ἀνὴρ ἀγχίνους καὶ εὐθύτητος ἐξεχόμενος." ὁ δὲ ἀντέφη ἀλυσιτελὲς εἶναι εἰ μόνος τοῦ τοιούτου καθηγοῖτο, "δίχα τινὸς τῶν σῶν οἰκείων ὑπηρετῶν." τοῦ δὲ βασιλέως οὐδὲν τῶν ἐναντίων ὑφορωμένου, ἀπολογισμοί τινες παρ' αὐτοῦ τῷ Ἐξαβουλίῳ προυτίθεντο, ὡς μὴ τυραννήσειν ποτὲ βουληθησο-

2. ὑφωρᾶσθαι L. 10. βασιλειῶν L. 12. πρὸς L. 21. ὑφωρομένου L. 22. προυτίθετο L.

fuisset, ne isti iam de Romanis paucitatis et fugacitatis opinionem nimiam conciperent. Unde factum ut militaris multitudo accusaret imperatoris simplicitatem, ac nimis remissum eum iudicaret, ducemque Leonem una voce ad imperium eligeret. Illo autem profunda sollicitudine sese contrahente ad famam electionis, ut olim in ponte Iulius Caesar, Michael Amoriensis occisurum affirmavit nisi in eam consentiat, ac solummodo consensum eius expetebat, introitum vero in urbem et in ipsam regiam facilem se facturum promisit; quod et re ipsa praestitum ab ipso et exercitu.

Sed priusquam haec perficerentur, cum iam imperator Michael accessisset ad urbem, occurrit ei vir quidam ex nobilibus, moenium curam sibi concreditam habens, e familia Exabuliorum, consuetis officiis erga imperatorem defungens ac super calamitate condolens, quaerebatque qui ex ducibus esset relictus in exercitu. Tum ille, "Leo", inquit, "primo themati praefectus, vir industrius et iustitiae addictus." At is negavit esse consultum ut is solus ei rei praesit absque aliquo imperatoris intimo ministro. Ceterum imperator nihil adversi suspicans etiam rationes quasdam Exabulio proponebat, quasi nunquam tyrannidem esset af-

D μένου τοῦ Λέοντος. ἄπῄει τοιγαροῦν ὁ αὐτοκράτωρ πρὸς τὰ βασίλεια οὐ μετὰ πολύ, καὶ ἡ τοῦ τυράννου Λέοντος ἀνάρρησις διηγγέλλετο. πρὸς τοῦτο τοῦ βασιλέως Μιχαὴλ δυσχεραίνοντος, παρῄνουν τινὲς αὐτῷ πᾶσι τρόποις τῷ τυράννῳ στερρῶς ἀντιτάξασθαι· ὁ δὲ γαλήνιος ὢν τῇ γνώμῃ καὶ οὐχ αἱμοχαρὴς τὴν προαίρεσιν, ἀπεῖργε πάντας μιαιφονίας, τῷ τοῦ θεοῦ προστάγματι εὐγνωμόνως ἐπικλινόμενος, καὶ τοσοῦτον ὥστε καί τινα τῆς κατοικιδίου θεραπείας αὐτοῦ, τὸν Ἐξάρχοντα, στεῖλαι πρὸς Λέοντα μετὰ καὶ βασιλικῶν συμβόλων, προτρέψαι τε καὶ τὴν σύγκλητον ἀπιέναι πρὸς τὴν τούτου ἀπάντησιν, ὡς μή τινα ῥα-
E νίδα Χριστιανικοῦ αἵματος ἐκχεθῆναι αὐτοῦ ἕνεκα. ἐφ' ὅτῳ τὴν ἑαυτοῦ γαμετὴν Προκοπίαν ζηλοτυπήσασαν τοιοῦτον εἰπεῖν, "δεινόν γε δεινόν, ἐὰν ἡ τοῦ τυράννου σύζυγος Λέοντος περιβάλοι τὸν μοδίολον," Βάρκαν αὐτὴν ὀνομάσασα. ὁ δὲ ταύτην φρονίμοις λόγοις ἀποκρουσάμενος εἴρηκεν "καλὸν τῇ τοῦ κυρίου δοκήσει συνέπεσθαι τὰ γινόμενα."

V. 3 Τοῦ δὲ τυράννου καταλαβόντος διὰ τῆς χρυσῆς πύλης τὸν τοῦ προδρόμου ναὸν ὃν ἐδείματο Στούδιος, πολλοὶ τῆς γερουσίας ἢ καὶ σχεδὸν ἅπαντες προσῄεσαν αὐτῷ, ὃν καὶ δορυφοροῦντες μετὰ τοῦ συνεπομένου ὄχλου τοῖς βασιλείοις ἀπήγαγον. καὶ δὴ εἰσιὼν καὶ πρὸ τῶν χαλκηλάτων ἐπιστὰς πυλῶν, ἐπὶ τῷ κατ' ἐπιφάνειαν κυκλικῷ τε καὶ περιπορφύρῳ μαρμάρῳ, εὐχὴν χαριστήριον ἀποδώσων τῷ ἐκεῖσε Χριστοῦ τοῦ θεοῦ εἰκονίσματι, εἴτε

18. ἐδήματο L. 19. προσίεσαν L. 21. τῷ] τὸ L.

festaturus Leo. Abibat igitur imperator in regiam, nec multo post Leo imperator declaratus nuntiabatur. Eam rem aegre ferente Michaele imperatore, suadebant ei quidam ut omnibus modis tyranno firmiter sese opponeret. At ille cum esset placidi animi nec sanguine gauderet, arcebat omnes caede, dei mandato aequa mente acquiescens; adeo ut etiam quendam ex domestico ministerio, Exarchontem, mitteret ad Leonem cum insignibus imperatoris, hortareturque senatum obviam ei ire, ne ulla sanguinis christiani gutta effunderetur sui causa. Quare uxor eius Procopia invidiae stimulis agitata fertur dixisse "indignum sane si tyranni uxor induat modiolum," Barcam eam nominans. At ille prudenti sermone eam refutans dixit "bonum est domini voluntatem sequi ea quae fiunt."

Porro cum iam tyrannus pervenisset per auream portam ad Praecursoris aedem quam Studius exstruxit, multi ex senatu ac propemodum omnes accesserunt ad eum, atque stipantes una cum populo comitante in regiam deduxerunt. Iamque ingressus ante aeratas consistens fores in loco rotundo et porphyretico marmore contecto, gratias acturus Christi dei nostri illic imagini, sive revera sive specie tenus, exuit ve-

ἀληθείᾳ εἴτε προσχήματι, ἐκδιδύσκεται τὴν ἐσθῆτα ἣν ἐπιβέβλητο ἐν δυσὶ ῥοδοειδέσι χροιαῖς ἀετίζουσαν, ἣν κολόβιον τῇ ἐγχωρίῳ ῥήσει προσονομάζουσιν, καὶ ταύτην ἀνειμένην ζωστῆρος κατὰ τὸ ἔκπαλαι τηρηθὲν ἔθος τοῖς στρατηλάταις καὶ Μιχαὴλ τῶν αὐτοῦ ἱπποκόμων πρωτάρχῳ περιφανῶς ἐπιδίδωσιν. τοῦ δὲ B ταύτην ἐξαυτῆς ἀναβαλλομένου εἰς οἰωνὸν μετὰ Λέοντα βασιλικῆς ἐπιβάσεως τοῖς εἰδόσι λελόγιστο. περὶ δέ τινα τοῦ παλλατίου χῶρον οὗ ἐπώνυμον τὰ Σκῦλα, ὁ Μιχαὴλ τῆς ἐσθῆτος τοῦ Λέοντος τὸ ἄκρον ἐπιβάσει καθύβρισεν, εἴτε ἐκ προπετείας τοῦτο καταπραξάμενος, εἴτε τῆς ἄνω προνοίας τὸ μέλλον προχαραττούσης. ἐν συναισθήσει δὲ τούτου Λέων γενόμενος νεωτερισμόν τινα παρ' αὐτοῦ ἔσεσθαι ἑαυτὸν οἰωνίσατο.

Καὶ δὴ τοῖς εἴσω τῶν βασιλείων χωρήσαντος Λέοντος, εὐθέως τὰς τρίχας κειράμενοι Μιχαήλ τε ὁ βασιλεὺς καὶ ἡ τούτου γε σύνευνος σὺν παισίν, ἱκέται ἐλεεινοὶ τῷ εὐκτηρίῳ οἴκῳ τῆς ὑπεραγίας θεοτόκου ὃς Φάρος κατονομάζεται δείκνυνται, εὐμενείας C τινὸς ἀξιοῦντες τυχεῖν. ὁ δὲ τῇ δυσωπήσει ἐπιπειθὴς γεγονὼς ἄνεσιν ζωῆς αὐτοῖς ἐδικαίωσεν, πέμπει τε τὸν Μιχαὴλ ἔν τινι φροντιστηρίῳ διατελεῖν τῷ μονήρει βίῳ συμφρασσόμενον, ᾧ κατ' ἔτος χρυσοῦ δωρεὰν κατά τινα προθεσμίαν ἐδαψιλεύετο· τὴν δὲ γαμετὴν καὶ τὰ τέκνα τούτου διέστησεν, ἐξ ὧν τὸν Ἰγνάτιον εὐνουχίᾳ κατέκρινεν.

2. ἐν δυσὶ] immo ἔνδυσιν. 8. σκύλλα L. 12. aut εἰς ἑαυτόν legendum est, aut ἑαυτῷ. αὐτῷ Symeon logoth. p. 402 C. 16. εὐμενίας L. 19. συμφορασάμενον L.

stem qua amictus erat gemini coloris rosei aquila insignem (quam colobium vernacula voce appellant), solutam cingulo secundum morem iam olim a ducibus observatum, atque Michaeli suorum equisonum primario palam tradit. Illo autem eam confestim induente, id pro omine adipiscendi post Leonem imperii reputatum est ab intelligentibus. Praeterea in loco quodam circa palatium, cui nomen Scyla, Michael Leonis vestis oram pede premens turpavit: incertum ex protervitate id fecerit, an providentia divina futurum praemonstrante. Quod cum sensisset Leo, rebellionem ab eo in se orituram coniecit.

Iamque regiam ingresso Leone, mox crinibus detonsis Michael imperator et eius uxor una cum liberis, supplices miserabiles in oratorio sanctissimae deiparae, quod Pharos dicitur, apparebant, clementiam quandam sibi expetentes: atque ille precibus flexus vitam eis concedendam iudicavit, mittitque Michaelem in quoddam monasterium, ut ibi solitariam vitam omnem reliquam exigat. cui quotannis auri largitionem die quodam certo praestabat. Uxorem autem eius et liberos separavit, ex quibus Ignatium castrandum condemnavit.

Ὡς δὲ τῶν βασιλείας ἡνιῶν ὁ Λέων ἐδράξατο, τὰ μεμυημένα Βαρδανίῳ τῷ πατρικίῳ, ᾧ Τοῦρκος ἐπίκλησις, περὶ αὐτοῦ εἰς φῶς διανέκυπτεν.

Οὗτος γοῦν ὁ Βαρδάνιος, ὅτε τοῦ τῆς ἀνατολῆς ἐξηγεῖτο θέματος, βασιλειῶν ἄγαν διὰ φροντίδος ἐν ἑαυτῷ εἶχεν ἐπίθεσιν ὥστε τῆς βασιλείας ἐπιλαμβάνεσθαι· ὅθεν ταύτην μοναχῷ τῶν
D ἐπειλημμένων προγνώσεως περιεσκεμμένως προσανετίθει, τὴν διατριβὴν ποιουμένῳ πρός τινα χῶρον τοῦ Φιλομηλίου, συνίστορα τοῦ τοιούτου βουλεύματος κεκτημένος τὸν Λέοντα, ἄνδρα πολλοῖς ἐμπρέψαντα γενναιότητος πρωτερήμασιν, ἀνδρικὸν τὴν ὄψιν καὶ βλοσυρωπὸν τὸ κατάστημα, μεσήλικα καὶ εὐάμιλλον ἐκτραφέντα τε τοῦ αὐτοῦ θέματος ἐπί τινι τόπῳ Πίδρᾳ προσονομαζομένῳ, σὺν αὐτῷ δὲ καὶ Μιχαὴλ τὸν ἐξ Ἀμορίου τυγχάνοντα, ᾧ τὸ τῆς γλώττης παράσημον ἐγεγένητο, μεθ' ὧν καὶ Θωμᾶν τὸν ἀπὸ λίμνης Γαζουροῦ, καὶ αὐτὸν ἐξ Ἀρμενίων τὸ γένος κατάγοντα, ἀλλὰ μὴν καὶ ἀνδρεῖον καὶ πολυπραγμονέστατον. τοῦ οὖν Βαρδανίου προσιόντος γε τῷ μονάζοντι, πάντα πρὸς αὐτοῦ
E τὰ τῆς διανοίας ἀνακαλύπτεσθαι βουλήματα λέγεται, καὶ τοσοῦτον ὥστε προαγγελθῆναι αὐτῷ καὶ τὴν περιουσίας ἀφαίρεσιν καὶ τὴν ὀφθαλμῶν πήρωσιν. τούτου δὲ ἐπὶ τοῖς προρεθεῖσιν ὡς οὐ θυμήρεσιν ἐπασχάλλοντος, ὅμως τὰ συνήθη τῆς εὐχῆς ἀπολειψαμένου, τὰ τῆς ὑποχωρήσεως αὐτῷ παρευτρέπιστο. προσκο-
V. 4 μισαμένων δὲ τῶν ἐξυπηρετουμένων ἵππους αὐτῷ, τούτους ὁ

7. ἐπιλημμένων L. 11. βλοσσυρωπὸν L. ibid. εὐάμιλον L, εὐόμιλον V. 20. προρεθεῖσιν L, προῤῥηθεῖσιν V. 21. ἐπασχάλοντος L. ibid. ἀπολημψαμένου L, ἀπολημψομένου V. 22. προκομισαμένων L.

Ut vero imperii habenas tenuit, praedicta Bardanio patricio, cui Turcus cognomen, iam in lucem emergebant.

Iste namque Bardanius, cum adhuc orientis themati praefectus esset, valde cupiens fieri imperator, invasionem meditabatur, ut imperium capesseret. Unde hanc rem monacho cuidam habenti praescientiam futurorum aperiebat, habitanti in quodam loco Philomelii; conscium huiuscemodi consilii habens Leonem istum, virum iam tum multis conspicuum fortitudinis praerogativis, virili trucique adspectu atque habitu, mediae aetatis, fortem educatumque in eiusdem thematis orientalis quodam loco Pidra dicto, cumque eo et Michaelem Amoriensem, cui linguae illud vitium inerat, simulque cum his Thomam a palude Gazura oriundum, et ipsum genus suum deducentem ex Armeniis, sed itidem virum strenuum et valde agilem. Bardanio itaque accedente ad monachum, omnes ab isto animi cogitationes, omnia consilia deprehensa et detecta fuisse aiunt, adeo ut ab eo praedicta illi fuerit etiam opum privatio et oculorum excaecatio. Super his ut minime iucundis indignabundo, cum nihilominus consuetas preces fudisset, abitus paratur. Adducentibus autem ministris

μοναχὸς ἀπιδὼν μετὰ πλείστης ἐπείξεως ὑποστρέφειν παραινεῖ τὸν Βαρδάνιον. τῷ δὲ μετὰ περιχαρίας ἀνακάμψαντι, ὡς προσδοκῶντι τῶν καταθυμίων αὐτῷ τι οἰωνισθῆναι, τοὐναντίον αὐτοῦ τῶν ἐλπίδων πάλιν φησὶν ὁ θεοπρόπος ἀνήρ. "μηδέν σοι περὶ τοῦ σκαιωρήματος, ὃ τῇ σῇ διανοίᾳ καλῶς μὴ ἐνέσκηψε, πεφροντισμένον ἔστω. τῶν γὰρ σῶν, ὡς ἔφθην εἰπών σοι, ὀμμάτων καὶ τῆς ὑπάρξεως ὑποστήσῃ τὴν ἀλλοτρίωσιν· οἱ δὲ τοὺς ἵππους σοι πρὸς ὑπηρεσίαν ἐπικομίσαντες ἄνδρες, τούτων ὁ πρῶτος καὶ ὁ μετ' αὐτὸν διαδηματοφορήσει, καὶ ὁ τρίτος ἐπιτυχὼν ἀναρρήσεως ταχέως θανάτῳ καταστραφήσεται." ὁ οὖν Βαρδάνιος πρὸς ταῦτα χαλεπῶς ἀνοιμώξας τὰ τοῦ λογισμοῦ αὐτοῦ τῷ B τε Λέοντι καὶ Μιχαὴλ καὶ Θωμᾷ, τοῖς ὑπὸ χεῖρα τούτῳ, μετὰ καί τινος ἐπὶ τοῦ μοναχοῦ ὑβριστικῆς προσοχθήσεως παρεδήλου, φάσκων τοιάδε. "σὺ μὲν ὦ Λέων βασιλεύσας καὶ Θωμᾶ ἀναρρηθεὶς παρὰ Μιχαὴλ φονευθήσεσθε, αὐτοῦ γε διαφυλαχθησομένου ἐν τῇ βασιλείᾳ πάντως ἀπήμονος."

Ἐντεῦθεν Βαρδάνιος κατὰ ψυχὴν χαλεπήνας· καὶ εἰς τὸ ἐγκεχειρισμένον αὐτῷ θέμα ἐπανιὼν σὺν τοῖς ὑπ' αὐτῷ στρατοπέδοις καί τισιν ἄλλοις ὁμόφροσι τῆς ἀλαζονείας αὐτοῦ κατὰ τοῦ τηνικαῦτα Νικηφόρου βασιλέως ματαιοφρόνως ἐν Βιθυνίᾳ στρατοπεδεύεται. περὶ τούτων ὁ βασιλεὺς διακηκοὼς καὶ συνθεὶς στρατιὰν ἀξιόλογον αὐτῷ ἐπαφίησιν. ὁ δὲ τῇ ἐκστρατείᾳ καταπλαγείς, ὑποκλινὴς τῷ βασιλεῖ γίνεται ἐξαιτῶν ἐγγύην ἀφέσεως,

22. στρατείαν L.

ei equos, illos conspicatus, summa cum festinatione redire iubet Bardanium. Atque huic cum magna laetitia revertenti, ut qui opinabatur ex animi sententia evenisse aliquod augurium, praeter spem eius dicit vir divinus "ne sit tibi istud propositum, quod animum tuum non bene incessit, curae. Nam tuorum, ut iam dixi, oculorum et omnium bonorum subibis privationem: istorum autem virorum, qui equos ad tuum ministerium adduxerunt, primus quidem et secundus diadema gestabunt, tertius autem tantum acclamationem consecutus mox interibit." Igitur Bardanius ad haec cum graviter ingemuisset, suam animi cogitationem Leoni atque Michaeli, nec non Thomae, suis ministris, cum quadam contumeliosa in monachum invectione aperiebat, dicens huiuscemodi quaedam. "Tu quidem Leo imperio potitus, Thomas autem acclamatus, a Michaele interficiemini, qui ipse servabitur in imperio plane incolumis."

Hinc Bardanius animo male affectus in demandatum sibi thema reversus cum suo exercitu et quibusdam aliis eius arrogantiae sociis contra imperantem tunc Nicephorum vano consilio in Bithynia castra ponit. Quo audito Nicephorus collecto exercitu minime contemnendo, hunc contra illum mittit. Hic expeditione illa territus submittit se imperatori, expetens certificationem veniae: quam facile adipiscitur, per crucis si-

C καὶ δὴ ταύτης ἀξιοῦται ῥᾳδίως τῷ σταυρικῷ συμβόλῳ τὸ ἀσφαλὲς ἐνεγκάμενος, καὶ πειθαρχεῖ ἑαυτὸν κατακρίνων τῷ δράματι παραπεμφθῆναι ἐν νήσῳ τῇ Πρώτῃ εἰς τὸν παρ' αὐτοῦ ἐκεῖσε φιλοπονηθέντα ἀγρόν. οὔπω δὲ πολλοῦ χρόνου διεληλυθότος, τῶν ἐκ Λυκαονίας τινές, εἴτε ἀπαυθαδιαζόμενοι, εἴτε βασιλείῳ συνευδοκήσει, εἴτε καὶ αὐτῷ τῷ βασιλεῖ Νικηφόρῳ ἀρέσαι βουλόμενοι, τῷ Βαρδανίῳ αἰφνιδίως ἐπιτίθενται καὶ πηροῦσιν αὐτοῦ τοὺς ὀφθαλμούς, καὶ τῇ ἐκκλησίᾳ προσῄεσαν ἀξιοῦντες συγχώρησιν.

Ὁπηνίκα δὲ τὰ τῆς στάσεως παρὰ τοῦ Βαρδανίου ἐπεφυσίωτο, Λέων ὁ ἐξ Ἀρμενίων καὶ Ἀσσυρίων τῷ βασιλεῖ προσερ-
D ρύη, εἶτα καὶ Μιχαὴλ ὁ ἐξ Ἀμορίου, ὧν ὁ μὲν τὴν τῶν φοιδεράτων, ὁ δὲ τὴν κόμητος κόρτης ἀρχὴν ἐγχειρίζεται· Θωμᾶς δὲ καὶ μέχρι κινδύνων τῷ ἰδίῳ δεσπότῃ ἀφοσιοῖ τὰ τῆς πίστεως. προϊόντος δέ τινος χρόνου Λέων χρηματίσας τῶν ἀνατολικῶν ὑποστράτηγος κατὰ τῶν Ἰσμαηλιτῶν μεγάλως ἀνδραγαθίζεται, καὶ πρὸς τοῦ βασιλέως Μιχαὴλ τοῦ μετὰ Σταυράκιον τιμᾶται τῷ τῶν πατρικίων μεγαλοπρεπεῖ ἀξιώματι.

Οὗτος δὲ Μιχαὴλ παιδίσκην ἐκέκτητο κατοικίδιον, καθ' ἣν πύθωνος πνεῦμα ἐπί τινας περιτροπὰς διενήργητο. ἥτις ὀξέως ἐν χωρίῳ λιθίνῳ, ὃ Βουκολέων προσαγορεύεται, προσχωροῦσα διαπρυσίως φωνὴν ἐκεκράγει πρὸς βασιλέα, "κάτελθε,

5. λυκαωνίας L. 12. ὧν] ὢν L. ibid. τὴν τῶν B, τῆς τῶν L. ibid. φοιβεράτων L. 19. κατοικείδιον L. 21. χώρῳ L.

gnum securitatem consecutus, oboedientiamque praestat, condemnans se ipsum ob facinus, ut in Proten insulam relegaretur, in praediolum ab ipsomet studiose excultum. Neque ita multo tempore elapso, quidam ex Lycaonia, sive proprio ausu, sive imperatorio consensu et placito, sive quod eidem imperatori Nicéphoro placere cuperent, Bardanium subito invadunt eique oculos eruunt, atque ad ecclesiam confugiunt petentes veniam.

Tunc autem cum seditio a Bardanio conflaretur, Leo ille ex Armeniis atque Assyriis ad imperatorem deficiebat, deinde et Michael Amoriensis: illique foederatorum praefectura, huic comitis curiae dignitas defertur. Thomas vero etiam in periculis suo domino fidem praestitit. Interiecto dein aliquo tempore, Leo, cum esset Orientalium dux secundi ordinis, contra Ismaelitas strenue rem gerit, atque ab imperatore Michaele, illo qui post Stauracium imperavit, decoratur patriciorum amplissima dignitate.

Iste autem Michael puellam habebat quandam vernam, per quam spiritus Pythonis per vices operabatur. quae statim atque in locum qui Bucoleon dicitur accessisset, clara voce clamabat ad imperatorem "de-

κάτελθε, ὑποχώρει τῶν ἀλλοτρίων." τοῦ γοῦν τοιούτου προσφω- E
νήματος πολλάκις ἐκλαληθέντος ὁ βασιλεὺς εἰκότως καταπλαγεὶς
καὶ οὐκ ἔλαττον ὑποπτήξας, κοινολογεῖται περὶ τούτου Θεοδότῳ
σπαθαροκανδιδάτῳ καὶ οἰκείῳ γνωστῷ, τῷ υἱῷ Μιχαὴλ πατρι-
κίου τοῦ πρὸς γένους Μελισσηνοῦ, οὗ τὸ εὔφημον Κασσιτηρᾶς V 5
διηκούετο, ὡς εἴπερ ἐγκάτοχον γένηται τὸ κοράσιον, ἔν τινι κα-
τασχεῖν πάντως οἰκίᾳ καὶ διερευνᾶσθαι καὶ φράζειν τίνος αὕτη
ὑπάρχει ἡ οἰκία καὶ τούτου ὁποῖον τὸ γνώριμον. τῆς δὲ ἀνα-
καλυψάσης τὴν ἐπιζητουμένην κλῆσιν καὶ χαρακτῆρα, προτρέ-
ψασθαί γε αὐτῷ εὐκαίρως κατὰ τὴν ἀκρόπολιν ἀφῖχθαι, καθ'
ἣν συγκυρῆσαι δύο ἄνδρας, ἐξ ὧν ἡμιόνου ὁ ἐπιβάτης τῷ βασι-
λικῷ θρόνῳ ὀχηματίσειεν. καὶ τὰ μὲν τῆς ἐξεστηκυίας τοιαῦτα,
τὰ δὲ τῆς τοῦ βασιλέως ἀκριβείας κατὰ τὸ εἰκὸς ἐπιξεργαστικώ-
τερα, οἷα περὶ τῆς αὐτοῦ βασιλείας ἐμμεριμνῶντος. ἀκριβολο-
γηθεὶς γὰρ παρ' αὐτοῦ ὁ Θεόδοτος ἀπηνήνατο μὴ ἐγνωκέναι μη-
δὲν τῶν παρὰ τῆς πυθωνίας φληναφουμένων· ἀπιὼν δὲ πρὸς
τὸν διωρισμένον χῶρον ὡς προδιήγγελτο ἐθεάσατο, καὶ τὸν ἄνδρα B
προσλαβόμενος ἅμα αὐτῷ ἄπεισιν ἐν τῷ ναῷ Παύλου τοῦ ἀπο-
στόλου, ἐν ᾧπερ ὀρφανῶν τὰ πρὸς ἀποτροφὴν τεταμίευται. καὶ
ἐκεῖσε συνθήκαις ἀλλήλους κατεγγυησάμενοι, θαρρεῖ πρὸς τὸν
Λέοντα ὁ Θεόδοτος τοιαῦτα ἐρεῖν, ὡς "ἐκ θείας ὁράσεως περὶ
σοῦ μοι διέγνωσται μέγιστά τε καὶ ἀποβησόμενα, δι' ὧν τῆς Ῥω-
μαίων πάντως ἡγεμονίας μεταποιήσειας."

10. γε] τε L. ibid. ἀφῆχθαι L. 16. πυθονίας L. 19. τεταμίεται L. 23. ἡγεμονείας L.

scende, descende, cede alienis." Eiusmodi compellatione saepius enuntiata imperator merito exterritus nec mediocriter consternatus colloquitur cum Theodoto spathariorum candidato, intimo familiari suo, filio Michaelis patricii, generis Melisseni, cui cognomentum erat Cassiteras, ut ubi furere coeperit puella in aliqua domo omnino detineatur, interrogeturque, ut indicet cuius ea sit domus et quaenam illius sit propria nota. Quae cum detexisset nomen quaesitum et notam propriam, iussit eum tempore opportuno in arcem abire, ubi ei occursuri essent duo viri, ex quibus is qui mulo insideret imperatorium solium conscensurus esset. Ac de emotae quidem mentis puella res ita habet: imperatoris autem inquisitio merito fuit curiosior, utpote de imperio solliciti. Interrogatus enim ab eo Theodotus diligenter, negavit se quidquam intelligere eorum quae Pythonica nugaretur: verum abiit in praefinitum locum, ut praeceptum fuerat, et spectavit. atque homine assumpto, abit una cum eo in templum Pauli apostoli, ubi orphanorum alimenta asservantur. atque ibi postquam conventis et pactis sese constrinxissent, ausus est Leoni talia dicere. "Ex divina visione de te mihi cognita sunt maxima, quae etiam eventura sunt; unde fiet ut Romanorum imperium capessas."

Συμβεβηκότος δὲ πολέμου μεταξὺ Ῥωμαίων καὶ Βουλγάρων, καὶ τοῦ μὲν αὐτῶν ἀρχηγοῦ Κρούμμου φάσκοντος ἀναδίδοσθαι τοὺς προσφυγόντας Βουλγάρων, ὡσαύτως δὲ καὶ Ῥωμαίων, ἐπὶ τούτοις ὁ βασιλεὺς συμβαίνων ἦν, κἂν τοῖς πολλοῖς τῶν μεγιστάνων ἡ τοιαύτη γνῶσις λίαν ἐστασιάζετο, οὐχ ἥκιστα C δὲ καὶ Θεοκτίστῳ μαγίστρῳ· παρ' ὧν ἀσυμφωνίας συντελεσθείσης πρὸς ἐναντιότητα χωροῦσιν ἀμφότεροι. ἐκστρατεύουσι τοιγαροῦν Ῥωμαῖοί τε καὶ Βούλγαροι κατ' ἀλλήλων, καὶ πολεμικῆς συμβολῆς καθεστώσης ἀνὰ κράτος ἡττᾶται τὸ Ῥωμαϊκὸν στράτευμα, ὡς ἔοικεν ἑτέρως τῆς ἄνω προνοίας μελλούσης τὰ καθ' ἡμᾶς διεξάγειν, καταλήψεως λόγῳ ἐν κρείττονι.

Ἀλλ' ὅθεν διέστημεν, αὖθις νῦν ἐπανίωμεν.

Ἀναρρηθεὶς δὴ δημοσίᾳ Λέων ὁ βασιλεὺς Θωμᾶν τὸν ἑαυτοῦ ἡλικιώτην τουρμάρχην εἰς φοιδεράτους ἐπέστησεν, καὶ Μιχαὴλ, οὗ τὸν παῖδα πνευματικῆς ἐκ κολυμβήθρας υἱοποιήσατο, τῇ πατρικίῳ καὶ ἐκσκουβίτου τιμῇ διασέμνυνεν.

Τῶν οὖν δυσμενῶν Βουλγάρων τῇ προτέρᾳ νίκῃ κατεπαρ-
D θέντων, οὐχ ἡ τυχοῦσα παρ' αὐτοῖς ἐν πολλαῖς χώραις καὶ κατοικίαις διά τε πυρπολήσεως καὶ αἰχμαλωτεύσεως παρηκολούθει ἐρήμωσις, ὥστε πρὸς αὐτὸν τὸν Βούλγαρον πεμφθῆναι παρὰ τοῦ βασιλέως εὔλογον ἦν, πρὸς τὸ εἰρηνικὸν ἀπονεύοντος, σπονδὰς ἐπεργάσασθαι. τοῦ δὲ κρατοῦντος Βουλγάρου μὴ πρὸς

2. ἀποδίδοσθαι B. 12. ἐπανίομεν L. 13. δὲ L. 14. φιβεράτους L. 19. παρηκολούθη L. 20. πρὸς αὐτῶν τῶν βουλγάρων L.

Orto autem bello inter Romanos et Bulgaros, atque istorum duce Crummo postulante reddi Bulgarorum transfugas, similiter et Romanorum, in ea imperator consentiebat, etsi a plerisque magnatum illa eius sententia valde impugnabatur, praecipue a Theoctisto magistro. A quibus reiecta conventione in dissidia abeunt utrique. Educunt itaque exercitus Romani et Bulgari, factoque concursu bellico vincitur prorsus Romanus exercitus, divina providentia, ut videtur, aliter volente res nostras temperare ob rationes captum nostrum superantes.

Sed eo unde digressi sumus rursus redeamus.

Igitur publice imperator proclamatus Leo Thomam coaetaneum suum ducem foederatis constituit, atque Michaelem, cuius filium ex sacro lavacro susceperat, patricia dignitate et excubitorum praefectura decoravit.

Bulgaris autem hostibus priore victoria elatis, non parva per eos in regionibus et civitatibus incendio et praedatione consecuta est vastatio. Itaque ad ducem Bulgarorum legationem mitti ab imperatore ad pacem inclinante rationi consentaneum erat, ut pax iniretur. Sed Bulgarorum domino ad id se non accommodante, utpote barbara indole

τούτο καταθεμένου, ἅτε βαρβαρικοῦ τὸν τρόπον καὶ καταλαζονευομένου, Λέων ὁ βασιλεὺς κατ' αὐτῶν ἐκστρατεύειν ἐπείγεται. καὶ μάχης κραταιᾶς κροτηθείσης, βασιλικῷ διατάγματι ὁ καθ' ἡμᾶς λαὸς τροπῇ ὑποβάλλεται, ὥστε καὶ αὐτοῦ τοῦ βασιλέως συντρέπεσθαι. ἀμέλει τῶν Βουλγάρων τῇ διώξει ἐπικειμένων, ἐξ ὑποστροφῆς μετὰ τοῦ περιόντος λαοῦ ἀντικαθίσταται ὁ βασιλεὺς καὶ τούτοις παρεμβαλὼν ἀριστεὺς κατ' αὐτῶν ὁλοτελῶς ἀναδείκνυται. οὐ μὴν ἀλλὰ καὶ αὐτοῦ κατισχῦσαι Βουλγάρων B τοῦ ἀρχηγοῦ, καὶ τούτων τὰ ἔκγονα τὰ μὲν προσαράξαι ταῖς πέτραις τὰ δὲ ἐν ἅλωνι χαλεπῶς τιμωρήσασθαι, ὡς ἐντεῦθεν ἐν τούτοις πεπερατῶσθαι παλίντιτα ἔργα κατὰ τὴν ποίησιν.

Εἶτα εἰς λογισμὸν ἧκεν ὁ βασιλεὺς περὶ τοῦ ἐν τῷ Φιλομηλίῳ V. 6 μονάζοντος, καὶ στέλλει αὐτῷ τὰ πρὸς χρείαν κατ' εὐχὴν ἀναθήματα, ἅτε χρησμῳδῷ ἀληθεῖ τῶν ἀποβαινόντων ἀναφανέντι. ἐν δὲ τῷ μεταξὺ χρόνῳ ἐτετελευτήκει ὁ αὐτὸς μονάστης, καὶ συνέβη ἀντ' αὐτοῦ ἕτερον Σαββάτιον μοναχὸν τῷ σκηνιδίῳ αὐτοῦ ὑπεισδῦναι, ὅστις τῇ προσκυνήσει τῶν σεβασμίων εἰκόνων κρυφίως ἀντικαθίστατο. θεασάμενος δὲ τὸν παρὰ βασιλέως ἀπεσταλμένον ἀπόπεμπτον ἐποιεῖτο, τὸν πέμψαντα κρίνας ἀπεοικότα τῇ ἁλουργίδι, ὡς εἰδώλοις προσανέχοντα, ταῖς παρὰ τῆς σεβαστῆς Εἰρήνης σεβομέναις εἰκόσι καὶ Ταρασίου τοῦ ἀοιδίμου πατριάρχου, Παρδῶ ταύτην καὶ Θυάδα καὶ Ταράξιον τὸν ἀρχιερέα τοῦ θεοῦ ἀφρόνως ἐξυβρίζων ὁ ἄθλιος· ἀνθ' ὧν κατα- B

4. αὐτὸν τὸν βασιλέα B. 9. προσαρράξαι L. 11. παλίντητα L. 22. παρδᾶ L.

praedito et arrogante homine, Leo imperator contra ipsos expeditionem parat. Acrique collisa pugna, imperatore sic disponente, nostra multitudo fugae subiicitur, ita ut et ipse imperator una fugeret. Itaque Bulgaris persequendo instantibus, facta conversione cum reliqua multitudine resistit imperator, atque in illos impetu facto re fortiter gesta contra ipsos solidae victoriae auctor exsistit. Qui et ipso Bulgarorum duce potior fuit, atque istorum liberos partim petrae allisit, partim in area gravi supplicio affecit. Atque hoc pacto effectum ut *ausa luerent*, secundum poetam.

Post haec recordatus est monachi illius in Philomelio degentis, atque mittit ei voti causa, quae illi usui forent, munera et dona, ut qui se divinatorem eventuum veracem ostendisset. Sed interea temporis mortuus fuerat ille monachus, factumque ut in locum ipsius alius Sabbatius eius cellulam subiret, qui cultui venerandarum imaginum occulte obsistebat. Conspicatus autem iste eum qui missus fuerat, facessere iussit, indignum iudicans auctorem muneris purpura, utpote idolis addictum; imaginibus scilicet ab Irene Augusta ac Tarasio laudatissimo patriarcha cultis; pardalem illam et Baccham vocans, summum autem sacerdotem dei, Taraxii (quasi tu dicas turbatoris) nomine infamans perditus ille:

στρέψαι κύριον τὴν αὐτοῦ βασιλείαν καὶ ἐπιστέλλων προήγγειλεν, εἴπερ ταύτας οὐ καταστρέψειεν. τούτοις καταβροντηθεὶς ὁ παραπλὴξ βασιλεὺς μετακαλεῖται Θεόδοτον καὶ παραδείκνυσιν αὐτῷ τὰ ἐπεσταλμένα παρὰ τοῦ μονάζοντος. τότε δὴ τότε ὁ Θεόδοτος δραξάμενος τοῦ τοιούτου σκοποῦ καὶ ἀναθαρρήσας λέγει τῷ βασιλεῖ, τῷ κακῷ κακὸν ἐπιπλεονάζων, παρά τινος μονάστου διενεργεῖσθαι παράδοξα, τὴν οἴκησιν κεκτημένου ἐν ταῖς τοῦ Μαυριανοῦ, οἷς γειτνιάζειν τὸν Δαγιστέα διεσαφήνιζεν, ἕτερον τοῦτον ἐπιφημίζων μέγαν Ἀντώνιον· "καὶ ὅπερ ἐρεῖν τῇ σῇ βασιλείᾳ προέλοιτο, τοῦτο καὶ διαπράξασθαι προθυμήθητι." ταῦτα
C σκαιῶς οὕτως τῷ βασιλεῖ ὑποθέμενος ἄπεισι πρὸς τὸν μονάστην καὶ πεπλαστουργημένως τάδε φησίν, ὡς "τῇ ἐπιούσῃ νυκτί, ὥρᾳ διωρισμένῃ, τὸν βασιλέα ἐν εὐτελεῖ καταστήματι προσοίσω σοι διηγησόμενον περί τε πίστεως καί τινων πραγμάτων ἀξιολόγων· ὃν ἐπαρᾶσθαι καὶ τάχιον τοῦ βίου παρελθεῖν ἐξειπεῖν σοι βουλεύομαι, εἰ μήπω Λέοντος τοῦ Ἰσαυρίαθεν ὡρμημένου στοιχειοῖτο τῷ δόγματι, καὶ ὡς εἴγε τοῦτο παραφυλάξοιτο, ἐν δυσὶν ἔτεσι καὶ ο΄ τῆς βασιλείας ἐνδυναστεύων ἐλάσειεν," ὡς δῆθεν τῇ φιλοζωΐᾳ καὶ φιλοδοξίᾳ τοῦτον πρὸς τὸ οἰκεῖον θηράσασθαι θέλημα· ταύταις γὰρ ἐφετικῶς ἐκεκράτητο, καὶ μάλιστά γε νεότητι κουφιζόμενος. ταῦτα παρά τε Θεοδότου καὶ τοῦ ἐν Μαυριανοῖς ἠμαυρωμένου μονάζοντος διεσκεμμένως τῷ βασιλεῖ κατε-

1. καί, quod ante ἐπιστέλλων legitur, post ἀνθ' ὧν ponit Symeon logoth. p. 402 D. 6. παρά B, περί L. 15. τάχειον L. 16. ἠσαυρίαθεν L.

quapropter futurum ut dominus evertat illius imperium, per epistolam etiam praenuntiavit, nisi illas ipse everterit. His attonitus demens imperator accersit Theodotum, ostenditque ei epistolam monachi. Ibi tum Theodotus arrepta occasione sumptaque fiducia dicit imperatori, malum malo cumulans, a quodam monacho patrari mirabilia, stationem habente in aedibus Mauriani (quibus vicinum esse Dagistea indicabat), alterum eum appellans magnum Antonium: "atque quodcumque, inquit, dicturus est tunc imperatoriae maiestati, id facere studeas." Haec postquam sic subdole suggessit imperatori, abit ad monachum ac veteratorie ista dicit. "Insequenti nocte hora definita imperatorem in habitu vili adducam tibi, acturum tecum de fide et rebus magni momenti. Cui ut maledicas brevique moriturum denunties tibi auctor sum, nisi Leonis illius ex Isauria oriundi doctrinam sequatur: atque si id observaverit, ad septuagesimum secundum annum in imperio perventurum;" ut scilicet vitae et gloriae illecebris ad ipsorum adduceretur voluntatem. harum enim rerum magna cupiditate tenebatur, iuvenili praecipue aetate sese in spem erigens. Haec a Theodoto et illo apud Maurianos latente monacho con-

σκεύαστο, οἷά περ αἱρεσιάρχαις ὑπάρχουσιν. εἰσιὼν οὖν ὁ βασιλεὺς D μετὰ τοῦ Κασσιτερᾶ πρὸς τὸν μοναχὸν καὶ τινας λόγους εἰς αὐτὸν προοιμιασάμενος ἀπορραπίζεται παρ' αὐτοῦ, ὡς προεγνωκότος τὸ αὐτοῦ πρόσχημα, οὕτω λέγοντος, μὴ δεῖν "ἐν ἰδιωτικῇ καταστάσει βασιλέα σε ὄντα οὑτωσὶ ὑποκρίνεσθαι καὶ ἀγνοεῖσθαί πως οἴεσθαι." δι' ὧνπερ καταπλαγεὶς ὁ βασιλεὺς τῆς μηχανοραφηθείσης προγνώσεως εὐπειθὴς τούτῳ καθίσταται. τοῦτο γὰρ ἐκ προνοίας τῷ Θεοδότῳ ἐφετὸν ὑπάρχον προετετέχναστο, ὡς καὶ παρὰ τοῦ μακαρίτου Θεοφάνους καὶ ὁμολογητοῦ ταῦτα δι' ἐμμέτρου ποιήσεως ἐστηλίτευτο.

Δι' ὃ τῶν σεβασμίων εἰκόνων ἐκ βασιλέως καθαίρεσις θριαμβεύεται. πρὸς ἣν καὶ τὸν ἀρχιερέα Νικηφόρον ὑποσημήνασθαι κατηνάγκαζεν, καὶ μηδαμῶς πειθαρχήσαντα ἀλογίστως εὐθύνει E ἐξόριστον (ᾧτινι τὸ διάδημα περιτιθέντι κατὰ τὴν τοῦ Λέοντος κεφαλὴν ἐδόκει ὡς ἀκανθῶν καὶ τριβόλων προστρίψεσιν ὀδύνης ἐπαίσθεσθαι). ἀπαγομένῳ δὲ αὐτῷ ὁ ὁμολογητὴς Θεοφάνης ὁ Ἀγρόθεν κατά τινα τῶν αἰγιαλῶν ἤνωτο ἀπονέμων σεβασμιότητας κηροῖς τε ἅμα καὶ θυμιάμασιν, κἀκεῖθεν εὐλογίας V. 7 ἀντιλαμβάνων ταὐτὸ δὴ τοῦτο τοῖς αὐτοῦ φοιτηταῖς, ἐπεὶ τάδ' ἀκηκόασι, ποιεῖν προσετίθετο τῆς Προποντίδος ἀπαίροντι. οὓς ὁ πατριάρχης ἰδὼν καὶ τὸν ἑαυτοῦ αὐχένα συγκύψας τάς τε χεῖρας

7. τούτῳ B, τοῦτο L. 8. ὑπάρχον B, ὑπάρχειν L. ibid. προετέχναστο L. 17. articulum ante ἀγρόθεν om. L. 19. ἐπεὶ τάδ' ἀκηκόασι B, ἔπειταδ' ἀκηκοόσι L.

siderate in imperatorem structa fuere, utpote sectae principibus. Ingressus itaque imperator cum Cassitera ad monachum, et sermones quosdam ad eum praefatus, vehementer ab eo increpatur, tanquam gnaro simulati habitus, sic dicente. "Non decebat in privato habitu te sic simulare, cum sis imperator, nec putare te ignorari." Quibus obstupefactus imperator, propter praescientiam illam fraudibus consutam, morigerum ei se praebet. Id ipsum enim de industria, a Theodoto cupide expetitum, dolose structum fuerat; quemadmodum a beato Theophane confessore ea res versibus notata est.

Atque ita venerandarum imaginum demolitio ab imperatore promulgatur. Cui etiam summum sacerdotem Nicephorum subscribere cogebat: nulloque modo obsequentem sine ratione ad exilium condemnat. Qui quidem cum diadema imponeret Leonis capiti, visus sibi est quasi ex spinarum et tribulorum attrectatione dolorem sentire. Cum autem iam abduceretur, Theophanes confessor ab Agriensi monasterio in quodam litore ei se obtulit, tribuens venerationes cum cereis et suffimentis, atque ab illo benedictionem recipiens idem suis discipulis, qui haec audierant, facere iniunxit, cum a Propontide proficisceretur. Quos conspicatus patriarcha, suam cervicem incurvans sublatis manibus implorabat

μετεωρίσας ἀνεκαλεῖτο ἐσχάτῃ τῇ προσκυνήσει τὰς εὐπροσδέκτους ἐντεύξεις τοῦ πανευσεβοῦς Θεοφάνους. περὶ οὗ οἱ συμπαρόντες ἠρεύνουν, ὅτε περ τὰς χεῖρας ἦρε μεταρσίους, "ὦ δέσποτα, πρὸς τίνα ἐπιτρεπτικῶς ἑαυτοῦ διενενόησο ἐπὶ μακρῷ ἀσπασμὸν ἐπαφεῖναι τὸν ὕστατον;" ὁ δέ φησι "τῷ ὁσίῳ πατρὶ καὶ ὁμολογητῇ Θεοφάνει μονάστῃ τοῦ Ἀγροῦ, τῷ λαμπάσι καὶ λιβανωτοῖς ἡμᾶς δεξιωσαμένῳ." καὶ τὸ προφητευθὲν εἰς πρᾶξιν ἐξῄει· οὐ μετὰ πολὺ γὰρ αὐτὸς μετὰ πολλῶν ἄλλων ἀφορισθεὶς τῆς B ἐκκλησίας σὺν ἀπείροις κακώσεσι τὸν τῆς ὁμολογίας ἐταινιώσατο στέφανον, τὸν πατριάρχην μηκέτι κατὰ τὸ προρρηθὲν θεασάμενος. ὁ οὖν Θεόδοτος, τὸν πατριαρχικὸν θρόνον παρ' ἀξίαν ἀπειληφὼς ἐν ἡμέρᾳ τῆς ζωοποιοῦ Χριστοῦ τοῦ θεοῦ ἡμῶν ἀναστάσεως, ἐπ' ἀδείας τῆς αἱρέσεως εἴχετο καὶ πολλοῖς ταύτης οἰαλήμης ἐπεκοινώνει.

Τοίνυν ὁ βασιλεὺς Λέων, κατά τε Βουλγάρων καὶ Ἀγαρηνῶν νεανιευσάμενος καὶ ἀηττήτῳ οἰήσει κατασχεθείς, ἀλαζονικώτερος ἅπασι κατεφαίνετο, ὡς ἐντεῦθεν καὶ ἀποκλίνειν πρὸς τὸ ὠμότερον. καὶ γὰρ ἦν φοβερὸς τῷ τε καταστήματι καὶ τοῖς πράγμασι, μηδὲν παραθραύων τῆς ἐνούσης αὐτῷ αὐστηρίας βασκανίας τε καὶ ἰταμότητος, καὶ τοσοῦτον ὥστε πολλοῖς καὶ C τῶν ἐπὶ μικροῖς ἑαλωκότων ἐγκλήμασιν ὧν μὲν χεῖρας ὧν δὲ πόδας καί τινα τῶν καιρίων μελῶν ἐν ταῖς λεωφόροις τῆς πόλεως

1. μετεωρήσας L. 3. ἦρε addidi ex Contin. p. 18 D. 5. ἐπαφῆναι L. 6. μονάστῃ Reinesius, μον L. 8. ἀφορισθέντες L. 20. πολλοῖς] immo πολλῶν vel πολλάκις. 22. λεοφόροις L.

postrema adoratione acceptas deo intercessiones piissimi Theophanis. De quo qui aderant quaerebant dicentes "cum manus attolleres, domine, ad quem convertens teipsum a longinquo mente tua dirigebas salutationem?" Tum ille "ad sanctum, inquit, patrem atque confessorem Theophanem monasterii Agriensis, qui facibus et ture nos excepit." Atque haec praedictio eius ipso facto in exitum deducta est: non multo enim post et ipse cum multis aliis eiectus ex ecclesia cum infinitis vexationibus confessionis corona redimitus est, cum patriarcham haud amplius, secundum illam praedictionem, vidisset. Igitur Theodotus patriarchale solium indigne adeptus, ipso die vivificae Christi dei nostri resurrectionis, secure haeresim suam inchoabat, multosque illa occaecabat.

Imperator autem Leo, re contra Bulgaros et Agarenos strenue gesta, insuperabili opinione de se concepta, arrogantior omnibus videbatur; unde etiam ad crudelitatem inclinabat. Erat enim terribilis ipsa habitudine corporis et factis, nihil remittens ab insita severitate, invidia et violentia, ita ut multorum etiam ob minuta quaedam condemnatorum hinc manus illinc pedes inde alia corporis praestantiora membra

συνεχῶς ἐγκρεμάννυσθαι, ὡς ἐκ τούτων μισητὸν καθεστάναι πᾶσι τοῖς ὑπὸ χεῖρα. χρόνου δὲ προϊόντος οὐ μέχρι τούτων ἐνέμενε χαλεπὸς ὤν, ἀλλ' ἐκορυβαντία καὶ κατὰ τῆς εὐσεβοῦς πίστεως. εὗρε γὰρ καί τινα συνεργὸν τῆς ἐνδομυχούσης αὐτῷ μοχθηρίας, ἄνδρα πανοῦργον, ὃς ἐπιστατεῖν τοῦ ἱεροῦ τάγματος ἐν τοῖς ἀνακτόροις ἐτύγχανε καὶ τὴν ἔξω φαινομένην εἶχεν εὐσέβειαν. ὑποτοπάσας γοῦν καιρὸν καθ' ὃν εἰς ἐπήκοον ἦν τὸ τοῦ Ἡσαΐου φάσκον διάγγελμα "τίνι ὡμοιώσατε κύριον, καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; μὴ εἰκόνα ἐποίησε τέκτων, ἢ χρυσοχόος χωνεύσας χρυσίον περιεχρύσωσεν αὐτόν, ἢ ὁμοίωμα κατεσκεύασεν αὐτόν;" καὶ τὰ ἑξῆς, ἐν παραβύστῳ λέγει τῷ βασιλεῖ "σύνες τοῖς λεγομένοις, ὦ βασιλεῦ, καὶ γνῶθι τὸ ἀληθὲς D ὅπερ ὁ προφήτης ἡμῖν διεσάφησεν, καὶ τοιαύτης ἔχου λατρείας, καὶ μὴ τοῖς ἐξ ὁμοιωμάτων καταβεβρόντησο πάνυ σεβάσμασιν." τοιαῦτα εἰπὼν ἐνέσκηψεν αὐτῷ πολλῷ πλέον ἰὸν τῆς αἱρέσεως, δι' ἧς φθορᾶς μετεδίδου τοῖς εὐσεβοῦσι συστήμασιν, ἐξ ὧν τοὺς μὴ πειθαρχοῦντας ἀφειδῶς κατῃκίζετο.

Οὗτος δὲ Λέων ὁ βασιλεύς, κἂν δυσσεβής, ἀλλὰ τῶν δημοσίων πραγμάτων ἦν ἀντιληπτικώτατος, ὡς μηδὲν τῶν ὀνησιφόρων παραλιμπάνειν ἀπρόοπτον, ὡς καὶ μετὰ τὴν αὐτοῦ τελευτὴν Νικηφόρον τὸν πατριάρχην τοιαῦτα ἐρεῖν, ὡς ἄρα ἡ πολιτεία Ῥωμαίων κἂν δυσσεβῆ ἀλλ' οὖν γε μέγαν προμηθευτὴν ἀπο-

1. ἐγκρεμμάννυσθαι L. 5. ἐπιστατεῖν L. 7. ὑποτοπάσας L. 13. διεσάφισεν L. 14. κατοβεβρόντισο L. 16. φθορὰς L. 19. ἦν om. L. ibid. ἀντιληπτικότατος L. 22. προμυθευτὴν ἀπόλωλεν L.

per plateas urbis assidue suspenderentur, ita ut ob haec invisus fieret omnibus subditis. Progressu autem temporis non in istis se continuit saevitia eius, sed furebat etiam adversus ipsam pietatem fidei, nactus socium et adiutorem malitiae suae intus stabulantis hominem versutum, qui erat praefectus sacri ordinis in regia et externam tantum habebat pietatem. Observato itaque tempore quo publice ex praelectione audiebatur Esaiae dictum "Cui assimilabitis dominum, et qua similitudine assimilabitis eum? Num imaginem faciet opifex, aut aurifaber conflato auro deaurabit eum?" etc., seorsim etiam dicit ad imperatorem "animadverte haec verba, imperator, atque agnosce veritatem quam propheta nobis declaravit, talemque amplectere religionem, nec imaginum cultu sis plane attonitus." Haec locutus incussit ei multo acrius venenum haereseos, qua inficiebat pios coetus: ex quibus immorigeros nihil parcendo graviter vexabat.

Iste autem imperator Leo, quamvis impius, reipublicae tamen negotia diligentissime curabat, ut nihil eorum quae ei emolumento essent relinqueret improvisum; ita ut etiam post eius mortem Nicephorus patriarcha de eo diceret rempublicam Romanorum quamvis impium magnum

λώλεκεν. πρὸς τούτοις καὶ τοῖς ἀδικοῦσι δικαίως ἐπαχθὴς ἦν,
V. 8 ὥστε κατά τινα νενομισμένον καιρὸν τούτου ἐξιόντος τοῦ παλα-
τίου, ἀνήρ τις προσήει αὐτῷ ἔγκλησιν ἐνστησάμενος ὡς τούτου
τὸ γύναιον ἁρπαγῇ συγκεκύρηκε παρά τινος τῶν συγκλητικῶν,
ὅστις εἴληχε τοσαύτης ἐλευθερίας ὡς κατασχεῖν αὐτὴν ἀδεῶς ἐπὶ
χρόνον πολύν· "ἐμοῦ δὲ περί γε τούτου καὶ τῷ ἐπάρχῳ διεγκα-
λέσαντος, οὐδέν μοι τῶν πρὸς ἐκδίκησιν ἐπεράνατο." ὁ γοῦν
βασιλεὺς τούτων ἐνωτισθεὶς τινι τῶν θεραπόντων ὀξέως προσέτα-
ξεν ἐν τῇ ἐπανόδῳ τὸν ἐγκαλούμενον σὺν ἅμα τῷ ἐπάρχῳ κατὰ
πρόσωπον αὐτοῦ παραστήσασθαι. τοῦ οὖν αὐτοκράτορος ἐνδη-
μήσαντος τὸ κελευθὲν εἰς πρᾶξιν παρίστατο. καὶ τῷ τὴν ἔγ-
κλησιν ποιησαμένῳ ἑτοίμως φησί "τί τὸ κατὰ σὲ δραματούργη-
B μα;" καὶ ὁ μὲν ταῖς αὐταῖς ἐκέχρητο ῥήσεσιν, ὁ δὲ ἐγκληματι-
ζόμενος ἀνωμολόγει τὸ ἔγκλημα ὡς ἀναμφισβήτητον, καὶ ὁ
ἐταστὴς τῇ καταθέσει συνεμαρτύρει, εἰ καὶ μὴ τὴν ὑπεξέλευσιν
κατὰ τοῦ κατακρίτου πεποίητο. αὐτίκα τὸν μὲν δικαστὴν ὡς
ἀφερέπονον τοῦ δικαίου διέστησε τῆς ἀρχῆς, τὸν δὲ τῇ μοιχείᾳ
ἑαλωκότα κατὰ νόμους ἐτιμωρήσατο. τὰ πλείω δὲ τῶν διοικη-
μάτων ἐν τῷ Λαυσιακῷ χρηματίζων διήνυεν, ὑπογραφέας προσ-
καλούμενος τῶν ἀρίστων, οἷς γραφὴν τῶν ἐκδόσεων ἐπετέτραπτο,
προσεποιεῖτό τε στρατηλάτας καὶ ἄρχοντας τῶν ἀξιολόγων, ἄλ-
λως τε τοὺς ἀδωρίαν ἐξησκημένους, αὐτὸς οὐχ ἥττων χρημάτων

3. προσίει L. 12. δραμματούργημα L. 19. ἐν om. L. 22. ἥττον L.

tamen provisorem amisisse. Ad haec in flagitiosos severissime animadvertebat. Itaque cum certo quodam tempore egrederetur palatio, vir quidam accessit ad eum accusationem instituens quod sua uxor abrepta fuisset a quodam senatore, cuius tanta esset licentia ut secure detinuerit eam longo tempore, idque facinus se ad urbis praefectum detulisse, neque tamen ius suum consecutum. His auditis imperator statim cuidam ex ministris suis mandavit ut in reditu accusatorem una cum praefecto coram se sisteret. Cum igitur reversus esset imperator, iussum eius actu ipso exhibebatur. Atque ad accusatorem prompto animo dicit "quaenam est actio illa quam instituisti?" Ille vero iisdem utebatur vocibus. Porro reus ipse confitebatur crimen ut minime dubium, iudexque delationem ad se factam attestabatur, quamvis executionem contra reum non fecisset. Statim ergo iudicem quidem ut negligentem in iure administrando exuit munere: illum autem qui adulterii convictus erat secundum leges punivit. Pleraque autem negotia in Lausiaco ius dicens decidebat. Amanuenses etiam adscivit praestantissimos, quibus consignationem expensarum committebat; duces quoque bellicos ac magistratus, optimum quemque, praecipue tales qui muneribus minime corrumperentur, ipse etiam opibus haudquaquam subiectus. Haereseos interim suae ni-

καθεστηκώς, κἂν ἐπὶ τὸ μᾶλλον αἱρέσεως αἴτιος, ὡς καὶ πλείστους τῶν ὀρθοδόξων ποινηλατεῖν ἐν ὠμότητι. ἦν δὲ φιλότιμος πάνυ, κἂν σοβαρὸν ἐμβοῶν καὶ κακόρυθμος. ὃ καὶ κατὰ τὸν C *τοῦ Φάρου ναὸν καὶ τόδε γνώριμον διεφαίνετο τοῖς ἐπελευσομένοις αὐτῷ ψαλμῳδῶς λαρυγγίζοντι. ἐξῆρχε γὰρ τῶν ψαλλόντων ἐνίοτε, καὶ μάλιστα τότε, φωνῶν*

τῷ παντάνακτος ἐξεφαύλισαν πόθῳ,

οὗγε διολισθήσας ἄρα τὴν θείαν δίκην περιφανῶς ἐπεσπάσατο τῷ ὕμνῳ, προφητείας ταύτῃ συντελεσθείσης.

Τούτων δὲ χρόνου τινὸς προδεδραμηκότος Μιχαὴλ ὁ ἐξ Ἀμορίου τοῖς κατ' ἀνδρείαν προκόπτων ἐν προτερήμασι, παρ' ὃ καὶ τὸ τῶν ἐξκουβίτων πεπίστευτο σύνταγμα, διαβολῇ καθοσιώσεως ἐπισκήπτεται· ὃς ταύτην πολυτρόπως ἀποσεισάμενος D *ἐκπέμπεται παρὰ βασιλέως διακυβερνᾶν τὸ ἐν αὐτῷ στρατολόγημα. ὃν βασκαίνων, καθάπερ τινὲς ἔφασκον, θανατῶσαι βεβούλητο, εἰ μὴ θεός, οἷς τρόποις εὐδόκει, παραδόξως φυλάξας τῇ βασιλείᾳ τοῦτον ἀφώρισεν. εἰ καὶ τοῦτό τινες ἐξειλήφασιν, ὅτι τῷ Μιχαὴλ παρῆν καὶ τολμηρία γλώσσης μείζων τῆς κατὰ γενναιότητα πάντῃ θρασύτητος, λαλούσης παράσημα καὶ ἀπειλούσης τῷ κρατοῦντι ὅλως καθαίρεσιν, αὐτοῦ τε τὴν γαμετὴν ἀνοσίοις γάμοις ἐγκαθυβρίσαι. ἐνηχεῖτο τούτοις ὁ Λέων, καὶ τὸ μὲν πρῶτον ἐπειρᾶτο εὐμηχάνως κατευνάσαι ῥοπήν (ᾔδει γὰρ*

3. κἂν B, καὶ L. *ibid.* ὃ] ᾧ L. 11. παρ' ὃ B, παρ' ᾧ L. 14. τὸν ὑπὸ χεῖρα λαόν Cedrenus p. 491 D. 17. εἰ] ἢ L. 18. μεῖζον τῆς καταγενναιότητι L.

mis vehemens erat propugnator, ita ut multos orthodoxos crudeliter vexaret. Volebat autem elegans videri in canendo, cum tamen incondite et inconcinne boaret. Quod et ipsum in Pharo memorabile apparuit iis quae ipsi eventura erant psalmos crocitanti: praeibat autem psallentibus quandoque tuncque maxime intonans *Sprevere summi cuncta amore principis*. A quo cum ipse longe abesset, divinam vindictam aperte sibi attraxit hoc hymno, praedictione per hanc consummata.

Tempore autem haec praegresso Michael Amoriensis fortitudine ac praerogativis proficiens, ob quam et excubitorum cohorti praefectus erat, crimine laesae maiestatis incusatus fuit: qui cum se variis modis purgasset, ab imperatore missus est, ut in oriente delectui militum habendo praeesset. Hunc ex invidia, ut quidam perhibent, occidere voluerat, nisi deus quibus ei placebat modis mirabiliter servatum imperio destinasset. Quamvis etiam nonnulli tradiderint in Michaele fuisse temeritatem linguae maiorem omnino strenuitatis illius audacia, ita ut effutiret monstrosa minitareturque imperatori omnino eversionem eiusque uxoris incestarum nuptiarum dedecus proferret. Indicabantur haec Leoni, atque is primo quidem conabatur arte sopire eius impetum: norat enim

αὐτὸν γλωσσηματίαν καὶ αἴσχιστον, κἂν ἀνδρεῖον ἐνόμιζεν),
E ἀλλ' οὐ πείθει τοῖς λόγοις ἢ παραινῶν πάντως ἢ ἐμβριμώμενος·
εἴχετο γὰρ ὡσαύτως ὁ Μιχαὴλ τῆς τοιαύτης αἰσχροτολμίας.
καθίστησι τοίνυν ὁ βασιλεὺς ἀκροατὰς τῶν αὐτοῦ τολμημάτων,
τὸ μὲν δῆθεν καταπιέζων αὐτὸν τοῦ θράσους καὶ γλωσσαλγίας,
τὸ δὲ καὶ ὠτακουστεῖν τὰ περὶ τοῦτον αἱρούμενος. ἦν γὰρ καὶ
V. 9 τῷ Ἐξαβουλλίῳ περιεσκεμμένως εἰσηγησάμενος, ἅτε νουνεχεῖ
ὄντι καὶ πολυπείρῳ ἀνδρί, πρὸς δὲ καὶ γνωστῷ αὐτοῦ τῶν οἰ-
κείων, μὴ παραχωρεῖν αὐτῷ ἀθυροστομεῖν σπεύδοντι, ἀλλὰ
σιωπὴν ἄγειν, ἐξ ἀναγκαίου τῶν κατὰ βασιλέως ἄγαν εὐλαβου-
μένῳ. ἀλλὰ ταῦτα μὲν οὐδὲν αὐτῷ πρὸς καταρτισμὸν διενήρ-
γητο, ἐξ ἀπαιδευσίας ἀκρατῶς φερομένῳ· ἐπεὶ δὲ ἅπαξ καὶ δὶς
καὶ πολλάκις περὶ αὐτῶν ἐδηλοῦτο τῷ βασιλεῖ, αὐτὸς δὲ δυσία-
τος ἢ ἀνίατος εὕρητο, διὰ χειρογράφου κατεγγυᾶται τὸν Ἐξα-
βούλλιον ὡς μηδὲν αὐτοῦ τὸ παράπαν τοῦ λοιποῦ διαπαρασιω-
πῆσαι τῶν ληρημάτων, ἀλλὰ πάντα προῦπτα θέσθαι ἑαυτῷ.
ὡς δὲ οὐκ ἐνεδίδου γλωσσηματίζων ὁ ἀλαζών, αὐτίκα τοῦτον
B κατάδηλον τίθησι βασιλεῖ τῆς αὐτῆς ἀναιδείας μεταποιούμενον.
καὶ δὴ ῥητῇ ἡμέρᾳ τῶν πρὸ τῆς Χριστοῦ τοῦ θεοῦ ἡμῶν κατὰ
σάρκα γεννήσεως, εἰς τοὐμφανὲς τῶν κατ' αὐτοῦ κινουμένων οἱ
ἔλεγχοι παρεισέθεον, περὶ τὸν τῶν ἀσηκρητείων χῶρον τοῦ βασι-
λέως τὰ ἐπὶ τούτῳ κατὰ δοκιμασίαν πολλὴν ἀνετάζοντος. οὐκοῦν

5. αὐτοῦ] τοῦ L. 16. προυκαθέσθαι L, προϋκυθέσθαι V.

eum esse linguosum et turpiloquum, etiamsi strenuum putaret. sed nihil profecit verbis, sive moneret, sive comminaretur: perseverabat enim nihilominus Michael in impudentia. Constituit ergo imperator auscultatores et observatores eius temeritatis, partim ut reprimeret eius audaciam linguaeque petulantiam, partim ut exploraret eius conatus. Hortatus etiam fuerat circumspecte Exabullium, utpote cordatum et rerum peritissimum virum, praeterea etiam familiarem eius intimum, ne pateretur eum tam effraeni linguae licentia amplius uti, sed tacendum esse moneret ac necessario erga regem reverentia et cautione utendum. Sed ista quidem nihil ei ad correctionem conducebant, procacitate linguae impotenter ruenti. Cum autem semel atque iterum et saepius etiam de ea re significaretur imperatori, ipseque vix sanabilis aut insanabilis deprehenderetur, chirographo obstringit Exabullium ut is nihil prorsus deinceps reticeat eius nugarum, sed omnia sibi referat. Cumque nihil remitteret a linguae licentia homo petulans, mox imperatori indicat illum eandem impudentiam servare. Atque dehinc statuto die Christi dei nostri nativitatem secundum carnem proxime antecedente, in apertum producebantur argumenta eorum quae contra ipsum movebantur, imperatore in secretariorum loco omnia de eo diligenti examine inquirente.

ἐλέγχεται Μιχαὴλ τυραννίδα, κατατίθεται φανερῶς ἐναργείᾳ τῶν κατηγόρων νυττόμενος, καὶ τισι τῶν ὑπασπιστῶν ὁ βασιλεὺς ἐγκελεύεται αὐτὸν ταῖν χεροῖν λαβέσθαι καὶ ἀπαγαγεῖν εἰς τὸ τοῦ παλατίου λουτρόν, πιθήκιόν τε δεσμῆσαι ἐνεῖραί τε πρὸς κοντὸν καὶ τῷ καμιναίῳ πυρὶ παρατιθέντα ἀνάλωμα.

Τοῦ δὲ βασιλικοῦ διατάγματος οὕτω πραβιβασθέντος, θεάσασθαι τὸ τελεσθησόμενον προτεθύμητο βασιλεύς. συνηντήκει δὲ αὐτῷ ἡ Αὐγούστα Θεοδοσία ἀσύμβαλος, τὸ τοῦ Ἀρσαβὴρ C πατρικίου καὶ κοιαίστωρος θυγάτριον, τοῦ βασιλέως κατηγορῆσον μιαιφονίαν καὶ βαρβαρότητα, καὶ μηδ' ὅλως τὸ τοῦ θεοῦ δέος τοῦτον ἔχειν ἐγκάρδιον, καὶ κατὰ μηδὲν ἠρυθριακότα ἡμέραν τὴν ἑορτάσιμον, καθ' ἣν κεχραμένας τὰς χεῖρας ἠρῆσθαι τὴν θείαν κοινωνίαν εἰσδέξασθαι, συμβουλευσόμενόν τε τὸν Μιχαὴλ τηρηθῆναι κατάκλειστον, εἶθ' οὕτως τὰ κατ' αὐτὸν πλείονος τυχεῖν ἀνετάσεως, καὶ τοὺς κεκοινωνηκότας αὐτῷ τοῦ συνθήματος, καὶ τηνικαῦτα τιμωρίαις ὑπάγεσθαι. τῶν οὖν τοιούτων λόγων ἐπησθημένος ὁ βασιλεὺς προσέταξε τὸν ὑπεύθυνον ἐλευθεριάσαι τῆς αὐθώρου ὑπεξελεύσεως, καὶ τοιαῦτα τῇ γαμετῇ προσφωνεῖ. "ὦ γύναι, τὴν μὲν ἐμὴν ψυχὴν τῆς ἐκεῖθεν D σήμερον δίκης ἀπήλλαξας, καὶ τῆς ζωῆς με συντόμως ἴσως στερήσεις· σὺ δὲ καὶ τὰ τέκνα ἡμῶν θεάσεσθε τὸ ἀποβησόμενον." καὶ ἐν τούτῳ τὸ μέλλον ἀπέφησεν. ἦν γὰρ αὐτῷ ἔκ τινος συμ-

8. ἀσύμβαλος L. 12. ἠρεῖσθαι L. 15. κεκοινωνικότας L. 18. αὐθιώρου L. 21. θεάσασθε L. 22. ἀπεφοίβασε Cedrenus p. 492 D.

Coarguitur itaque Michael affectatae tyrannidis, fatetur palam perspicuis documentis accusantium victus, atque imperator quosdam ex satellitibus suis iubet eum manibus prehendere et abducere in palatii balneum, pithecioque vinctum et conto applicatum apponere igni fornacis consumendum.

Cum imperatoris iussum sic perageretur, spectare quae futura essent voluit imperator. Simul autem eodem se contulit Augusta Theodosia improvisa, illa inquam Arsaberis filia, patricii illius et quaestoris, incusans imperatoris carnificinam et barbariem, quodque dei timor ei plane non esset cordi, nec revereretur diem festum quo contaminatis manibus vellet divinam communionem recipere. consiliumque ei dabat ut ille servaretur inclusus: dein sic in eius facta ulterius inquiratur, atque etiam in socios conspirationis, ac tum demum poenae subiiciatur. Huiuscemodi dictis perceptis imperator praecepit reum liberum esse in praesens a supplicio, uxoremque sic allocutus est. "O mulier, meam quidem animam ab illo supplicio hodie liberasti: etiam vita me cito fortasse privabis. Tu vero et liberi videbitis quid eventurum sit." Atque in hoc futurum praedixit. Erat enim ei ex quodam aenigmatico libro tempus

βολικῆς βίβλου ὁ ἀναιρέσιμος χρόνος μεμυημένος, αἰνιγματιζούσης μεταξὺ τοῦ τε χ καὶ φ τῶν στοιχείων τὴν κατακλεῖδα λέοντος θηρὸς ξίφει διαπερονηθεῖσαν, ἤτοι μεταξὺ Χριστοῦ τῆς γεννήσεως καὶ τῶν φώτων αὐτὸν ἀναιρεθῆναι τὸν θηριότροπον Λέοντα· οὐ μὴν ἀλλὰ καὶ κλῆσις τοῦ ἀναιρήσοντος ἐκ θεοπέμπτου ὀνείρατος (ἑωράκει γοῦν πρὸ μικροῦ τὸν πατριάρχην Ταράσιον δυσφημοῦντα μετὰ παρρησίας τῆς κακίας αὐτοῦ τὰ ἐπίχειρα, πρός τινά τε Μιχαὴλ αὐστηρῶς παρακελευόμενον ἀναλῶσαι αὐ-
E τόν, ὃς τῷ προστάττοντι εὐπειθήσας γε ἔπληξεν ἡμιθανῆ τε κρημνίσας κατέλιπεν. ἔξυπνος δὴ γεγονὼς καὶ πολλῷ συσχεθεὶς δείματι τὸ ὁραθὲν τῇ ἰδίᾳ γαμετῇ παρεδήλωσεν), ὡσαύτως δὲ καὶ ἐκ τοῦ ῥηθέντος αὐτῷ διὰ τοῦ πατρικίου Βαρδανίου παρὰ τοῦ ἐν τῷ Φιλομηλίῳ μονάζοντος, ἔκ τε τῆς μεταμφιάσεως καὶ
V. 10 ἐπιβάσεως τῶν ἐσθήτων. ὅμως μετακαλεσάμενος τὸν παπίαν, τοῦτον ἀσφαλῶς τηρεῖν πρός τι οἴκημα τῶν τὸ παλάτιον σαρούντων ἐκδέδωκε, σιδηροπέδαις ἀσφαλισάμενος, ὧν τὴν κλεῖδα ἐν τῷ ὑπενδύτῃ αὐτοῦ ἀπόθετον διεφρούρει, τῶν ἄλλων μηδενὶ ταύτην πεπιστευκώς.

Περὶ γοῦν νυκτερινὴν ὥραν ἀπαναστὰς τοῦ κοιτῶνος ὁ βασιλεὺς τὰς ἀπαγούσας πρὸς τὴν τοῦ παπίου σκηνὴν πάσας θύρας εὐσθενῶς κατηδάφισεν· ἦν γὰρ εὐσθενὴς πάνυ καὶ θρασυκάρδιος. καὶ εἰσιὼν γε καταλαμβάνει τὸν Μιχαὴλ εἰς τὴν τοῦ παπίου κλί-

3. μεταξὺ addidi.

quo interficiendus esset compertum per imaginem declarante inter *X* et *Φ* litteras iugulum leonis bestiae gladio transfixum, sive inter Christi nativitatem et diem φώτων (id est Epiphaniorum) ipsum interemptum iri belluinis moribus praeditum Leonem. Quin et nomen eius qui esset eum interfecturus ex insomnio divinitus immisso editum. viderat enim paullo ante patriarcham Tarasium praedicantem ominosa et audaci voce malitiae eius mercedem, ab eoque Michaelem quendam acriter incitari ad interficiendum ipsum; qui imperanti obtemperans percussisset praecipitatumque semimortuum reliquisset. Experrectus itaque ingentique pavore captus visum illud suae uxori indicaverat. Item ex eo sciebat, quod dictum ei fuerat per patricium Bardanium a monacho illo in Philomelio, et quod vestium eius alteram ipse induerat, alterius extremam oram calcaverat. Ceterum papia accersito illum (Michaelem) asservandum in quodam cubiculo eorum qui palatium verrunt tradiderat compedibus vinctum, quarum claves in interula sua repositam servabat, nulli alii eam concredens.

Cum igitur noctu hora circiter tertia surrexisset de cubili imperator, omnes ianuas quae ad papiae cubiculum ducerent validis viribus deiecit: erat enim valde robustus et animosus. ingressusque offendit Michaelem

νην καθεύδοντα, χαμαὶ δὲ τὸν παπίαν παρευναζόμενον. καὶ περὶ τὸν Μιχαὴλ κύψας παλάμῃ τὰ στήθη αὐτοῦ διηκρίβαζεν, ὁποίαν ἀφίησι ῥοπήν, μεριμνητικὴν ἢ ἀμέριμνον. ὡς δὲ τοῦτον τῆς ἀφῆς μὴ ἐπῃσθημένον συνέγνω, πάνυ ἐτεθαυμάκει ἐπὶ B
τῇ ἀφροντίδι αὐτοῦ ἀφυπνώσει, διανεύων τὴν ἑαυτοῦ κεφαλὴν καὶ χαλεπὰ τεκμαιρόμενος, καὶ διεξιὼν μεγάλως τῇ χειρὶ κατὰ τοῦ παπίου τὸν θυμὸν συμβολαιωσάμενος ἀμφοτέροις τὴν ἀπειλὴν ἐπερρίπιζεν. ταῦτα προσεδρεῦον τῷ Μιχαὴλ εὐνουχικὸν παιδάριον κρύφα τεθέατο, ὅπερ τὸν εἰσιόντα βασιλέα οὐκ ἄλλοθεν ἢ ἀπὸ τῶν βασιλικῶν ἐκ κόκκου πεδίλων διέγνωκεν ὑπὸ τὴν κλίνην ὑφέρπον (ἐκεῖ γὰρ τῷ βασιλεῖ διεκέκρυπτο)· μετὰ γοῦν τὴν ἄφιξιν τοῦ βασιλέως τῷ τε ἰδίῳ δεσπότῃ Μιχαήλ, ἀλλὰ μὴν καὶ τῷ παπίᾳ, ἅπαντα τὰ συμβεβηκότα διέλεξεν. τούτων κατήκοος γεγονὼς ὁ παπίας καὶ ἀμέτρῳ κατασχεθεὶς δείματι σὺν αὐτῷ Μιχαὴλ βουλὴν δοκίμην ἐπισκευάζουσιν. προφασίζεται ὁ Μι- C
χαὴλ τῶν κατὰ ψυχὴν ὀφλημάτων ἄγαν κεκτῆσθαι διὰ φροντίδος, ὡς ἄν τινι τῶν εὐαγῶν ταύτας ἀνάθοιτο διά τινος τῶν ὑπηρετουμένων αὐτῷ πιστοτάτου Θεοκτίστου, ὃς μετὰ ταῦτα τῷ τοῦ πατρικίου περιβλέπτῳ τετίμητο ἀξιώματι καὶ τὴν ἐπὶ τοῦ βασιλικοῦ καλάμου ἐγκεχείριστο πρόνοιαν, δι' οὗ κανίκλιος ἐδοξάζετο, ἐφ' ᾧ καὶ τὰ τῆς ἐπιτροπίας τοῦ Μιχαὴλ ὡς εὐγνώμονι ἐβεβαίωτο. τότε δὲ τὸ κατὰ τὴν αἴτησιν τῆς προφάσεως

3. μεριμνατικὴν L. 4. ἐπαισθημένον L. 8. προσεδρεύων L. 10. πεδήλων L. 11. ὑφέρπον B, ἐφέρπον L. 16. fort. κηλῖδας τῶν. conf. Contin. p. 24 A.

in papiae lecto dormientem, papiam autem humi cubantem. ac Michaeli intentus, manu exploravit eius pectus quali motu moveatur, num solliciti an securi. ut autem eum contrectationem minime sensisse intellexit, valde admiratus fuit quod tam secure dormiret: movensque caput et gravia minitans, interque egrediendum manus agitatione animum iratum erga papiam indicans, utrisque minas intentavit. Haec omnia assidens Michaeli puer eunuchus ex occulto spectaverat, qui ingredientem imperatorem non aliunde nisi ex coccineis calceis cognoverat, sub lectulum reptans: ibi enim absconditus imperatorem latuit. Itaque post abitum, domino suo Michaeli, nec non papiae, omnia quae accidissent narravit: quibus auditis papias atque Michael pavore correpti consilium quoddam sibi utile ineunt. Simulat Michael valde sibi curae esse ut animae quaedam debita alicui ex religiosis aperiret per quendam suorum ministrorum fidissimum Theoctistum, qui postea illustri dignitate patricii ab eo ornatus fuit curaque calami imperatorii ei demandata, unde caniclius audiebat, atque ut benevolo curatura Michaelis eidem fuerat collata. Tunc ergo secundum petitionem praetextus illius finis pendebat ab im-

πέρας ἀπήρτητο βασιλικῆς ἐκ διατάξεως, καὶ τὸ σκαιώρημα εἰς ἔργον προέβαινεν. ἀκριβολογησάμενος γὰρ τῷ Θεοκτίστῳ ὁ Μιχαὴλ τὰ τῆς ἐπιθέσεως, καὶ διαπορθμεύσας κρυφιομύστως τοῖς κεκοινωνηκόσιν αὐτῷ τῆς ἐνέδρας βαθεῖαν διάσκεψιν, ἐπι-
D σχυρίζεται κατ' αὐτῶν τὴν κοινωνίαν φωράσαι τῷ ἄνακτι, εἴπερ καταμελήσειαν ἄρτι τῆς ἐγχειρήσεως.

Ἐντεῦθεν κοινὴν βουλὴν ἐπισκευασάμενοι τοιῶνδε τὸ ἐγχείρημα συντιθέασιν, παρεισδῦναι νύκτωρ διὰ τῆς ἐλεφαντίνης πύλης, καθ' ὃ τὰ τῆς δοξολογίας θεῷ ἀφιέρωτο, ὡς ἱερεῖς ὑποκριθησάμενοι τοῖς ἐπενδύμασι ξίφη τε λαθραίως χειρισόμενοι, εἶθ' οὕτως πρὸς μέρος τὸ δεξιὸν ποιήσασθαι τὴν ἀπόνευσιν καὶ ἐπιθέσθαι τῷ βασιλεῖ. παλαιὸς γάρ τις τύπος διεδεδραμήκει, ἐκτὸς τῶν βασιλείων τοὺς ἱερεῖς νυκτὶ διακαρτερεῖν μέχρι τῆς πρὸς ὄρθρον διωρισμένης αὐτοῖς εἰσελεύσεως. ὡς ἱερεῖς ὅθεν
E οἱ στασιῶται εἰσῄεσαν, ταῖς ἀληθέσιν ἑπόμενοι· καὶ οἱ μὲν ἱερεῖς εἰσήλθοσαν τῷ εὐκτηρίῳ ναῷ, οἱ δὲ περιλειφθέντες ζοφώδει χώρῳ λεληθότως προσήδρευον, ὡς ἂν εὐκαίρως ἐπίθωνται τῷ βασιλεῖ. τοῦ δὲ ὀρθρίου ὕμνου ἐνστάντος, πρὸς τὸ εἰωθὸς καταίρει βασιλεὺς τῷ ναῷ. ἡ ὥρα τῇ ἕῳ παρέθηγε τὸν λόχον δημοσιεύουσα, εἰ μὴ τόλμα τῶν ἐπιτιθεμένων τὸν θρίαμβον ἀνερ-
V. 11 ρίπισεν. αὐτίκα γὰρ ζέοντι καὶ τομῷ θάρσει ξιφήρεις παρὰ τὸν σκοπὸν ἐναυτομολήσαντες κατὰ τοῦ τῶν ἱερέων ἐξάρχου τὰ ξίφη προέτειναν, τὸν βασιλέα τοῦτον ὑπάρχειν εἰκάσαντες ἐκ τοῦ

10. ξίφει λαθραίως τε L. 15. εἰσίεσαν L. 17. λεληθότος L.

peratoris ordinatione, et mox consilium in actum deducebatur. Quippe diligenter collocutus Michael cum Theoctisto clam certiores reddit participes insidiarum de occulto consilio, minaturque se coniurationem indicaturum imperatori, si aggressionem in praesens intermittant.

Hinc communi consilio rem ita constituunt, ut clam intrarent noctu per eburneam portam, ubi deo laudes consecrantur, simulantes se sacerdotes, sub vestibus gladios habentes, dein sic ad dexteram partem declinarent imperatoremque aggrederentur. Vetus enim quidam fuerat mos ut sacerdotes extra regiam de nocte exspectarent usque ad introitum, qui ipsis circa auroram erat definitus. Tamquam sacerdotes itaque coniurati ingrediebantur, veris sacerdotibus adiuncti comites. Ac sacerdotes quidem intrabant in oratorium: illi autem remanentes in loco obscuro, in insidiis latebant, ut tempore opportuno aggrederentur imperatorem. Instante autem matutino hymno imperator, ut solebat, se in templum confert. Tempus ipsum per auroram detegens insidiatores acuebat, nisi audacia aggredientium victoriam excitasset. Confestim enim fervente praecipitique audacia gladios manibus tenentes, a scopo aberrantes in sacerdotum praefectum gladios intentant, hunc putantes esse imperato-

τότε προσπεσόντος σχήματος ἀποπλανηθέντες· χειμῶνος γὰρ δριμυτάτου καθεστηκότος ὁ μὲν βασιλεὺς κατὰ τὴν κεφαλὴν ἐκέχρητο διανεστηκότι καλύμματι, τὸν αὐτὸν δὲ τρόπον καὶ ὁ τοῦ τῶν ἱερέων καταλόγου προηγούμενος· ἐξ οὗ συνέβαινεν ὄντως τοῖς στασιώταις κατ' αὐτοῦ τὴν ἐγχείρησιν ἐπιδεῖξασθαι. ὃς τῇ ἀθρόᾳ φορᾷ τῶν ἐπιτιθεμένων καταπλαγεὶς σφοδρὸν ἀνεβόησεν, ἕτερον εἶναι τὸν βασιλέα, πρὸς ὃν τὴν ὁρμὴν ἀπηώρησαν. διὰ καὶ τὴν κεφαλὴν ἀπεγύμνωσεν οἷα καταφανὲς γνώρισμα (φαλάκρωμα γὰρ αὐτῷ περιίστατο), ἵνα μὴ τὴν τομὴν ἐκ τοῦ παρεί- B κοντος ἐπισπάσοιτο. οὐκοῦν ὁ βασιλεὺς εἰσῄει τῷ ἱλαστηρίῳ περιτυχών, καὶ τούτου τὸν σταυρὸν ἢ κατά τινας τὴν τοῦ θυμιατηρίου κρεμάθραν δραξάμενος, ἐξαπορῶν τινὸς ἀμυντηρίου ὀργάνου, ἀντιτάξασθαι ἔμελλεν. ὅμως καταφανὴς γενόμενος τοῖς αὐτὸν διαχειρισομένοις, αὐθωρὸν τοῖς ξίφεσιν ἐκρεμέτιζον σταυρὸν ἐν χερσὶ κατέχοντα, ὥστε τούτῳ γε τὴν τομὴν ἀποπέμψασθαι. ἧς χάριν πρός τινα τῶν μιαιφόνων, ὑπερμεγέθη ἄνδρα, ᾧ τὸ ἓν καὶ ἥμισυ κατὰ τὸ γιγάντειον προσωνομάζετο μέγεθος, ἐπεφθέγξατο ὅρκῳ περιδεσμῶν, οὗ ἐπελάβετο. ἀλλ' ἀμείλικτον ὄπα κατὰ τοὺς Ἀντιμάχου παῖδας διήκουσεν, ἀντειπόντα ἐνόρκως C αὐτῷ μηκέτι βιώσεσθαι. καὶ εὐθέως τῇ κατακλεῖδι τὴν σπάθην καθεὶς τὴν χεῖρα διέσπασεν, ὥστε καὶ τὸ σταυρικὸν σχεδόν τι κέρας διακοπῆναι· εἶθ' οὕτως αὐτὸν καὶ τῆς κεφαλῆς ἀπετείχισεν.

3. δὲ] δὴ L. 5. στασιώταις B, στρατιώταις L. 11. περιτυχὸν L. 13. καταφανεὶς L. 15. τούτου γε L. 17. γιγάντειον L.

rem, ex oblato tunc ipsis habitu decepti. Cum enim esset hiems acerrima, imperator habebat in capite erectum tegumentum, ad eundem modum et sacerdotum ordinis praefectus; unde accidebat ut coniurati omnino hunc adorirentur. Qui tanto impetu simul invadentium perterritus vehementer exclamavit alium esse imperatorem, ad quem impetum direxissent. quapropter et caput nudavit tamquam manifestum indicium (calvitiem enim habebat), ne ictum propter similitudinem attraheret. Itaque imperator ingressus in propitiatorium fuerat, atque inde crucem aut secundum alios catena turibuli arrepta, destitutus aliis ad defendendum armis, opponere se volebat. Sed statim atque agnitus fuit a percussoribus, isti eum gladiis conciderunt crucem in manibus tenentem, ut ea saltem ictum depelleret. Qua de causa etiam ad quendam ex percussoribus, ingentem hominem, qui unum et dimidium a statura Gigantea appellabatur, locutus est, adiurans per id quod tenebat (per crucem). Sed immitem vocem, ad exemplum Antimachi filiorum, audivit, cum iuratus ei responderet haud amplius victurum. statimque idem gladio claviculae impacto manum amputavit, ita ut etiam crucis cornu fere dissectum fuerit. dein sic eum capite truncavit. Eadem autem hora vox

κατ' αὐτὴν δὲ τὴν ὥραν φωνή τις ἀερόθεν ἐνήλατο ποντοποροῦσι
ναυτίλοις, ὡς Λέων ὁ βασιλεὺς τῇδε διαπεφώνηκεν· οἱ συμβα-
λόντες τὴν ἀκοὴν τήν τε νύκτα μετὰ τοῦτο καὶ ὥραν καθ' ἑαυ-
τοὺς ἐννοήσαντες τὸ ἀληθὲς διειλήφασιν.

Κτείναντες δὲ τοῦτον οἱ φονευταὶ ἀνηλεῶς ἐν εὐλοειδέσι
χώροις τοῖς πρὸς τὸ δέξιμον ἀπαγαγόντες κατέθεσαν, ὅπως ἐπὶ
βραχὺ ἐκεῖσε προσμένοιεν· εἴχοντο γὰρ χρειωδεστέρων φροντίδων
D οἱ τῷ Μιχαὴλ συναρύμενοι, ὥστε τοῦτον μὲν τῆς εἱρκτῆς ἐξε-
λέσθαι καὶ ἀναρρῆσαι πᾶσιν αὐτοκράτορα βασιλέα, ὃς διαιτήσοι
τὰ πρὸς τὸν καιρὸν κατεπείγοντα, ἀσφαλείας δεούσης ἀπαιτου-
μένης, ἣν ταχέως εἰργάσατο. καὶ διὰ τῶν Σκύλων ἑλκυσμῷ
τὸ σῶμα λυγρῶς καταικίσαντες καὶ τῷ ἱπποδρόμῳ παραγυμνώ-
σαντες καὶ ὑποζυγίῳ μετεωρίσαντες ἐπὶ πάσης τῆς λεωφόρου
προήνεγκαν, εἶτα ἐμβαλόντες αὐτὸ ἑνὶ πλοίῳ, καὶ τὴν σύμβιον
σὺν τοῖς τέσσαρσι τούτων παισί, Συμβατίῳ τῷ καὶ μετονο-
μασθέντι Κωνσταντίνῳ κατὰ τὸ στέψιμον, Βασιλείῳ καὶ Γρη-
γορίῳ ἅμα Θεοδοσίῳ; περὶ τὴν Πρώτην νῆσον παρέπεμψαν. κἀ-
E κεῖσε τῶν παίδων καταθλαδίαν ποινὴν περιστοιχουμένων, ὁ Θεο-
δόσιος τῆς ζωῆς ἀπεζεύξατο· καὶ ἀμφοτέρους τῆς προσηκούσης
κηδείας ἠξίωσαν.

Οὗτος δέ, ὥς φασί τινες, καὶ πρὸ τοῦ τῆς βασιλείας ἐπι-
λαβέσθαι τῆς δυσσεβοῦς αἱρέσεως εἴχετο. διὸ καὶ κατὰ τὸ ἔθι-
V. 12 μον τῆς καθ' ἡμᾶς εὐσεβοῦς πίστεως στείλαντος πρὸς αὐτὸν

2. ναυτήλοις L. ibid. συμβαλλόντες L. 11. σκύλλων L. 14. ἐμβαλλόντες αὐτῷ ἐνὶ L. 15. μετονομασθέντι L. 19. ἀπε-τεύξατο L.

quaedam ex aere percutit in mari navigantes nautas quosdam, Leonem imperatorem ea periisse: qui considerantes quod audierant, et noctem postea et horam in animum revocantes, veritatem deprehenderunt.

Cum autem eum percussores occidissent, in cloacas et receptacula sordium delatum posuerunt, ut paullisper ibi maneret. Intenti enim erant magis necessariis curis Michaelis complices, ut scilicet hunc ex carcere eximerent, et publice imperatorem declararent, qui temporis opportuni copiam faceret, cum securitas congrua requireretur: eamque is cito praestitit. Atque tunc per Scyla tractum cadaver misere foedantes, in circo denudatum, iumento sublatum, per omnem plateam tulerunt, postea impositum navigio, cum coniuge et quatuor filiis, Sabbatio, qui in inauguratione imperatoris Constantinus fuit dictus, Basilio item ac Gregorio, nec non Theodosio, in Proten insulam miserunt. Atque ibi cum exsectionis poena afficerentur, Theodosius vitam amisit. Utrumque autem congruente sepultura dignati sunt.

Porro iste Leo, ut quidam perhibent, etiam antequam imperium capesseret, impiae illi haeresi adhaeserat. Quapropter etiam cum ex more

ναι, μηδ' ὅλως μήτε τῷ δήμῳ δειματωθεὶς μήτε τῷ δείματι τοῦ θεοῦ κατερυθριάσας, ἀλλὰ τεθαρρηκὼς μάλιστα ἐπί τε τοῖς λοιποῖς συναντήμασι καὶ προρρήσεσιν, ἔτι δὲ καὶ τοῖς προαναπεφωνημένοις Ἀθιγγάνου παρά τινος μάντεως, ὃς τῷ τηνικαῦτα στρατηλάτῃ τοῦ τῶν ἀνατολικῶν θέματος πεῖραν δεδωκὼς πολλῶν V. 14 *ἀποβάσεων διετράνου τὸν Μιχαὴλ καί τινα ἕτερον τῶν δευτέρων διαδηματοφορήσειν, σαφῶς ἀπομαντευόμενος. ἀμέλει τούτους ὁ στρατηγέτης διὰ μερίμνης εἶχε πολλῆς ὅπως νυμφίους ταῖς ἑαυτοῦ θυγατράσιν ἁρμόσαιτο. ἐξείχετο οὖν τοῦ τοιούτου σκοποῦ, καί ποτε τοῦ τὴν ἐπιστασίαν ἔχοντος τῶν εἰς τράπεζαν κεκλημένων, ὃν ἀτρικλίνην φημίζουσι, κατὰ τὸ ἔθος εἰσιόντος αὐτῷ καὶ τὴν γραφὴν ἐμφανίζοντος, ἀπείπατο τῶν πολλῶν τῆς συνεστιάσεως, ἐκείνους δὲ μόνους τῆς τραπέζης καταξιῶσαι. ταύτης γοῦν διευτρεπισθείσης καὶ τῶν αὐτοῦ θυγατέρων συνεδριασασῶν, προστάττει τούτοις ὁμοταγεῖς γενέσθαι αὐτάς. οἱ δὲ τῇ ἀπροσδοκήτῳ θαμβηθέντες τιμῇ τῆς κατακλίσεως ἀπαναίνονται· ὁ δὲ διακείμενος ἐπαχθέστερον κατηνάγκαζε, καὶ τελευταῖον πείθει κατακλιθῆναι.* B *διαχύσεως δὲ γεγονυίας, ἅτε κατεμφορηθέντων αὐτῶν, ἐπιδίδωσι τούτοις τὰς θυγατέρας εἰς γαμετάς. οἱ δὲ κατιλιγγιάσαντες τοῦ προστάγματος πρὸς μὲν μικρὸν δυσανασχετοῦσιν ἐν τούτῳ τὸ παρ' ἀξίαν αὐτῶν λογιζόμενοι, καὶ μάλιστα Μιχαὴλ διὰ τὸ ἐκ πενεστάτων προῆχθαι καὶ τὴν τύχην ἀνεπιφάντων, ἀλλ' ὅμως πειθαρχοῦσιν ἐγκελευόμενοι.*

4. *ἀθιγγάνω* L. 5. *στρατηλάτει* L. 6. *τῶν* B̄ L, *τῶν δύο* V.
11. *ἀτρικλίν̂ο* L. *ibid.* *εἰσιόντι* L.

ris, ut divinam inaugurationem acciperet, plane nec populi metu nec timore dei absterritus, sed confidens quam maxime cum aliis eventibus ac praesagiis, tum quae ei praedicta fuerant ab Athingano quodam vate, qui eius temporis praefecto orientalis thematis, cum documenta multorum eventuum dedisset, clare indicaverat Michaelem et alterum quendam ex inferioribus diadema gestaturum, perspicue vaticinans. Quare hi praefecto magnae curae fuere, ut sponsos filiabus suis conciliaret. Huic itaque scopo intentus erat. Atque aliquando, cum is qui curam invitandorum ad mensam habet, quem a triclinio vocant, ingressus ad eum consignationem ostendisset, noluit multos interesse convivio, illos solos mensa dignatus. Cum igitur haec instructa esset filiaeque considerent, iubet eos cum illis locum occupare. Qui inopinato honore obstupefacti accumbere recusarunt. At is nonnihil offensus coegit postremoque persuasit ut accumberent. Hilaritate autem exorta, utpote ipsis inebriatis, tradit eis filias uxores. At illi aestuantes ad hoc iussum paullisper renuunt, interea indignitatem suam reputantes, praecipue Michael, eo quod ex pauperrimis esset ortus et obscurae sortis parentibus: sed tamen morem gerunt, cum urgerentur.

Ἀκηκοὼς δέ, ὥς φασιν, ὁ Θωμᾶς τὸν Μιχαὴλ βασιλεύσαντα, ταχέως [κατ' αὐτοῦ] νεωτερισμὸν πολυάνθρωπον ἐντυρεύεται κατ' αὐτοῦ. ἀνέκαθεν γὰρ ἀλλήλοις ἀντιπεπονθότως διίσταντο· καὶ ὁ μὲν Μιχαὴλ παραπαντὸς τοῦ τῶν ἀνατολικῶν C στρατεύματος ἐτύγχανε στρατηγός, οὐχ ἧττον δὲ καὶ ἐπίμωμος ἀπό τε τῆς πατρίδος αὐτοῦ Ἀθιγγάνων πληθὺν ἐκτρεφούσης, ὡς ἔοικε, καὶ διὰ τὸ τῆς γλώττης ἐλάττωμα καὶ τὸ μὴ ἱκανῶς ἔχειν τισὶ πρὸς ἀνδρείαν νομίζεσθαι, ὁ δὲ Θωμᾶς πᾶσι φιλοστοργούμενος διά τε τὸ ἀνδρειόφρον οὐκ ἔλαττον καὶ ἀστεῖον καὶ εὐπροσήγορον, καὶ τῶν βελτίστων οὐκ ἐλαττούμενος Λέοντος, εἰ καὶ σκυθίζων τῷ γένει, πρὸς δὲ καὶ γηραιὸς ὤν, τὸν πόδα πεπήρωτο. οὗτος οὖν κατασχὼν τοὺς τῶν δημοσίων φόρων πάντας ἀπαιτητὰς ἐγγράφως τὰς νενομισμένας ἀπεκληροῦτο εἰσπράξεις, ἐξ ὧν διανομὰς ἐν λαοῖς ποιησάμενος στρατηγεσίας κατὰ D τοῦ Μιχαὴλ ἐγκρατῶς διατίθησιν. οὐδεὶς δὲ τῶν ἐξ ἀνατολῆς ὡρμημένων ἀπελιμπάνετο, οὐδὲ τῆς ἑσπέρας αὐτῆς, οὐ τῶν ἐξ ἐθνῶν ἐπηλύδων, οὐκ αὐτοχθόνων, οὐ γειτονούντων, οὐ τῆς δουλικῆς μοίρας ὅσον παρῆν μισοδέσποτον, οὐχ ὁλοκλήρων ἐθνῶν, κατὰ διαφόρους καιροὺς οἳ οὐκ αὐτῷ προσερρύησαν καὶ συνείποντο, οἱ μὲν κατὰ γῆν, οἱ δὲ κατὰ θάλασσαν, νέῳ Ξέρξῃ κἂν ὁμοπίστοις ἀναφανέντι, ὡς ἐντεῦθεν καὶ πάντα τὰ θέματα σὺν τοῖς στρατηγοῖς σπένδεσθαι τούτῳ συνέβαινεν, Ὀλβιανοῦ μόνου, τοῦ τῶν Ἀρμενιακῶν στρατηγοῦντος, τούτους περινοίαις

18. ὅσον περ ἦν B.

Cum autem audivisset Thomas Michaelem imperatorem, tradunt eum statim rebellionem instituisse conflata ingenti hominum multitudine. Ab initio enim inter se contrarii dissidebant: ac Michael quidem erat toti orientalium themati praefectus, sed non parum invidiae obnoxius, cum ob patriam quae Athinganorum multitudinem alebat, ut videtur, tum propter linguae vitium, tum vero etiam quod non satis strenuus ac fortis putaretur: Thomas contra ab omnibus diligebatur, eo quod fortis et strenuus, nec tamen non urbanus et affabilis esset, atque in rebus optimis Leone non inferior, quamvis genere ad Scythas pertinens, atque insuper senex, et in altero pede mutilus. Iste igitur conciliatis sibi publicorum vectigalium exactoribus, scripto vindicabat exactiones usitatas, unde largitionibus in populum factis militiam contra Michaelem roborat. Nemo ex orientalibus relinquebatur neque ex occidentalibus, non ex advenis quisquam, non ex indigenis, non ex vicinis, non ex iis qui servilis conditionis, si qui essent dominis infensi, quin diversis temporibus ad eum confluerent eumque sequerentur terra marique, novum Xerxem inter suos habitum; ut propterea omnia themata et eorum duces cum eo paciscerentur, Olbiano solo, qui erat Armeniorum dux, his sua

ἐπιτηδείως ἄγοντος, καὶ Κατάκυλα τοῦ Ὀψικίου τῷ βασιλεῖ Μιχαὴλ γε προσκειμένων. καὶ τοσοῦτον ἐπολυπλασίαζε τὸ πλῆθος κατὰ τῶν ὁμοφύλων, ὥστε καὶ τοὺς Σαρακηνοὺς ἐπ᾽ ἀδείας λαβέσθαι καὶ πάσας νήσους καὶ χώρας καταληΐζεσθαι, καὶ κα- E θέξειν ὅλως αὐτάς, εἰ μὴ μετὰ ταῦτα τούτοις διὰ πολλῆς φήμης ἀνανταγώνιστος ὁ Θωμᾶς ἀνεδέδεκτο. δι᾽ ὃ καὶ πειρᾶται πρὸς αὐτοὺς κηρυκεύεσθαι τρόπῳ τοιῷδε, πανούργως ἐνδειξάσας ὅπερ αὐτοῖς βουλητὸν ἠσμενίζετο τῇ ἐκείνου παμπληθεῖ δυνάμει καταπλαγεῖσιν. διαπέμπεται οὖν πρὸς αὐτοὺς εἰρήνην ἀνακαλούμενος, πολλῷ δὲ μᾶλλον συνασπισμόν, τῆς βασιλικῆς ἀνθέξεσθαι V. 15 ἀποπτώσεως. ποιεῖται τοίνυν σπονδὰς μετ᾽ Ἀγαρηνῶν, εἰδήσει τοῦ αὐτῶν ἀρχηγοῦ, ἀναδεῖται στέφος βασίλειον παρὰ τοῦ ἀρχιερέως Ἀντιοχείας Ἰώβ, εἶτα μετ᾽ Ἀγαρηνῶν Ἰνδῶν Αἰγυπτίων Ἀσσυρίων Μήδων Ἀβασίων Ζηχῶν Ἰβήρων Καβείρων Σκλάβων Οὔννων Βανδήλων Γετῶν καὶ ὅσοι τῆς Μάνεντος βδελυρίας μετεῖχον, Λαζῶν τε καὶ Ἀλανῶν Χάλδων τε καὶ Ἀρμενίων καὶ ἑτέρων παντοίων ἐθνῶν πολυθρύλλητον πανστρατιὰν στρατοπεδευσάμενος ἁπάσης τῆς ἀνατολῆς ἐκυρίευσεν, τελευταῖον μέρεσι τοῖς κατὰ Θρᾴκην προσεμπελάσας ἑλεπολεῖν τὸ Βυζάντιον ἐκβιάζεται ἱππεῦσιν εὐόπλοις καὶ πετροβολισταῖς τοῖς ὑπὸ χεῖρα πεζοῖς, ἔτι καὶ σφενδονισταῖς γε καὶ πελτασταῖς ἀμέτροις ἐπιρων- B νύμενος, προσέτι μὴν καὶ πολιορκητικοῖς οὐκ ὀλίγοις τεχνάσμασι

1. κατακύλα L. 5. μὴ] καὶ L. 6. ἀνεδέδοκτο L. 14. Καβείρων] σαβήρων L. 20. ὑπὸ B, ἄπο L.

solertia morigeris utente, nec non Catacyla Opsicii praefecto suis, ut cum Michaele imperatore manerent. Ac tanta incrementa capit apparatus belli civilis, ut etiam Saraceni auderent insulas omnes et regiones populari et occupare, et omnino eas habituri fuissent, nisi postea Thomas his propter magnam famam maior visus esset quam ut ei se opponere possent. Quod ipse sentiens conatur cum eis per legatos agere, tali modo astute eos inescans ut proponeret quod ipsi vellent et cuperent, ingentibus eius copiis et potentia consternati. Mittit igitur ad eos pacem petens, immo potius societatem, ut auxiliarentur rebellibus imperatoris. Itaque foedus pacis init cum Agarenis, sciente duce illorum, coronatur a patriarcha Antiochiae Iobo, deinde cum Agarenis, Indis, Aegyptiis, Assyriis, Medis, Abasiis, Zechis, Iberis, Cabiris, Sclavis, Hunnis, Vandalis, Getis, et omnibus quotquot de Manentis abominabili secta erant, Lazis item et Alanis, nec non Chaldis et Armeniis, aliisque omnis generis nationibus, multarum linguarum exercitu collecto, omnem orientem in suam potestatem redegit, postremo postquam partibus Thraciae appropinquasset, Byzantium occupare vi conatur, equitibus bene armatis et lapidum iactoribus pedestribus, funditoribus item et scutatis innumeris valde roboratus, insuper et machinis bellicis obsidionalibus

κρατυνόμενος. μεθ' ὧν πολλάκις τοῖς κατ' ἤπειρον τείχεσι προσβαλὼν ἄπρακτος ἀποκρούεται, τοῦ βασιλικοῦ παιδὸς Θεοφίλου αὐτοῖς ἐπιόντος καὶ διαγωνιζομένου τὰ μάλιστα, ἀλλὰ μὴν καὶ τοῦ πατρὸς Μιχαὴλ ἔσθ' ὅτε ὑπεξιόντος καὶ τοῖς ὑπεναντίοις ἐπιτιθεμένου αὐτόχειρος. ὅθεν ἀμηχανῶν ὁ Θωμᾶς καὶ ἐπὶ ναυμαχίαν προέρχεται, πολλὴν ὁλκάδων σωρείαν ἐπαγόμενος, κἀκεῖσε παραπλησίως ἐνδυστυχεῖ· αὗται γὰρ τῷ πολεμικῷ πυρὶ κατανάλωντο, τῆς περὶ τούτου παρὰ βραχὺ τὸ πρὶν διολλυμένης εἰδήσεως, τηνικαῦτα δὲ οὕτως ἀνευρεθείσης. Καλλίνικός τις τῶν
C ἐξ Αἰγύπτου, ἀνὴρ ἐχέφρων καὶ αὐτὸς μόνος εἰδήμων τόδε, παρρησιασάμενος ἔφη τῷ βασιλεῖ κατὰ Θωμᾶ συμπονήσειν αὐτῷ παρὰ θάλασσαν, εἴπερ προέλοιτο. ὃς τεχνικῶς τόδε συνθεὶς τοῖς ναυάρχαις ἐπεχορήγησεν.

Ἐπὶ τρισὶ δὲ ὁ δείλαιος ἐνεωτερίσατο ἔτεσιν. οὗτινος νεωτερισμοῦ ἐπὶ βασιλείας Λέοντος τέρας τῶν ἀποφράδων ὧδε προδέδεικται. ὡράθη κομήτης κατ' οὐρανὸν ἐν σχήματι σεληνῶν β' λαμπρῶς συνιουσῶν καὶ αὖθις διαιρεθεισῶν κατὰ διαφόρους συστάσεις, ἐξ ὧν ἐκτύπωμά τι ἀκέφαλον ἐπλάσθη ἀνδρός, δηλοῦν πως τῶν μετὰ ταῦτα παρεισαγαγόντων κατὰ Χριστιανῶν τὸ ἀκέφαλον δόγμα τῆς στασιώδους αἱρέσεως, ἢ καὶ Θωμᾶν τὸν ἀλάστορα, ὡς ἔοικε, κεφαλὴν καὶ ἀρχηγὸν ματαιάζοντα τῆς ἐξ

6. σωρειὰν L. 9. ἀνευρεθείσης B, ἀναιρεθείσης L. 10. τόδε] τότε L. 13. ναυμάρχαις L. 16. σελήναις L.

non paucis instructus. Cum quibus moenia urbis versus orientem aggressus, re infecta repellitur, imperatoris filio Theodosio in eos impetum faciente et quam maxime depugnante, cum subinde et pater eius Michael egressus invaderet adversarios proprio Marte. Unde in angustia constitutus, ad navale proelium progreditur, ingentem navigiorum numerum secum ducens. Atque ibi itidem male rem gerit: illa enim omnia bellico igne consumpta fuere. Cuius quidem ignis conficiendi propemodum iam scientia deperdita fuerat, tunc autem sic denuo reperta. Callinicus quidam ex Aegypto, vir prudens solusque eam scientiam habens, sumpta loquendi audacia dixit ad imperatorem se contra Thomam ei sociam operam navaturum ad mare, si vellet: atque is ignem illum artificiose a se compositum praebuit navium praefectis.

Tribus autem annis perditus ille rebellavit. Cuius rebellionis sub imperio Leonis prodigium horrendum sic apparuit. Visus est cometa in caelo sub specie duarum lunarum clare sese coniungentium rursusque separantium per diversas coniunctiones, ex quibus figura quaedam hominis sine capite formata fuit, portendens quodammodo postea invectum contra Christianos dogma rebellis sectae acephalum, vel etiam Thomam illo pestifero tamquam capite et duce vano seditionis externorum in-

ἑτέρων διαστάσεως κεκτημένων πως προεφήτευσεν. ἠνδραγαθήκεσαν δὲ ἐν τούτῳ ὅ τε Ὀλβιανός, καὶ Χριστοφόρος, τηνικαῦτα μάγιστρος γεγονώς, οὗ οἱ υἱοὶ Βαρσάκιός τε καὶ Νάσαρ V. 16 πατρίκιοι, καὶ Κατάκυλας αὐτοῦ Μιχαὴλ βασιλέως ἐξάδελφος καὶ πατρίκιος, περὶ ὧν προδεδήλωται· δι' ὧν τοῦ στασιώτου τὰ φάρμακα διεσκέδαστο.

Καὶ οὕτω φασὶ τὰ κατὰ Θωμᾶν ἀκριβέστερον διεξιστορεῖσθαι. οὗτος γοῦν ὁ μουλτίων, ἐκ πατρίδος οἰκτρᾶς καὶ τύχης ἀφανοῦς γεγονώς, τῶν ἀναγκαίων εἰς τὸ ζῆν χάριν εἰς τὴν Κωνσταντίνου καὶ βασιλεύουσαν πόλιν εἰσῆλθεν, καὶ κολληθεὶς τινι τῶν πατρικίων (Βαρδάνης οὗτος ἦν ὁ λεχθεὶς) ἐγκλήματι μὲν μοιχείας παρὰ τούτου τοῦ ἀνδρὸς ἑάλω, ἣν ὑπέθετο καταπράξασθαι τούτῳ Νικηφόρος ὁ τηνικαῦτα τὸ βασιλεύειν λαχών, τῷ Βαρδάνῃ βασκαίνων διὰ τὴν προσοῦσαν καλοκἀγαθίαν αὐτῷ· φεύγων δὲ τὴν ἐπὶ τῇ μοιχείᾳ δίκην, ἣν καταπράξασθαι μὲν B ἐπειράθη, οὐκ ὡς ἔργον δὲ προέβη, εἰς Συρίαν ἀπέδρα. καὶ πρῶτον μὲν τὴν εἰς Χριστὸν ἐξήρνηται πίστιν, καὶ χρόνον συχνὸν ἐν αὐτοῖς διατρίψας, ὡσεὶ ε' καὶ κ' παρελκυσθῆναι ἐνιαυτούς, ψευδῆ φήμην ἑαυτῷ περιποιεῖται, Κωνσταντῖνον εἶναι αὐτὸν εἰσηγούμενος τὸν Λέοντος καὶ Εἰρήνης. οὗτος δὲ ἄρα διὰ τὴν μοχθηρίαν τῶν τρόπων μετὰ τῶν ὀφθαλμῶν καὶ τῆς βασιλείας ἐστέρηται καὶ ἐξ ἀνθρώπων ἠφάνισται μετὰ βραχὺ τῆς ἐκπτώσεως, καὶ ὁ τοῦδε νεκρὸς ἔν τινι κατετέθη σορῷ τότε τῶν

1. προεφύτευσεν L.

structae quodammodo praenuntians. Strenue autem rem gesserunt in hoc bello Olbianus et Christophorus, tunc magister factus, cuius filii Barsacius et Nasar patricii; Catacylas item ipsius Michaelis imperatoris patruelis, et ipse patricius, de quibus a nobis iam dictum. Per hos rebellis illius venena dissipata.

Hoc etiam modo dicunt de Thoma rem accuratius per historiam tradi. Iste rebellis, ex patria misera et conditione obscura oriundus, rerum ad vitam sustentandam necessariarum gratia in Constantini imperatoriam urbem venit. Cumque se applicasset cuidam patricio (Bardanes iste fuit, de quo diximus), crimine adulterii ab hoc viro reus fuit factus, ad quod perpetrandum hortatus eum fuerat Nicephorus illo tempore imperator, Bardani invidens propter insitam ei probitatem. Reus autem factus crimine adulterii, quod perpetrare quidem conatus fuerat, sed in actum non devenerat, in Syriam profugit. Ac primum quidem fidem in Christum abnegavit: dein cum satis longo tempore inter ipsos habitasset, elapsis iam viginti quinque annis, falsam famam sibi acquirit, Constantinum se esse dictitans, illum Leonis et Irenes filium. At is propter morum improbitatem et oculis et imperio orbatus fuerat, ac non multo post, ut imperio exciderat, e medio sublatus fuit, cadaver autem

ἐν τῇ βασιλευούσῃ σεμνείων. ἀλλ' ὅγε παλαμναῖος οὗτος ἀνὴρ μετὰ Σαρακηνῶν διαζῶν, ὑποσχέσεσι τούτους ἐπαίρει λαμπραῖς, ὡς ὑποτελῆ ποιήσειν αὐτοῖς τὴν Ῥωμαίων ἀρχήν, εἰ καὶ χρήματα C *ἱκανὰ καὶ στρατὸν ἀξιόχρεων δοῖεν πρὸς τὸ ἔργον αὐτῷ. καὶ δὴ τῶν αἰτουμένων τυχὼν ἐκστρατεύει κατὰ Ῥωμαίων εὐθύς, ποιεῖται δὲ καὶ διὰ τὸ μέγεθος τῶν ἐγχειρουμένων υἱὸν ἀνθρώπιόν τι μιξοβάρβαρον εὑρηκώς, μετὰ τῆς ψυχικῆς φαυλότητος καὶ ἀνοίας ἔτι δὴ καὶ δυσμορφίαν σώματος δυστυχοῦν καὶ τἆλλα τῶν τούτου· ὃ δὴ καὶ Κωνστάντιον ἐπιτρέπει καλεῖσθαι, ἀπόμοιράν τε τούτῳ Σαρακηνῶν στρατεύματος δοὺς σὺν αὐτῷ εἰς τὰ Ῥωμαίων εἰσβάλλει ἤθη. Λέων δὲ τότε καιροῦ τούτων ἦν βασιλεύς, ὁ Βάρδα μὲν τοῦ πατρικίου υἱός, ἐξ Ἀρμενίων δὲ κατάγων τὸ γένος· οὐ πολυωρίας δὲ ἀξιώσας τὸ ἐπιφυὲν Ῥωμαίοις κακόν, σχε-* D *διάσας δὲ πλῆθος στρατεύματος βραχὺ καὶ καθηγεμόνα στρατιώτην μᾶλλον ἢ στρατηγὸν ἐπιστήσας κατὰ Θωμᾶ ἀποστέλλει. καὶ δὴ τῶν στρατευμάτων ἀμφοτέρων συμπεσόντων ἀλλήλοις κατά τι τῶν ἐν τῇ ἕῳ χωρίων, πταίει μὲν ὁ τοῦ βασιλέως στρατὸς καὶ εἰς φυγὴν τρέπεται· ἐπ' ἀδείας δὲ ὁ ἀποστάτης γενόμενος πάντα πρὸς ἀνίσχοντα ἥλιον ἐπιτρέχει καὶ πρὸς βίαν τὰ ἑαυτοῦ ποιεῖται φρονεῖν.*

Οὐ πολὺ δὲ τὸ ἐν μέσῳ, καὶ Μιχαὴλ Λέοντα φονεύει καὶ τὴν βασιλείαν ἐκδέχεται. ὁ δέ γε στασιάρχης Θωμᾶς, ὡς μὴ

2. τούτοις ἐξαίρει L. 8. δὴ] δὲ L. 14. οὐ βραχὺ L.

eius loculo impositum in quodam augustali imperatoriae urbis. Iste vero sceleratus homo cum apud Saracenos viveret, pollicitationibus istos sollicitavit, se tributarium illis facturum Romanorum imperium, si et pecunias, quantum satis, et exercitum idoneum ad eam rem ei praebeant. Et ecce petitis potitus mox expeditionem suscipit in Romanos: adoptat etiam propter magnitudinem rerum susceptarum, filium homuncionem quendam semibarbarum nactus, cum animi improbitate et amentia etiam corporis et deformitate et ceteris laborantem, atque Constantium iubet appellari, cumque partem ei Saracenorum exercitus tradidisset, cum illo in Romanorum ditionem impetum facit. Leo illo tempore erat imperator, Bardae quidem patricii filius, sed genus ducens ex Armeniis. Cum autem hic non magna cura dignum existimaret imminens Romanis malum, extemporali opera collegit numerum copiarum exiguum, impositoque eis duce, aut gregario potius milite quam duce, contra Thomam misit. Ac concurrentibus utrinque exercitibus apud oppidum quoddam in oriente, vincitur imperatoris exercitus atque in fugam vertitur. Cumque sine metu esset desertor, per totum orientem grassabatur omnesque vi cogebat suarum esse partium.

Nec multo interiecto tempore Michael Leone interfecto imperium suscipit. Princeps autem seditionis Thomas, ut cui non esset satis

ἀρκούσης αὐτῷ τῆς κατὰ γῆν ἐπικρατείας σχεδὸν ἁπάσης, ἤδη τὸ ναυτικὸν ἅπαν τὸ ὑπὸ Ῥωμαίους ὄν, πλὴν τοῦ βασιλικοῦ κληθέντος, ὑποποιεῖται, καὶ ναῦς πλείστας ναυπηγήσας ἑτέρας σίτου τε παραπομποὺς καὶ ἵππων τάς τε πολεμιστηρίους, ταύτας E κατὰ Λέσβον κελεύει μένειν αὐτόν· ὁ δὲ ἅμα μυρίῳ δή τινι στρατῷ καταλαμβάνει τὸν μεταξὺ Σηστοῦ καὶ Ἀβύδου πορθμόν, κατὰ νώτου δὲ λιπὼν ἑαυτοῦ τὸν ψευδοκωνστάντιον καὶ ποιηθέντα υἱὸν ἅμα μεγίστῃ δυναστείᾳ τῶν προκατειλημμένων αὐτῷ V. 17 τὰ λοιπὰ καταδραμεῖν ἐπιτρέπει. δαιμόνων δὲ εἰσηγήσεσιν οὗτος καὶ μαντείαις ἠγμένος χρόνου ἡμέραν τοῖς συμπόταις προλέγει καθ' ὃν τῇ βασιλευούσῃ προέλθοι πόλει ἐν ἀρρήτῳ δόξῃ τινί· ἤδη δὲ τῆς κυρίας ἐνστάσης αὐτῆς τῷ ὑπὸ τὸν Ὀλβιανὸν περιπίπτει στρατῷ, οὗ πρὸς βραχὺ μὴ ἐνεγκὼν τὴν ὁρμὴν φεύγει τε καὶ εὐθέως ἁλίσκεται. καὶ τὴν κεφαλὴν αὐτοῦ ὁ γενναῖος Ὀλβιανὸς ἐκτεμὼν πέμπει τῷ βασιλεῖ Μιχαήλ· ὁ δὲ τῷ στασιώτῃ ταύτην καὶ ψευδωνύμῳ ἀποστέλλει πατρί. ἀλλ' οὗτος μὲν οὐδέν τι τῆς ἀπονοίας ἠφίετο, ἀλλ' ἅμα τῷ νηΐτῃ Λέσβοθεν ἥκοντι στόλῳ, καὶ αὐτὸς ναυσὶν ἱππαγωγοῖς κεχρημένος, νύκτα διασκοπήσας ἀσέληνον, ἐκ παράλου τοπίου τινὸς ὃ δὴ πρὸς τῶν ἐγχωρίων καλεῖται Ὁρκόσιον, πολλαχοῦ περαιοῦται τῆς Θρᾴκης λα- B θών, εὑρὼν δὴ πάντας Θρᾷκας κατηκόους αὐτῷ, καίτοι τοῦ βασιλέως, ὅτε δὴ φήμη περιηγγέλη ὡς διαβαίνει ναυσὶν ὁ ἀποστάτης τὸν κατὰ τὴν Ἄβυδον τῆς θαλάττης πορθμόν, ἐνστρα-

6. σειστοῦ L. 21. εὑρὼν δὲ L. 22. φήμῃ περιηγγέλει L.

obtinere terram fere omnem, etiam rem nauticam universam Romanorum, excepta classe illa quae imperatoria dicebatur, in suam potestatem redegit, navesque plurimas fabricatus alias tritico et equis portandis, bellicas item, apud Lesbum exspectare iubet: ipse autem cum innumeris copiis occupat fretum inter Sestum et Abydum. Cumque Pseudoconstantium, quem adoptaverat in filium, cum maxima multitudine a tergo reliquisset, ea quae ipse nondum occupasset et reliqua essent pergrassari iubet. Iste porro daemonum monitis et vaticiniis impulsus tempus et diem praedicit convivis suis quo imperatoriam urbem esset ingressurus cum gloria quadam ineffabili. Iamque instante statuto illo die, in Olbiani exercitum incidit; cuius impetum cum ad breve tantum tempus sustinuisset, fugam arripit statimque capitur. Eiusque caput egregius ille Olbianus amputatum mittit imperatori Michaeli: iste autem rebelli et patri falsi nominis transmittit. Sed is nihil a dementia remisit, verum una cum classe a Lesbo veniente, et ipse hippaginibus utens, nocte observata illuni, a maritimo quodam oppido quod ab illius loci hominibus vocatur Horcosium, in diversis Thraciae locis clam appulit invenitque Thraces universos sibi addictos; quamvis imperator, cum fama nuntiaret rebellem navibus traiicere fretum apud Abydum, exercitum quendam

τεύσαντός τε κατ' αὐτοῦ ὀλιγίστῳ στρατῷ καὶ ἐκ πασῶν πόλεων Θρᾳκικῶν ὡς συμμαχήσουσι βασιλεῖ πίστεις λαβόντος· ὅμως ταύτας ἁπάσας παρ' οὐδὲν θεμένων αὐτῶν, πολὺς ὁ τύραννος ἐγεγόνει, καὶ τούτων προσρυέντων αὐτῷ. παραχρῆμα ὁ βασιλεὺς πρὸς τὴν πόλιν ὑπονοστεῖ, καὶ ὡς ἐνῆν τὰ κατ' αὐτὴν ἀσφαλέστατα διαθείς, πεζὸν ἅμα καὶ ναυτικὸν συναθροίζει στρατὸν ἐκ τῶν κατ' ἀνατολὴν ἤδη τοῦ ἀποστάτου ὑποχωρήσαντος C πρός γε βραχὺν χρόνον τῆς τυραννίδος ἀπηλλαγμένων. ἐνίησι δὲ βασιλεὺς καὶ πῦρ πολεμιστήριον ταῖς ναυσί, καὶ τὴν σιδηρᾶν σχοῖνον ἀπ' ἀκροπόλεως μέχρι τοῦ πέραθεν φρουρίου διέτεινεν, ὡς ἂν τὸ κατὰ τὴν πόλιν καλούμενον Κέρας μὴ ἐκ τοῦ στόλου τῶν ἀντιπάλων πημαίνοιτο. Γρηγόριον δέ, πάλαι μὲν χρηματίσαντα στρατηγόν, δι' αἰτίας δὲ βασιλεῖ γεγονότα καὶ διὰ τοῦτο εἰς Σκῦρον, μίαν τῶν Κυκλάδων νήσων, φυγαδευθέντα, λαβὼν ὁ ἀποστάτης, ἅτε δὴ προσχωρήσαντα αὐτῷ, χειροτονεῖ στρατεύματος ἡγεμόνα μυρίων ἀνδρῶν, καὶ τοῦτον πρόδρομον αὐτοῦ κατὰ τῆς βασιλευούσης προπέμπει, ἀλλὰ δὴ καὶ στόλον ναυτίλων ἀνδρῶν, ἵνα δὴ ἄμφω κατὰ ταὐτὸν ἐν τῇ Κωνσταντίνου γένοιντο πόλει. καὶ δὴ γέγονε τοῦτο ταχέως, συνελθόντες ἀλλήλοις ἀπό τε γῆς καὶ θαλάττης κατὰ τὰς Βαρβύσου τοῦ ποταμοῦ D ἐκβολάς, οὐδὲ τῆς σιδηρέας ἐξαρκεσάσης σειρᾶς κωλῦσαι τὴν τῶν πολεμίων ἔφοδον πλοίων. μετ' οὐ πολὺ δὲ καὶ αὐτὸς σὺν

6. πεζῶν ἅμα καὶ ναυτικῶν L. 8. βραχὺ χρόνον L. 18. κατ' αὐτὸν L. 19. ταχαίως L.

perexiguum eduxisset contra eum et ex omnibus civitatibus Thraciis fidem auxilii praestandi et societatis accepisset. Sed istis eam negligentibus, magna incrementa capit tyrannus, his etiam ad eum confluentibus. Statim igitur imperator in urbem revertitur, atque ut licebat ea firmata, terrestres simul et navales collegit copias ex orientalibus, qui post discessum desertoris iam aliquantisper tyrannide liberati erant. Immisit autem imperator etiam ignem bellicum navibus, atque ferream catenam ab arce usque in castellum ex adverso extendit, ne urbis Keras quod vocatur (i. e. Cornu) ab hostili classe infestaretur. Porro Gregorium, qui olim quidem fuerat dux militaris, sed in offensionem imperatoris venerat atque ob id in Scyrum unam ex Cycladibus insulis relegatus fuerat, hunc inquam nactus desertor, utpote ad ipsum se conferentem, praeficit exercitui decem mille virorum, atque hunc praecursorem suum adversus imperatoriam urbem mittit, simul autem et classem nauticumque exercitum, ut ambo eodem tempore Constantinopolin pervenirent. Id quod cito admodum factum fuit, cum convenissent terra marique ad Barbysi fluvii ostia, neque ferrea illa catena valuisset prohibere adventum navium hostilium. Nec multo post ipse etiam cum octoginta millibus ad-

κ' χιλιάσιν ἐπιστατεῖ τῇ πόλει, ἐπὶ δὲ τῷ προτέρως ποιηθέντι υἱῷ καὶ ἕτερον ἀναδείκνυσιν, Ἀναστάσιον ὄνομα, πάλαι μὲν εἰς τοὺς καλουμένους τελέσαντα μοναχούς, εἰς κοσμικῶν δὲ τρόπων φαυλότητι τάξιν ἐληλυθότα, αἰσχρὸν τὸ εἶδος, ὥστε δοκεῖν ἐξ οἰνοποσίας Ἰνδογενὴς εἶναι, μοχθηρότερον τῇ ψυχῇ ὑπὸ ἐμπληξίας ἐσχάτης. μετὰ τούτου οὖν καὶ παντὸς τοῦ στρατοῦ προσβάλλει τῇ πόλει, ἅμα τῷ φανῆναι οἰόμενος ἀνοιγῆναι τὰς πύλας αὐτῷ. ἐπεὶ δὲ τῆς ἐλπίδος διαμαρτάνει, τῶν πολιτῶν μεθ' ὕβρεων ἀποπεμψάντων αὐτόν, σκηνοῦται κατὰ τῶν σεβασμίων Ἀναργύρων νεών, καὶ πάντας ἔσχεν ὑπηκόους τοὺς κατὰ τὸν Θράκιον οἰκοῦντας Βοόσπορον. εἶτα πόλεμον μετὰ τῆς πόλεως V. 18 συγκροτεῖ τοξεύμασιν ἀφάτοις καὶ τοῖς ἐκ τῶν πετροβόλων λίθοις ὀργάνων, μάλα δὴ κατὰ μέρος τῶν Βλαχερνῶν ἐλπίζων ταύτην ἑλεῖν. ὅθεν δὴ καὶ ὁ βασιλεὺς Μιχαὴλ ἀναβὰς ἐπὶ τῆς ὀροφῆς τοῦ τῆς θεοτόκου ναοῦ τὸ πολεμικὸν σημεῖον πήγνυσι, κελεύει δὲ καὶ Θεόφιλον τὸν υἱὸν λαβεῖν γε τὸ νικοποιὸν τοῦ σταυροῦ ξύλον καὶ τὴν σεβαστὴν ἐσθῆτα τῆς θεομήτορος, καὶ περιελθεῖν τὸν τοῦ Βυζαντίου τείχους περίβολον μετὰ λιτανείας, σὺν ἅμα τῷ ἱερῷ κλήρῳ καὶ τοῖς ἄλλοις πολίταις, τῆς θείας ἐπικουρίας δεόμενον. παρατάττεται δὴ παντοίῳ πολέμου εἴδει ὁ ἀποστάτης καὶ μηχαναῖς· ἀλλ' ἐξ ὑπερδεξίου οἱ τοῦ βασιλέως ταῖς τε βολαῖς καὶ τοῖς ἀντιμηχανήμασι κεχρημένοι διωθοῦνται τοὺς ἐναντίους, B ὥστε καὶ κλίμακας καὶ χελώνας κριούς τε καὶ πᾶν εἴ τι

1. ἐπίσταται L. 4. φαυλότητα L.

fuit ad urbem. Adoptavit etiam, post priorem adoptivum filium, alterum quoque, Anastasium nomine, qui olim quidem monachus fuerat, sed ad secularium improbitate morum ordinem defecerat; turpi facie, ut videretur ob vinolentiam ex India oriundus, sed peiore animo propter extremam vecordiam. Cum isto igitur et universo exercitu accedit ad urbem, simul atque apparuisset putans apertum iri portas sibi. Cum autem haec spes eum fefellisset, civibus eum cum contumelia ablegantibus, tabernacula ponit apud venerabilium Anargyrorum templum, omnesque habuit sibi subiectos eos qui in Thracio habitabant Bospoто. Deinde bellum adversus urbem instaurat cum sagittis innumeris et lapidibus ex machinis ad id paratis, potissimum a parte Blachernarum sperans se eam capturum. Quapropter et Michael, conscenso tecto templi deiparae, belli signum figit: iubet etiam Theophilum filium sumere lignum crucis victoriae efficiens venerandamque vestem deiparae, et obire moenium Byzantii ambitum, supplicando, una cum sacro clero aliisque civibus, divinum auxilium implorantem. Oppugnat ergo desertor omni genere bellandi atque machinis. Sed ex superiore loco ii qui erant cum imperatore, iactibus et machinis contra instructis usi, repellunt adversarios, ita ut scalas et testudines et arietes et quidquid eiusmodi esset instru-

τοιοῦτον ὄργανον λιπόντας ὑπὸ τὰς ἰδίας διαδρᾶναι σκηνάς. ἀλλὰ καὶ ὁ ναυτικὸς τοῦ ἀποστάτου στρατὸς καὶ αὐτὸς τῷ ὑγρῷ κεχρημένος πυρί, κυκλοῖ τὴν πόλιν τούτῳ τε καὶ τοξεύμασιν ἀριθμοῦ πλείοσι, πρὸς δὲ καὶ τετρασκελέσιν ἑλεπόλεσι καλουμέναις, πνεύσαντι ἐναντίῳ πνεύματι ἀποκρούεται, ἅτε δὴ καὶ χειμερίου τῆς ὥρας οὔσης.

Ἤδη δὲ τοῦ ἡλίου ταῖς ἀρκτῴοις οἰκήσεσιν ἐπιθέοντος διά τε τοῦ πεζικοῦ καὶ τοῦ ναυτικοῦ στρατοῦ προσβάλλει τῇ πόλει κατ' ἐκεῖνο μάλα τὸ μέρος ὃ δὴ Κέρας τὸ σχῆμα καλεῖται, τετρασκελεῖς ἑλεπόλεις κατασκευάσας καὶ ἐκ τῶν πεμπομένων δι'
C αὐτῶν ἀπὸ τῶν νεῶν λίθων κατασείειν τὸ τεῖχος οἰόμενος. ὁ δέ γε βασιλεύς τισι τῶν ἐναντίων διὰ τοῦ τείχους εἰς λόγους ἦλθεν ἀμνηστίαν τῶν εἰργασμένων αὐτοῖς ἕξειν, εἰ μεταμεληθεῖεν, παρεγγυῶν· οὐ πείθει δὲ τούτοις, ἀλλὰ στρατόν τινα καθοπλίσας ὀλίγιστον, ἀθρόον τῆς πόλεως ἔξεισι καὶ τοὺς ὑπαντήσαντας αὐτῷ κατὰ κράτος νικᾷ, καὶ κατὰ θάλατταν δὲ τοσοῦτον ὥστε τὰ πλοῖα πρὸς γῆν διοκείλαντας συνδεδεμένα πρὸς τοὺς ἐκ τῆς χέρσου μαχομένους ἀναφυγεῖν καὶ τὸν ἐκ θαλάττης ἀπαγορεύσασθαι πόλεμον, ἑκόντας τε πολλοὺς τῶν πολεμίων προσχωρῆσαι τῷ βασιλεῖ. ἐν οἷς καὶ Γρηγόριος, συνελκύσας ἑαυτῷ καί τινα
D μοῖραν βραχεῖαν στρατοῦ καὶ κατὰ νύκτα τινὰ λαβόμενος εὐκαιρίας, φεύγει πρὸς τὴν Θρᾴκην καὶ κατὰ νώτου γίνεται τοῦ τυ-

1. λειπόντας L. 8. κυκλῶν coni. B. 9. μάλα] fort. πάλιν. 15. ἀθρῶον L. 17. διοκείλαντα L. 22. νῶτον L.

menti relinquerent inque sua diffugerent tabernacula. Sed et navalis exercitus desertoris ipse etiam humido utens igne, oppugnans urbem illo, et sagittis innumeris, insuper et machinis quaternorum crurum, flante adverso vento reiicitur.

Sole autem iam septentrionalia lustrante, terrestri et navali exercitu oppugnat urbem, illa praecipue parte quae Keras (i. e. Cornu) a figura vocatur, machinas cum quaternis cruribus fabricatus, atque missis per eas lapidibus e navibus muros se concussurum putans. Ceterum imperator cum quibusdam ex hostibus de muro collocutus oblivionem et veniam patratorum, si paenitentiam prae se ferant, promisit, sed non persuasit. Itaque postquam exercitum perexiguum armasset, subito ex urbe erumpit et occurrentes sibi magna strage vincit; pariter et in mari, ut navibus ad terram actis et colligatis, ad eos qui in continente pugnabant confugerent, in mari pugnare haud sustinentes, multique ex hostibus ad Michaelem deficerent; inter quos et Gregorius, abstrahens secum partem quandam exiguam exercitus, atque nocte quadam nactus opportunitatem, properans se confert in Thraciam et a tergo fit tyranno.

ράννου. ἀλλ' ὅγε στασιάρχης ἅμα τῷ τοῦτο μαθεῖν στρατεύει κατὰ Γρηγορίου, καὶ τοῦτον καταλαβὼν ἀναιρεῖ, καὶ πάλιν εἰς τὴν πόλιν ἐλθὼν τῆς ἐξ ἀρχῆς ἔχεται προσεδρείας, γράμμασί τε πεπλασμένοις, ὡς κατά τε γῆν καὶ θάλασσαν εἴη νενικηκώς, τῷ κατά τε τὴν Ἑλλάδα καὶ τὰς νήσους ἁπάσας ναυτικῷ ἐξαπατήσας ἀναχθῆναι κελεύει καὶ τῷ βασιλεῖ διαμάχεσθαι. καὶ δῆτα πλοῖα σιταγωγὰ τοῖς πολεμιστηρίοις προσκαθοπλίσαντες πανθυμαδὸν ἀναπλέουσι, προσορμίζονταί τε τῇ τῶν καλουμένων Βυρίδων E ἀκτῇ, τῶν προτέρων οὐκ ἐλάττους οὖσαι τὸ πλῆθος· καὶ γὰρ εἰς ν' καὶ τ' ὁ τούτων ηὔξητο ἀριθμός. ἔμελλε δὲ ἄρα ἔκ τε νοτίου μέρους καὶ βορείου τῆς πόλεως αὐτῇ προσβαλεῖν ταῖς ναυσίν. βασιλεὺς δὲ προφθάσας ἀποστέλλει πυρφόρους ναῦς, αἳ δὴ ταῖς τῶν ἐναντίων ναυσὶ κατὰ τὸν εἰρημένον ἐπιθέμεναι χῶρον, ἃς V. 22
μὲν ὁλοκαυτοῦσιν αὐτῶν, ἃς δὲ σκεδαννύουσιν, τὰς πλείους δὲ τούτων αὐτῶν συλλαμβάνουσιν ἀνδράσιν αὐτοῖς καὶ τῷ βασιλεῖ προσάγουσιν.

Ἀκηκοὼς δὲ Μορτάγων ὁ κύριος Βουλγαρίας ὅσα τε καὶ οἷα κατὰ τὴν βασιλίδα πόλιν συνηνέχθη γενέσθαι, διαπρεσβεύεται πρὸς βασιλέα καὶ συμμαχεῖν αἰτεῖται αὐτῷ· αἱ γὰρ ὑπὸ Λέοντος τοῦ βασιλέως πρὸς αὐτοὺς τριακοντούτεις σπονδαὶ ἤδη τὴν πρώτην δεκαετηρίδα συνεπλήρουν σχεδόν. ἀποδοχῆς δὲ μεγάλης ὁ βασιλεὺς τὴν γνώμην αὐτῶν ἀξίαν κρίνας ἀπολογεῖται μὴ

1. τῷ om. L. 6. καὶ δὴ τὰ L. 11. προσβαλλεῖν L.
22. ἀξίως L.

Sed rebellionis princeps, simul atque id intellexit, cum militari manu aggreditur Gregorium captumque interficit, reversusque ad urbem obsidionem continuat, litterisque fictis, quasi terra marique vicisset, decipiens, naves e Graecia insulisque universis subvehi iubet ad proelium cum imperatore committendum. Itaque navibus vehendo frumento bellicisque instructis unanimiter provehuntur appelluntque in littore Byridensi, haud minore numero quam priores: nam ad CCCL earum excreverat numerus. Erat autem et ab australi et a boreali parte urbem navibus aggressurus. Sed imperator praeveniens misit igniferas naves, quae hostiles naves in loco praedicto adortae partim comburunt integras, partim dispergunt, plerasque autem capiunt una cum hominibus et imperatori adducunt.

Cum autem audivisset Mortagon Bulgariae dominus quae quantaque imperatoriae urbi accidissent, per legationem agit cum imperatore, deposcitque sibi societatem belli. Nam foedus illud tricennale sub Leone imperatore cum ipsis factum iam fere primum decennium implebat. Sed imperator, quamvis magnopere probandam iudicaret voluntatem ipsorum, se excusavit, haud oportere eos inter quos conventum sit tanto tempore

χρῆναι τοὺς ἐπὶ τοσοῦτον χρόνον ὡμολογηκότας Χριστιανικῶν
αἱμάτων ἀφέξεσθαι ἐπὶ τῷ τῶν στασιωτῶν πολέμῳ τὰ καλῶς
B δόξαντα καταλύειν· φιλοφρονησάμενος δὲ αὐτοὺς τῆς προθυμίας
ἀξίως πρὸς τὴν ἑαυτῶν ἀποστέλλει. ἀλλ᾽ οὗτοι μὲν κατ᾽ οὐδὲν
τῶν τοῦ βασιλέως φροντίσαντες λόγων κατά τε τοῦ τυράννου
στρατεύουσι καὶ εἰς τὰ Ῥωμαίων εἰσβαλόντες ἤδη κατὰ τὸν Κη-
δούκτου καλούμενον στρατοπεδεύονται χῶρον. μαθὼν δὲ ὁ ἀπο-
στάτης τὴν κατ᾽ αὐτοῦ τῶν Βουλγάρων ἔφοδον, τοῦ κατα-
λειφθέντος αὐτῷ ναυτικοῦ λόγον οὐδένα ποιεῖται, ὅθεν δὴ τοῦτο
πᾶν τῷ βασιλεῖ προσχωρεῖ· ὅλος δὲ τοῦ πεζοῦ στρατοῦ γεγονὼς
ἀπαίρει μὲν τοῦ προσεδρεύειν τῇ πόλει, κατὰ δὲ τὸ εἰρημένον
χωρίον προσβαλὼν τοῖς Βουλγάροις κατὰ κράτος ἡττᾶται. καὶ
πλεῖστοι μὲν τῶν αὐτοῦ κτείνονται καὶ πυρπολοῦνται πρὸς τού-
C των· οἱ δὲ περιλειφθέντες ὡς εἶχον σθένους σκεδάννυνταί που.
λείαν δὲ πολλὴν τῶν πολεμίων οἱ Βούλγαροι συμφορήσαντες πρὸς
τὴν ἑαυτῶν ὑποστρέφουσιν.

Οὐκ ἀπολήγει δὲ καὶ οὕτως πράξας κακῶς τῆς ἀπονοίας ὁ τύραννος, ἀλλὰ τοὺς σκεδασθέντας συλλέξας [καὶ] πρὸς τὴν καλουμένην Διάβασιν, ἅτε δὴ πρὸς τὸ στρατοπεδεῦσαι πάντα οὖσαν ἐπιτηδείαν, διά τε τὴν τῶν ἵππων νομὴν καὶ πρὸς τὴν ἄλλην χρείαν τῶν ἀνθρώπων ἀφθονωτέραν τυγχάνουσαν, ἐκεῖσε σκηνοῦται τῷ τέλματι τοῦ χωρίου θαρρήσας, ἐκεῖθέν τε ὥσπερ ἐξ ἀκροπόλεως, ὄντως τύραννος ὤν, συχνὰς ποιεῖται καταδρομὰς καὶ τὰς πλησιαζούσας πυρπολεῖ κώμας. ὅπερ δὴ μαθὼν ὁ βα-

abstinere a Christiano sanguine, propter rebellium bellum ea quae recte probassent et decrevissent rescindere. Condigne ergo pro ipsorum promptitudine atque humane exceptos habitosque in patriam dimittit. Sed isti, nihil curantes imperatoris dicta, adversus tyrannum infesto exercitu proficiscuntur, atque apud Cedocti locum ita dictum castra ponunt. Porro desertor, cognito Bulgarorum hostili adventu, relictae quidem a se classis rationem habet nullam; unde etiam ea tota imperatori se adiunxit: totus autem terrestri exercitui intentus ab obsidenda urbe discedit et apud praedictum locum congressus cum Bulgaris ingenti clade afficitur, plurimique suorum occiduntur et cremantur, reliqui autem quantum possunt fugientes disperguntur. Multis autem spoliis hostium congestis Bulgari in patriam revertuntur.

Non desinit tamen, quamvis re ita male gesta, tyrannus insanire. Sed postquam dispersos collegisset, ducit ad Diabasin locum ita dictum, castris omnino idoneum, pabulis equorum rebusque aliis ad usus hominum abundantiorem: illic tabernacula ponit, palude illius loci tutum se fore ratus, atque inde tanquam ex arce verus tyrannus crebras facit incursiones proximosque vicos incendiis vastat. Quo intellecto imperator

σιλεὺς Μιχαήλ, ὡς εἶχε δυνάμεως, εὐαρίθμητον σχεδιάζει στρα- D
τὸν καὶ κατὰ τοῦ τυράννου πρὸς τὸν εἰρημένον ἔρχεται χῶρον σὺν κόσμῳ στρατηγεσίας παντί, λόγοις καὶ ταῖς ἄλλαις ὑποσχέσεσι τοὺς συνόντας ἐπιρρωννύς. ὁ δὲ τύραννος πλήθει πολλῷ δὴ μάλα ὑπαντιάζει τῷ βασιλεῖ, σχηματίζεταί τε φυγήν, ὥστε τὸν τοῦ βασιλέως στρατοῦ διαλυθῆναι συνασπισμόν· διαμαρτάνει δὲ τοῦ σκοποῦ, μήτε τὴν τάξιν τοῦ βασιλικοῦ διαλύσας στρατοῦ, μήτε τοῖς ἑαυτοῦ συναφθῆναι οἷός τε γεγονώς, ἀλλὰ τῶν ἐναντίων μὴ ἐνεγκὼν τὴν ὁρμήν, ὡς εἶχε τάχους, χρῆται φυγῇ καὶ πρὸς τὴν Ἀρκαδιούπολιν σύν τισι τῶν ἑαυτοῦ διασώζεται. E
ὁμολογήσαντας δὲ αὐτῷ τοὺς πλείστους τῶν στασιωτῶν ὁ βασιλεὺς εἰληφὼς ἐπέρχεται τῇ πόλει αὐτῇ καθ' ἣν ὁ τύραννος διεσώζετο, χάρακά τε περιβάλλει αὐτῇ καρτερὸν κύκλῳ. ὀλιγίστους δὲ ὁ ἀποστάτης ἔχων ἔνδον τῆς πόλεως ἱππότας, πολλάκις, ὅτε δὴ πεφυρμένους διήθρει τοὺς ἐναντίους, ἠφίει κατ' αὐτῶν τού- V. 20
τους· ἀλλ' οὖν γε καὶ ταύτῃ μᾶλλον ἐπάνθανον ἢ ἔδρων οἱ δείλαιοι. ὁ δέ γε βασιλεὺς ἑλέπολιν μὲν οὐ προσῆγε τῇ πόλει, φειδοῖ μήτε τινὰ τοῦ λοιποῦ τῶν ὁμοδόξων ξίφεσιν ἀναιρεῖσθαι, μήτε μὴν δειχθῆναι τοῖς Σκύθαις ὡς δυνατὸν μηχαναῖς τὰς ὑπὸ Ῥωμαίων ἁλῶναι πόλεις· λιμῷ δὲ καὶ προσεδρείᾳ περιγενέσθαι τοῦ τυράννου διέγνω. καὶ δῆτα πολλοῦ χρόνου διαδραμόντος τρσοῦτον ἐνδεῖται τῶν πρὸς τὸ ζῆν ὁ τύραννος ἀναγκαίων, ὥστε

13. καρτερῶν L. 15. διήρθρει L. 16. Continuator p. 41 D. καὶ φόνον οὐ ποιεῖ μέν, πάσχει δὲ παρὰ τῶν ἐχθρῶν.

Michael, modico coacto exercitu adversus tyrannum in praedictum locum proficiscitur bene instructa acie, verbis et pollicitationibus suos confirmans. Tyrannus porro cum ingenti multitudine adversum proficiscitur, simulat autem fugam, ut imperatoris acies dissolvatur: sed ab hoc scopo aberravit, cum nec imperatoris exercitus ordinem turbaret, nec ipse cum suis coniungere se posset. Itaque adversae partis impetum sustinere non valens qua poterat celeritate fugit, atque in Arcadiopolin cum quibusdam ex suis evadit. Porro imperator, cum plerosque ex rebellibus in fidem accepisset, aggreditur ipsam urbem in quam tyrannus evaserat, vallumque ei circumdat undique firmum. Deserter autem paucissimos intra urbem habens equites, saepe, quoties scilicet sine ordine turbatos cerneret adversarios, immittebat his illos: sed hac etiam ratione plus patiebantur quam efficiebant perditi illi. Nullas autem imperator machinas admovit urbi, id cavens ut nec ex consortibus fidei quisquam gladio interficeretur, neque ostenderetur Scythis posse machinis capi Romanorum urbes: verum fame et assidua obsidione tyrannum in suam potestatem redigere statuerat. Itaque multo tempore elapso adeo indigere coepit tyrannus rebus ad vitam necessariis, ut primo quidem omnem aeta-

πρῶτον μὲν πᾶσαν ἄχρηστον ἡλικίαν καὶ φύσιν ἐκεῖνοι τῆς πόλεως, εἶτα τῶν ἵππων αὐτῶν διὰ τὴν λιμὸν ἀποφθαρέντων, τῶν κρεῶν αὐτῶν, καὶ ταῦτα ὀδωδότων, γεύσασθαι πείθει· προῆλ-
B θον δὲ εἰς τὸ κώδιά τε καὶ τἄλλα σκύτη φαγεῖν. καὶ τέλος οἱ μὲν αὐτῶν διὰ τῶν πυλῶν λανθάνοντες, οἱ δὲ καὶ διὰ τῶν τειχῶν καθάπτοντες κάλους, ἄλλοι δὲ καὶ ἑαυτοὺς ῥιπτοῦντες κατὰ τὸ ἔδαφος καὶ τὰ μέλη συνθλώμενοι, ἀνωμολόγουν τῷ βασιλεῖ, καὶ συγγνώμης τυγχάνοντες καὶ ἀδείας Ἀναστασίῳ τῷ ψευδωνύμῳ τοῦ τυράννου συνήπτοντο υἱῷ, τοῦ Βύζης ἐπειλημμένῳ πολίσματος, ἐκ τούτου ἐν αὐτοῖς διαπολεμεῖν τῷ βασιλεῖ ᾑρημένῳ, ἵνα δὴ παράσχοι τῷ ἀποστάτῃ ἐν τῷ μάχεσθαι ῥᾳστώνην φυγῆς. εἰς δὲ λόγους ὁ βασιλεὺς τοῖς ἐν τῇ πόλει ἐλθὼν καὶ τῶν εἰς αὐτὸν ἁμαρτημάτων λήθην μεθ' ὅρκων ὑποσχόμενος ἕξειν, κατὰ τοῦ τυράννου συνίστανται καὶ συσχόντες αὐτὸν προσάγουσι βασι-
C λεῖ· ὁ δὲ γηθομένῳ ποδὶ κατ' αὐχένα πατήσας αὐτὸν χειρῶν ἄμφω καὶ ποδῶν στερηθῆναι κελεύει, ἐπὶ κοντοῦ τε ἀναρτᾶσθαι πρὸς τούτῳ. ποινηλατούμενος δὲ ὁ δείλαιος οὕτως ἐβόα μέγα "ἐλέησόν με, ἀληθῶς βασιλεῦ." ἐρομένου δὲ τοῦ βασιλέως αὐτὸν εἴ τινες εἶεν κρυφίως συνεγνωκότες τῆς ἀπονοίας αὐτῷ, τάχα ἂν πολλῶν κατεῖπε ψευδῶς τῶν βασιλικῶν φίλων· ἀλλ' Ἰωάννης ἀνὴρ ἐπίκλησιν Ἐξαβούλλιος, ἐν πατρικίοις τελῶν, τὸν τύραννον ἐπέσχεν εἰπεῖν, φήσας τῷ βασιλεῖ ὡς οὐ δέον κατὰ φίλων πιστεύειν ἐχθροῖς. ἀλλ' ὁ μὲν τύραννος οὕτως δυστυχῶς

10. ᾑρημένων L. 14. συσχῶντες L. 17. πρὸς τοῦτο L.

tem sexumque inutilem eiiceret ex urbe, deinde ipsorum equorum qui fame perierant carnes, easque iam olentes, gustare hortaretur: eoque deventum ut pelles aliaque coria comederent. Ac postremo eorum alii per portas clam egressi, alii de muris suspensis funibus demissi, alii proiiciendo se ipsos in terram lapsi, fractis etiam membris, fidem imperatori promiserunt. Sed veniam securitatemque adepti ad Anastasium, tyranni filium falsi nominis, sese conferebant, qui Byzae oppidum occupaverat, indeque bellum inferre per eos imperatori cogitabat, ut scilicet pugnando praestaret desertori facultatem fugiendi. Sed cum imperator cum oppidanis collocutus eis delictorum oblivionem iuratus promisisset, in tyrannum consurgunt comprehensumque adducunt imperatori. Qui, cum laeto pede eius collum calcasset, manibus ambabus et pedibus eum orbari iubet, atque in palo suspendi insuper. Cruciatibus autem exagitatus perditus ille sic clamabat magna voce, "miserere mei, o vere imperator." Cumque interrogasset eum imperator, si qui essent occulte conscii eius amentiae, fortasse multos indicasset falso ex imperatoris amicis: sed vir quidam Iohannes cognomine Exabullius, patricius, prohibuit tyrannum dicere, affirmans imperatori haud oportere de amicis credere inimicis. Interim tyrannus sic misere finit vitam, mense Octobri iam

καταστρέφει τὸν βίον μηνὸς Ὀκτωβρίου μεσοῦντος ἤδη· εὐθὺς δὲ καὶ Ἀναστάσιον οἱ ἐκ Βύζης, ἐπειδὴ τὸν ἀποστάτην ἔμαθον ἀνῃρῆσθαι, πεδήσαντες χεῖρας καὶ πόδας πρὸς βασιλέα κομίζουσιν, ὅντινα δὴ τῇ αὐτῇ τοῦ ψευδωνύμου πατρὸς καταδικά- D
ζει ποινῇ.

Ἐπεὶ δέ τινες τῶν τοῦ τυράννου τὴν καλουμένην Πάνιον κατασχόντες πόλιν, ἄρτι μὲν τούτου ἀπεφθορότος, εἰς τὸ πολεμεῖν βασιλεῖ διέγνωσαν καταστῆναι, πρὸς ἣν ἐλθὼν ὁ βασιλεὺς Μιχαὴλ καὶ λόγους εἰρηνικοὺς προτεινόμενος οὐδαμῶς πείθει καταθέσθαι τὰ ὅπλα, γίνεται δή τι θεόθεν σημεῖον αὐτοῖς· σεισμὸς γὰρ σφοδρὸς τό τε τεῖχος κατέβαλε καὶ τοῖς τοῦ βασιλέως τὴν εἰς πόλιν δέδωκε πάροδον· ὃ τοῖς σεισμοσκόποις σημεῖον ἧττης, ὅθεν γεγένηται τοῦτο. ἀλλὰ δὴ καὶ Ἡράκλεια ἡ πάλαι Πέρινθος καλουμένη, τὰ τοῦ τυράννου λίαν νοσοῦσα, πρὸς τὴν διὰ τῶν τοῦ βασιλέως λόγων θεραπείαν ἀντέσχεν· ὅθεν δὴ τῆς V. 21
ἐκ τοῦ θαλαττίου μέρους τοῦ τείχους ἐπιδρομῆς τῶν βασιλικῶν πειραθεῖσα στρατιωτῶν ἁλίσκεταί τε καὶ τῆς τυραννικῆς ἀπαλλάττεται νόσου ἀναιμωτὶ καθάπαξ ὑπὸ τῶν ἐναντίων ληφθεῖσα. ἐντεῦθεν δὴ βασιλεὺς πάντα κατήκοα λαβὼν ἑαυτοῦ πρὸς τὴν βασιλίδα πόλιν ὑπονοστεῖ, καὶ ἱππικὴν ἐπιτελέσας ἁμίλλησιν οὐδὲν ἀνήκεστον τοῖς στασιώταις ποιεῖται, πλὴν τοῦ διὰ μέσης τῆς

2. οἱ em. L. 13. ὅθεν] fort. ὁπόθεν. *cladem fore a qua parte ruina facta fuerit.* 18. λειφθεῖσα L.

medio. Mox autem cognito rebellem interfectum, etiam Anastasium ex Byza constrictis manibus pedibusque ad imperatorem adducunt, quem eadem qua falsi nominis patrem condemnat poena.

Ceterum quidam ex tyranni asseclis occupata urbe quae Panion dicitur, cum, quamvis modo interempto illo, bellum gerere contra imperatorem statuissent, ad eam urbem profectus imperator Michael sermones pacificos praetendens haudquaquam persuasit ut arma deponerent. Fit autem divinitus prodigium ipsis: nam terrae motus vehemens simul murum deiecit, et iis qui cum imperatore erant in urbem ingrediendi copiam fecit: quod contemplatoribus et coniectoribus terrae motuum signum est cladis, unde etiam id factum est. Quin et Heraclea, quae olim Perinthus dicta, rebellionis morbo laborans ad verba imperatoris voluntatem erga ipsos declarantia obstinata fuit. Itaque ex maritima parte muri incursionem imperatoriorum experta militum, capitur et rebellionis liberatur morbo sine caede et sanguine ab adversariis occupata. Hinc imperator, postquam omnia sibi subiecerat, in imperatoriam urbem revertitur, celebratisque ludis circensibus nullam saevitiam exercet in rebelles, nisi ut per medium circum manibus post terga vinctis irent, et

ἱπποδρομίας εἰς τὰ ὀπίσω δεδεμένους τὰς χεῖρας ἰέναι, καί τινας εὐθὺς φυγαδεῦσαι αὐτῶν. καὶ οὕτω θριαμβεύει τὴν νίκην.

Ἐπὶ χρόνου δὲ ἐν ᾧ ἀποστασία προβεβήκει ἡ Θωμᾶ, ἀδεῶς ἀπὸ Ἱσπανίας Ἀγαρηνοὶ ἐδῄουν τὴν Ῥωμαΐτιδα γῆν σὺν δέκα περικαμπέσι ναυσί, κατὰ δέ τινας κ', τρόπῳ τοιῷδε. προσώ- B χθισαν τῇ χώρᾳ αὐτῶν διὰ τὸ μὴ πιοτάτην ὑπάρχειν καὶ εὔφορον, καὶ πρὸς τὸν ἀρχηγὸν αὐτῶν εἶπον Ἀπόχαψιν "ἆρον ἡμᾶς τῶν ἐντεῦθεν καὶ ἀπάγαγε εἰς εὔγειον τόπον, καὶ εὐζωῶμεν ἐκεῖσε." ὧν τοῖς λόγοις παρακληθεὶς γενναίων ἀνδρῶν καὶ εὐόπλων στόλον εὐτρέπισεν, ἐξ ὧν πασῶν νήσων ἐκράτησεν, ὥστε καὶ τῆς Κρήτης αὐτῆς· ταύτην γὰρ λαῷ εὐζώνῳ ἐπηρεάσας ἐξῃχμαλώτισε καὶ πολλὴν λαφυραγωγίαν εἰσεποιήσατο, καὶ ἀκριβῶς ἀναμεμαθηκὼς τὸν χῶρον ἐπαλινόστησεν. τῷ δὲ ἐπιόντι καιρῷ μ' ναῦς ὁ Ἀπόχαψ ἐπισκευασάμενος ἐν ταύτῃ κατῆρε, καὶ τῷ ἀκρωτηρίῳ ταύτης προσέβαλε καὶ προσωρμίσθη τῷ Χάρακι. C διωρίσατο δὲ τῷ ὑπ' αὐτὸν λαῷ ὅπως ἕκαστος τῶν πλοίων ἀνὰ εἴκοσι ἀνδρῶν καταλίποιεν, οἱ δὲ πάντες ἄλλοι εἰς τὸ τὴν νῆσον ληΐζεσθαι προχωρήσειαν ἐπὶ ἡμέρας γε ιβ'. ἀποκινήσαντος δὲ τοῦ λαοῦ πρὸς τὴν τοιαύτην ἐγχείρησιν, ταύταις ἐνέβαλε πῦρ καὶ ὁλικῶς ἐπυρπόλησεν. ἐφευρηκότες δὲ ταύτας ᾐθαλωμένας στασιάζειν κατὰ τοῦ ἀρχηγοῦ αὐτῶν τετολμήκασιν. καὶ ἀπολελόγητο πρὸς αὐτοὺς ὅτι "τῇ προτεραίᾳ κατεγογγύζετέ μου, ὦ

8. ἐπὶ χρόνῳ L. 14. τῷ] τῶν L. 16. εἰς ἕκαστον et ἄνδρας B. 17. καταλείποιεν L. 18. προσχωρήσειαν L.

quosdam eorum statim in exilium ageret. Atque sic triumphavit ob victoriam.

Tempore autem quo rebellio Thomae grassabatur, Agareni Hispanici secure et licenter vastabant Romanam ditionem cum decem rotundis navibus, aut secundum alios viginti, hac ratione. Offendebantur sua regione, quod non esset pinguis nec fertilis, atque ad ducem suum Apochapsin dixerunt "tolle nos hinc et abduc in fecundum solum, ut bene vivamus illic." Quorum verbis permotus strenuis viris et bene armatis instruxit classem, cum quibus omnes insulas in potestatem suam redegit, atque adeo ipsam Cretam. Hanc enim militibus bene accinctis cepit multamque praedam adeptus est, atque accurate recognita regione reversus est. Anno autem sequenti Apochaps navibus quadraginta in eandem insulam navigavit, cúmque appulisset ad eius promontorium, stationem cepit ad Characem. Ceterum populo sibi subiecto praecepit ut apud singulas naves vicenos viros relinquerent, ceteri omnes in insulam praedatum discederent ad dies duodecim. Profecto autem populo ad negotium illud suscipiendum, navibus iniecit ignem easque totas combussit. Cum autem invenissent eas combustas, seditionem movere contra ducem ausi sunt. Atque is facti rationem apud eos exposuit, dicens "antea quidem

*ἄνδρες ὁμόφυλοι, μὴ μεταναστεύειν ὑμᾶς πρὸς εὐζωΐαν βεβου-
λημένου· καὶ διὰ τοῦτο ἤγαγον ὑμᾶς ἐνταυθοῖ, ἐν ᾧ γάλακτος
καὶ μέλιτός ἐστιν ἀπορρώξ." οἱ δὲ ἀντεῖπον αὐτῷ "καὶ ποῦ δὴ
τέκνα ἡμῶν καὶ γυναῖκας εὑρήσομεν;" ὁ δὲ πρὸς αὐτούς "ἴστε
ὅτι αἰχμαλωσίαν ἑαυτοῖς πλείστην ἠνέγκατε· ἐκ ταύτης οὖν ὑμῖν* D
*γυναῖκας ἁρμόσασθε." καὶ οὗτος ὁ λόγος ἀρεστὸς ἐφάνη αὐ-
τοῖς, καὶ τοῦ στασιασμοῦ κατευνάσθησαν, καὶ πυκνοῖς σκόλοψι
χάρακα περιέθεντο πρὸς ὀχυρότητα ἑαυτῶν διαρκεῖν ἐν αὐτῷ·
ἀφ' οὗ ὁ τόπος μέχρι τῆς δεῦρο Χάραξ προσονομάζεται. μονά-
στης δέ τις μετέπειτα προσφοιτήσας τῇ νήσῳ ἔφη αὐτοῖς ὅτι
"εἴπερ ὅλως ἐθέλοιτε καταδυναστεῦσαι τῆς νήσου, ἀκολουθή-
σατέ μοι· καὶ ὅποι στοχασάμενος παραδείξω ὑμῖν ἐπιτηδειότητα
κτίσεως, ἐκεῖσε πόλιν οἰκοδομήσατε, δι' ἧς τῆς νήσου ἐξουσιά-
σειτε." καὶ ἀπήνεγκεν αὐτοὺς εἰς τόπον καλούμενον Χάνδακα,* E
*ἐν ᾧ ἡ πόλις τούτων καθίδρυται· καὶ ταύτην πέριξ ἐτάφρωσαν.
ἧς ὁ Ἀπόχαψ καθηγεμόνευσεν, καὶ θ' καὶ κ' Κρήσσας πόλεις ἠν-
δραποδίσατο, μιᾶς μόνης μὴ ἁλωθείσης ἀλλ' ἢ λόγῳ, ἀπολιορ-
κήτου μεινάσης ἕως ἄρτι, ὃ καὶ κεκλῆσθαι ταύτῃ συνέδραμεν,
ἐχόντων τῶν οἰκητόρων αὐτῆς σὺν ἐλευθερίᾳ ποιεῖν τὰ Χριστια-* V. 19
*νῶν εἰθισμένα. ὧν τῆς ἐπιδρομῆς ὁ Θωμᾶς καὶ ἁλώσεως αἴτιος,
Ἀπόχαψις δέ. οὗ παῖς μὲν Σαΐπης ἐτύγχανε, Σαΐπου δὲ Βάβδελ,*

1. μεταναστεύειν ἡμᾶς (ὑ) L. 2. ἤγαγον ἡμᾶς L. 3. ἀπορρόξ L. 8. πρὸς σχυρότητα L. 19. ἑκόντων L. 21. immo Ἀπόχαψ τε.

obmurmurabatis mihi, tribules, abducere vos alio ad commode vivendum nolenti: atque ob id adduxi vos huc, ubi lactis et mellis est fluxus." At illi dixerunt ad eum "ubinam vero liberos nostros et uxores inveniemus?" Quibus ille "scitis vos plurimam praedam tulisse: ex hac igitur uxores vobis adiungite." Atque ista oratio grata ipsis visa est, seditioque inter ipsos sedata. Tum densis palis vallum circumposuerunt ad munitionem ipsis sufficientem; unde locus ille usque ad hoc tempus Charax (i. e. vallum) vocatur. Monachus autem quidam ingressus insulam dixit eis "si omnino cupitis in vestram potestatem redigere insulam, sequimini me: atque ubi coniectura assecutus ostendero vobis idoneum locum ad condendam urbem, ibi condite," abduxitque eos in locum qui dicitur Chandax, in quo urbs eorum sita est: atque eam fossa ducta circumdederunt. Illi urbi praefuit Apochaps, atque undetriginta Cretensium urbes subiugavit, una sola non expugnata nisi *λόγῳ* (i. e. verbo), non revera, ad hoc usque tempus; unde etiam appellari eam contigit Hypologiorum; concesso incolis ut libere peragant Christianorum consuetas functiones. Illorum autem Agarenorum incursionis et expugnationis urbium Thomas erat causa. Ceterum Apochapsidis filius erat Saipes,

ὃς ἐν Πελοποννήσῳ κατά τι θαλάσσης κλυδώνιον πρὸς γῆν σὺν
νηΐ τῇ ἑαυτοῦ προσπαρεὶς, ἐν ἡμέραις τοῦ μακαρίτου Λέοντος
βασιλέως, τηνικαῦτα δὲ στρατηγοῦντος Κωνσταντίνου τοῦ συν-
ετόφρονος, ἐκεκράτητο, ᾧ τεσσαρακοντάπηχυς τὸ ἐπώνυμον·
οὗτινος Βάβδελ ἐτέλει ὁ Ζερκουνῆς σύγγονος, ὁ πρὸ τοῦ νῦν
ἀρχηγοῦ τῆς Κρήτης καθηγησάμενος.

Ἐν ταύτῃ δὲ τῇ νήσῳ Κύριλλος ὁ θαυμάσιος, ὁ Γορτύνης
ἐπισκοπήσας τῆς πόλεως, ὑπὲρ Χριστοῦ ὡς ἱερεῖον ἄμωμον
B ἐσφαγίαστο. οὗ τὸ τίμιον αἷμα μέχρι τῆς δεῦρο κατά τινα χῶ-
ρον, καθώς τινές φασιν, ἀνεξάλειπτον συντετήρηται· καθ' ὃν
οἱ εὐσεβεῖς φοιτῶντες καὶ τοῦτο σπόγγῳ ἐναπομάττοντες δι' αὐ-
τοῦ γε θεῖον μύρον ὑδρεύονται καὶ κατ' οὐδὲν ἀλλοιοῦσι τὸ χρῶ-
μα τοῦ αἵματος. ἔτι δὲ καὶ ἡ τῶν τροφίμων σεβαστῶν παίδων
αὐτῆς ἑβδομὰς μετὰ πολλῶν ἄλλων ταφῇ ἀφιέρωται, ἀναιρεθέν-
των ὑπὲρ τῆς εἰς Χριστὸν ἀδιστάκτου καὶ εἰλικρινοῦς πίστεως.

Καὶ δὴ ἔκτοτε κατακεκράτηντο ἂν παρ' Ἀγαρηνῶν αἱ νῆ-
σοι, εἰ μὴ βασιλεὺς Μιχαὴλ ὁ ἐξ Ἀμορίου ἔσχε φιλονεικότερον
ἐλευθεριάσειν αὐτάς· καὶ δὴ πολυωρήσας ἐνδελεχῶς Κρατερῷ
τῷ στρατηγέτῃ Κυβερεωτῶν ἐνετείλατο πάσας τὰς ὑπ' αὐτὸν
C ναῦς παρετοιμάσασθαι καὶ ἀπᾶραι εἰς Κρήτην καὶ σπουδῇ πάσῃ
τοὺς ταύτης οἰκήτορας Σαρακηνοὺς ὀλοθρεῦσαι. ὃς ἐκεῖσε παρα-

1. πελοπονήσω L. 4. ὃτεσσαρακοντάπηχυς L. 7. ὃς γορ-
τύνης L.

Saipae autem Babdel, qui in Peloponneso tempestate quadam maris ad terram cum nave sua allisus, temporibus beati Leonis imperatoris, duce Constantino illo prudente, captus fuit, cui cognomen τεσσαρακοντάπηχυς (i. e. quadraginta cubitorum). Huius autem Babdel erat Zerounes frater, qui ante istum qui nunc est ducem Cretae praefuit.

Porro in hac insula Cyrillus ille admirandus, qui fuit Gortynae urbis episcopus, pro Christo velut immaculata hostia fuit immolatus. Cuius pretiosus sanguis usque ad hunc diem quodam in loco, ut quidam aiunt, indelebilis conservatur: quem locum pii homines frequentantes illumque sanguinem spongiis affricantes per eum divinum unguentum hauriunt et nullatenus colorem sanguinis immutant. Praeterea etiam alumnorum venerabilium et filiorum eius insulae septenarius, cum multis aliis, sepultura consecratus est, qui interfecti sunt pro fide in Christum indubitata et pura.

Et sane ab illo tempore mansissent in potestate Agarenorum insulae, nisi imperator Michael Amoriensis tantopere studuisset eas liberare. Itaque cum esset assidue sollicitus, Cratero praefecto Cybereotarum praecepit ut omnes quas sub se haberet naves instrueret et in Cretam proficisceretur atque omni studio Saracenos eam inhabitantes exterminaret.

γενόμενος σὺν ναυσὶν ο΄ κατ᾽ αὐτῶν πόλεμον ἦρεν ἐξ ἀνατολῆς ἡλίου μέχρι τῆς δύσεως, καὶ κατὰ τοσοῦτον αὐτῶν ἐκυρίευσεν ὥστε πάντας καὶ ἀναιρήσειν βεβούλητο. ἀλλὰ κακοὶ ἀρχηγοὶ συνόντες αὐτῷ οὐκ εὐβούλως ἀνέστειλαν εἰρηκότες "ἡμεῖς γε πάντας ὑποπιέσαντες, οὐκ ἔτι πάντως οὗτοι τολμήσειαν τοῦ λοιποῦ πρὸς ἡμᾶς ἀντιτάξασθαι. ἤδη νὺξ τελέθει, κατὰ τὸν ποιητήν· ἀγαθὸν καὶ νυκτὶ πιθέσθαι. δυσπεφόρηκε γὰρ ὁ λαός. ἄγωμεν εἰς τὰς ἡμετέρας σκηνάς, καὶ πρωΐας ἐπιλαμπούσης ἀφιξώμεθα καὶ κατάσχωμεν αὐτούς." καὶ δὴ τοῖς ῥήμασιν αὐτῶν φρεναπατηθεὶς D πρὸς τὰς σκηνὰς αὐτῶν σὺν αὐτοῖς ἐπανέλυσεν. μηδαμῶς δὲ πεφροντικότες τῶν πρὸς σωτηρίαν ἀσφαλειῶν, ἀλλ᾽ ὑπτιώσαντες δυστυχῶς πολλῷ τε κόπῳ κατευνασθέντες καὶ θανάτου ὕπνον ὑπνώσαντες, ἐπελθόντες νυκτὸς οἱ ἐχθροὶ σιδήρειον ὕπνον τούτοις ἐπήγαγον· οὐδ᾽ εἷς τῶν ἐκεῖσε παρόντων τουρμαρχῶν ἢ ἀρχόντων πολεμικοῦ ἐπιβῆναι πλοίου δεδύνητο, μόνου τοῦ στρατηγοῦ αὐτοῦ ἐμπορικῷ ἐπιβάντος καὶ ἀποπλεύσαντος. περὶ οὗ μεμαθηκὼς ὁ τῶν Ἀγαρηνῶν ἀρχηγὸς δυσὶν ὁλκάσι λαβὼν ἐπεβίβασε καὶ αὐτοῦ κατεδίωξεν ὄπισθεν, καὶ πρὸς νῆσον τὴν Κῶ τοῦτον κατέσχεν (φεῦ συμφορᾶς) καὶ ἐν αὐτῇ ξύλῳ κρεμάννυσιν. ὅθεν ἀνέκαθεν καὶ μέχρι τῆς σήμερον ἡ τῆς Κρήτης V. 23 νῆσος κεκράτηται παρὰ τῶν Ἀγαρηνῶν, ἐξ ἧς τοῖς Ῥωμαϊκοῖς ὅροις ἐπισυρρέουσιν.

2. καὶ ante κατὰ om. L. 7. πειθέσθαι L. 13. σιδήρειον L. 14. οὐδεὶς L.

Qui postquam eo pervenisset cum septuaginta navibus, cum illis bello conflixit ab ortu solis ad occasum, superavitque adeo ut omnes interficere cogitaret. Sed ignavi duces, qui erant apud ipsum, pessimo consilio represserunt eum, dicentes "cum nos universos illos satis afflixerimus, haud amplius audebunt deinceps acie congredi: *et iam nox humida caelo praecipitat*, secundum poetam, *suadentque cadentia sidera somnos*. Indignatur enim populus. Eamus in tabernacula nostra, et mane illucescente veniamus eosque opprimamus." Atque his verbis deceptus in tabernacula cum ipsis discessit. Ceterum nihil sollicitos de tutanda salute sua, sed supinos malo suo fato magnaque defatigatione sopitos ac mortifero somno oppressos aggressi nocte hostes ferreum somnum illis induxerunt. Nemo ex praesentibus turmarchis aut praefectis bellicam navem conscendere potuit: solus dux mercatoriam nactus enavigavit. De quo certior factus Agarenorum dux duabus navibus viros imposuit, eumque a tergo persecutus est atque apud insulam Co comprehendit (o calamitas!). et in ligno suspendit. Unde ab illo tempore usque ad hodiernum diem Cretae insula tenetur ab Agarenis, ex qua Romani imperii fines invadunt.

Εἶτα εὑρίσκεταί τις πολύφρων ἀνὴρ ᾧτινι Ὠορυφᾶς τὸ ἐπώνυμον, καὶ προστάξει βασιλικῇ διὰ τῆς αὐτοῦ εἰσηγήσεως ἀθροίζεται ναυτικὸν στρατολόγημα γενναιότατον, οἷς ἀνὰ μʹ χρυσοῦ ἐπιδίδοται νομίσματα, καὶ "οὐκ ἄλλως γένοιτο τόδε," εἰ μὴ ταῦτα κομίσοιντο, διηγόρευον. οἳ ὁλκάσιν εὐζώνως ἐπιβατεύσαντες καὶ ναύαρχον αὐτὸν κεκτημένοι τὴν ἐλευθερίαν πολλαῖς ἐχορήγησαν· οὓς τεσσαρακονταρίους τὸ ληφθὲν προσωνόμασεν.

Μιχαὴλ δὲ ὁ βασιλεὺς κατὰ τὴν ἀρχὴν τῆς αὐτοῦ βασιλείας παντελεῖ ἀγροικίᾳ ἢ τῇ σκηπτουχίᾳ καλλωπιζόμενος περὶ τῶν B θείων εἰκόνων ἐδημηγόρησε τὸ ἑκάστῳ δοκοῦν ἀπεργάζεσθαι· ἀλογιστεύων δὲ μετὰ ταῦτα πρὸς διπλόην ἀποτραπείς, Εὐφροσύνην, Κωνσταντίνου τὴν θυγατέρα τοῦ κατακριθέντος τυφλότητι, μονήρη βίον προσηκαμένην, πρὸς τὰ ἀνάκτορα εἰς γαμετὴν μετηγάγετο, καὶ τὸν εὐαγῆ Μεθόδιον ἀδίκως τιμωρησάμενος καθ' εἱρκτὴν ἐφυλάκισε περὶ τὴν νῆσον Ἀνδρέου τοῦ ἀποστόλου, καθ' ἣν ὁ Ἀκρίτας ἐγγειτονῶν ἐμφανίζεται, οὗ ἀντικρὺ καταπρῆσαι τοῦτον οἰόμενος. Εὐθύμιον τὸν μητροπόλεως Σαρδιανῶν ἐξηγούμενον Θεόφιλος βουνεύροις χαλεπῶς ἐθανάτωσεν.

Ἐπεβίω μὲν Μιχαὴλ τῇ βασιλείᾳ ἔτη ηʹ πρὸς ἐννέα μησίν, ἀπεβίω δὲ τῷ δυσουρίας νοσήματι ἐμπεσὼν ἐκ νεφρίτιδος ἐπιθέσεως.

1. ᾧτινι B, ᾧτι L. 2. αὐτοῦ B, αὐτῆς L. 6. νήσοις πολλαῖς B. 17. μητροπ. L. 20. νεφρίτηδος L.

Postea inventus fuit vir quidam prudens, cui cognomen Ooryphas, cuius admonitu iubente imperatore colligitur nauticus exercitus, in quo singulis quadraginta aurei dabantur: nec aliter fieri posse, nisi tantum accipiant, affirmabant. Qui navibus bene instructis vecti ipsumque navarchum habentes libertatem multis insulis praebuerunt. His id quod acceperant nomen fecit quadragenariorum.

Porro Michael imperator initio imperii sui summa morum rusticitate quam sceptro magis sibi placens, de divinis imaginibus concionem habuit, ut quisque quod sibi videretur faceret: sed inconsulte post haec ad versutias conversus, Euphrosynam Constantini filiam, illius qui caecitate condemnatus fuit, quamvis ea monasticam vitam assumpsisset, in regiam duxit pro uxore, sanctumque Methodium iniuste cruciatum in carcere asservavit in insula Andreae apostoli, qua vicinus Acritas conspicitur, ex adversis eius comburere hunc cogitans. Euthymium metropolitam Sardianorum antistitem Theophilus bubulis nervis vehementer caesum interfecit.

Vixit autem Michael in imperio annos octo et novem menses. Obiit, cum in difficultatem urinae incidisset morbo renum eum invadente.

ΒΑΣΙΛΕΙΩΝ Γ′

ΠΕΡΙ ΘΕΟΦΙΛΟΥ ΥΙΟΥ ΜΙΧΑΗΛ.

REGUM LIBER III

DE THEOPHILO MICHAELIS FILIO.

Ὁ δὲ Θεόφιλος τὴν πατρῴαν ἀρχὴν κληρωσάμενος ἐν ἔτει ͵ςτλη′, V. 24 *ἰνδικτιῶνος η′, ποιεῖται κατὰ Μαγναύραν σελλέντιον, πάντας ἐκεῖσε χωρεῖν ὁμοθυμαδὸν προτρεψάμενος, καὶ στὰς εἰς μέσον ἐδημηγόρησεν "ἐπειδὴ ὁ ἐμὸς πατὴρ καὶ ὑμῶν βασιλεύς, ὦ ἱερὰ σύγκλητος, ὅρκοις με διεβεβαιώκει φρικτοῖς ἀποιχόμενος, τοῖς συνηγωνισμένοις αὐτῷ εἰς τὸ κατὰ Λέοντος νεανίευμα τῆς ἀγωνίας παρασχεῖν ἄξια, οὐ μεθήσειν τῆς ἐντολῆς οὐδαμῶς προτεθύμημαι." τούτων παρρησιασαμένων τῷ βασιλεῖ καὶ τῇ παρεστώσῃ συγκλήτῳ, διαρρήδην αὐτὸς ἐγκελεύεται τῷ ἐπάρχῳ "ὅπερ ὁ νόμος θεσπίζει ἐπὶ τοῖς ἀνθρωπίνου φόνου μὴ εὐλαβουμένοις,*

Inscr. Βασιλειῶν γ′, caeteris in margine positis, om. L.

Theophilus autem paternum imperium hereditate adeptus anno mundi sexies millesimo trecentesimo tricesimo octavo, indictione octava, in Magnaura concionem habuit, omnibus illuc ire unanimiter iussis, atque in medio consistens verba fecit. "Quandoquidem meus pater et vester imperator, o sancte senatus, moriens iureiurando me obstrinxit horribili ut adiutoribus eius in facinore adversus Leonem dignum operae pretium tribuam, haudquaquam negligere illud praeceptum in animum induxi." Illis libere professis ad imperatorem et ad senatum adstantem, palam ipse mandat praetori "quod lex praecipit super iis qui hominis caedem

B τοῦτο δρᾶν διανάστηθι, ἄλλως τε πρὸς αὐτὸν βασιλέα, ᾧ χρῆσις παρὰ θεοῦ τῆς βασιλείας ἐπιβραβεύεται." καὶ τὸ θεσπισθὲν ἑτοίμως ἐξείργασται.

Ἐγκρατὴς δὲ τῶν σκήπτρων Θεόφιλος γεγονὼς ὅλως αὐτὸς κατ' Ἀγαρηνῶν ἐκστρατεύειν ἐπείγεται, πολυανδρίᾳ θαρρῶν καὶ ἀριστέων ἀνδρῶν ἐπισυλλογῇ. καὶ γὰρ εἶχε μεθ' ἑαυτοῦ καὶ Μανουὴλ τὸν γεννάδαν τῶν Ἀρμενίων, οὗ κλέος τῆς ἀνδρείας κατὰ πᾶσαν Συρίαν καὶ Ῥωμαϊκὴν ἐπικράτειαν, πολλῷ δὲ μεῖζον καὶ εὐσεβείας, καθ' ἃ ἡ τῶν πραγμάτων παραδηλώσει ἀλήθεια, σὺν
C αὐτῷ καὶ τὸν ἐκ Περσίδος Θεόφοβον, ἄνδρα θεοσεβῆ καὶ πολλῆς ἐχόμενον ἀρρενωποῦ καὶ παλαιᾶς λογιότητος, ὡς πάλαι Μωυσῆς Ἰησοῦν τοῦ Ναυὴ καὶ Χάλεβ τοὺς γενναιόφρονας, καὶ τούτοις τῇ καθ' ἡμᾶς εὐσεβείᾳ οὐ θεοφιλῶς ἐπεκέχρητο· δι' ὧν ποτὲ μὲν τῶν ἐξ Ἄγαρ κατίσχυε, ποτὲ δὲ τῶν δυστυχημάτων ἀντείχετο, ἀφράστοις θεοῦ προμηθεύσεσι τοῦ πάντα σοφῶς διευ-
V. 25 θύνοντος. ὅθεν τῶν Ἀγαρηνῶν ποτὲ περιγεγονότων τοῦ βασιλέως, ἐπείπερ νίκη θεοῦ ἐν γούνασι κεῖται, καθάπερ ὁ ποιητὴς ἀπεφήνατο, μόλις παρ' αὐτῶν διασέσωστο, εἰ καὶ πολλῶν τῶν Περσῶν διά γε τὰς ἥττας τοῖς Ἀγαρηνοῖς προσετίθεντο, κἂν ἐπαλινόστουν τῷ ἄνακτι, αὐτὸς ὁπηνίκα πρὸς ἀντιπάλους ἐξῄει, οὐχ ἥκιστα τῷ στέργειν αὐτοὺς τὸν Θεόφοβον.

1. χρῖσις B. 4. ὅλος L. 7. γεννάδα L. 12. [illegible] L. ibid. fort. κἂν τούτων τῇ. Berglerus expressit ἡ — εὐσέβεια, nostra religio. 18. πολλοὶ B. 21. τῷ στέργειν B, τὸ στέργειν L.

non verentur, ad id exsequendum surge, praecipue ipsius imperatoris, cui divinitus id datum ut sit unctus domini." Itaque ut praeceptum ita prompte perfectum fuit.

Porro potitus sceptro Theophilus omni studio adversus Agarenos expeditionem parat, multitudine virorum fretus et coetu fortissimorum hominum. Etenim habebat secum Manuelem etiam illum strenuum ex Armenia, cuius fortitudo celebrabatur per omnem Syriam Romanamque ditionem, sed multo magis pietas in deum, prout rei veritas declarabit; cum illo et Theophobum, pium virum multaque praeditum virili et antiqua facundia; quemadmodum olim Moses Iosuam filium Nun et Chalebum strenuos viros secum habuit; quanquam horum pietate christiana non ad placitum dei usus est: per quos aliquando quidem Agarenos vicit, aliquando autem calamitates et clades accepit, imperscrutabili dei consilio omnia sapienter gubernantis. Unde cum Agareni aliquando vicissent imperatorem, quandoquidem victoria in manu dei est, aegre ab illis evasit incolumis, quamvis multi ex Persis propter clades ad Agarenos deficerent, qui tamen redibant ad imperatorem, cum ipse adversus hostes proficisceretur, eo potissimum quod ipsi diligerent Theophobum.

Τοιαύτη δὲ ἡ κατὰ τοῦτον ἀπὸ διαφόρων κατὰ διαδοχὴν διάφορος κατά τι πάντως ἀπομνημόνευσις, ὡς τοῖς ἱστοροῦσι πρὸς ἀκριβολογίαν ἐξείθιστο. ἐπειδὴ τὰ ἐγκόσμια πάντως κατὰ ῥοὴν καὶ ἀπορροὴν καθεστήκεσαν, καὶ διαφθοραὶ φύλων αἰτίαις τισὶ κατὰ διασπορὰς παρυφίστανται, ὅθεν καὶ τοῦ Περσικοῦ ἔθνους, πάλαι μὲν τὸν σκηνίτην βίον περιπεποιημένου καὶ δέρεσι κατὰ περιστολὴν τὴν ἀπορίαν ἢ τὸ γενναῖον ἐπιδεικνυμένου, ἔτι B *δὲ ταῖς ἀνδραγαθίαις πολλῶν ἐθνῶν κυριεύσαντος, καὶ εἰς παροινίαν ἐξ εὐτυχίας ἀρθέντος, καὶ μετὰ τοῦτο τὰ μέγιστα δυστυχήσαντος καὶ διανεμηθέντος, οἷα τοῖς Ἰουδαίοις καὶ ἑτέροις συμβέβηκεν ἔθνεσιν. ἐξείθιστο δὲ τοῖς Πέρσαις τοὺς ἑαυτῶν βασιλέας ἐκ βασιλείου φυλῆς ὑπέχειν ἀνάρρησιν· ἀλλὰ πολεμίοις ἐν ἐπαλλήλοις καὶ ταῖς τῶν ἐξ ὁμογενῶν ἄλλαις ἐπαγωγαῖς κατὰ τὴν πατρίδα παντελῶς τῆς βασιλικῆς σειρᾶς ἐκλιπούσης, ἐν ἀμηχανίᾳ τε περὶ τούτου διατιθεμένων καὶ δι' ἐρεύνης ἐμμεριμνώντων, παρά τινος ἐδηλοποιήθη αὐτοῖς τῶν ποτὲ ὑπηρετησαμένων τινὶ* C *τῶν κατὰ βασιλικοῦ γένους συνάφειαν πολλαχῶς εἰς πρεσβείαν ἡκόντων Κωνσταντίνου τῇ πόλει, ἐκεῖσέ γε τὸν εἰς ζήτησιν εὑρηκέναι, εἰ καὶ μὴ ἐκ νομίμων γάμων, ἀλλ' ὅμως γεννηθέντα τοῦ πρέσβεως. ὅθεν παρεισδύντων αὐτῇ τῶν περὶ τούτου διατεταγμένων κρύφα καταστοχάσασθαι, καὶ ἀναγνωρισάντων τὸν νεανίαν (συγκατῴκει γὰρ τῇ τεκούσῃ ἐν ταῖς κατὰ τὴν Ὀξεῖαν δια-*

4. διαφθοραὶ B, διαφοραὶ L. 6. δέρρεσι L. 8. κυριευ- οσ σάντων L. 18. γε] τε L.

Talis autem est de isto diversorum per successionem diversa aliquatenus commemoratio, ut accuratioribus historicis usitatum etiam diversa tradere. Quandoquidem haec mundana in fluxu et defluxu sunt, etiam interitus nationum per dispersiones quibusdam de causis existunt: hinc etiam Persicae gentis, quae olim quidem in tabernaculis vixerat, pellium amictu inopiam suam aut tolerantiam ostentans, posteaque rebus fortiter gerendis multis gentibus dominata erat, atque ad insolentias ex secunda fortuna elata, deinceps maximas calamitates perpessa et dispersa fuit, qualia Iudaeis aliisque gentibus acciderunt. Consueverant autem Persae suos reges ex regia stirpe creare: sed cum bellis crebris et assiduis, aliisque civilibus et intestinis calamitatibus regia familia in patria defecisset, ipsique in angustiis essent et de inquirendo solliciti, significatum est ipsis a quodam qui ministraverat aliquando cuidam ex iis qui genus regium attingebant, saepe ad legationem profectis Constantinopolin, ibi se eum invenisse qui quaerebatur, quamvis non ex legitimis nuptiis, legato tamen prognatum. Proinde cum clam irrepsissent in eam ad investigandum et agnovissent adolescentem (habitabat enim cum genitrice in

τριβαῖς, αἳ τοῦ Βοοσπόρου καὶ τοῦ Κέρως Βύζης θυγατρὸς Βύζαντος ἀντικρὺ τούτου καὶ ἄνωθεν καθεστήκασιν) οὐκ ἐκ τῶν ἐκτὸς μόνον κατὰ συμβεβηκὸς εἰκασμάτων, ἀλλὰ μὴν καὶ ἐξ αὐτῶν τῶν ἐπουσιωδῶν ἰνδαλμάτων καὶ φρενῶν καὶ ψυχῆς ἕξεώς τε D καὶ καταστάσεως, τὸ κατ' εὐγένειαν βασιλικόν τε καὶ εὐπρεπὲς συνῳδὰ παριστώντων, καὶ τῆς κατὰ γειτονίαν ἐπιμαρτυρούσης τὸ ἀληθὲς ὁμιλίας, ἐπειδὴ τὰ κατ' αὐτὸν εὐθέως καὶ μέχρι τῶν δεσποτικῶν ἀκοῶν ἐληλύθει, εὐδόκησάν τε χάριν τῆς τοιαύτης γε σκήψεως [καὶ ὑποτετάχθαι αὐτοὺς] τοῖς Ῥωμαίοις ἐπικηρυκεύεσθαι ἔθνος τὸ Περσικὸν ἀναγκαίως, καὶ ὑποτετάχθαι αὐτοῖς εἰς σπονδὰς ἧκον εἰρηνικῆς τελειότητος. ὧνπερ ἠκουτισμένων τοῖς ἐν Περσίδι ἔκ τε τῶν εἰς ἀποστολὴν προσηκόντων καὶ τῶν διὰ τὸν Θεόφοβον δῆθεν βασιλεῖ γε συναξιούντων, ἀσπαστὸν E ἐλογίσαντο τῆς οἰκείας χώρας ἀπαναστεῦσαι καὶ προσχωρήσειν τῇ Ῥωμαΐδι, ὅπως τοῦ κατὰ γένος ἀρχηγοῦ ἐπιτεύξοιντο, καὶ μάλιστα ὅτι καὶ ὁ Περσῶν ἀρχηγὸς Βάβεκ ἀποστάσει τῇ πρὸς τὸν ἀμεραμνουνῆ ἐπὶ ε' ἔτεσι κεκορύφωτο, ὧν ἀναμεταξὺ μέγιστοι πόλεμοι συμβεβηκότες καὶ ἡττηθεὶς ὁ Βάβεκ εἰσῄει ἐν χιλιάσιν ἑπτὰ πρὸς τὴν Ῥωμαϊκὴν ἐπικράτειαν, κατὰ πόλιν Σινώπην ἀνερευνῶν (V. 26) τὸν Θεοφόβου πατέρα, παρὰ Πέρσαις πάνυ τιμώμενον, Ῥωμαίων ὄντα τοῖς καταλόγοις· ὃν ὁ Βάβεκ κατειληφὼς ἐγγύας τε παρὰ βασιλέως δεξάμενος τὸν ὑπ' αὐτόν γε λαὸν καὶ ἑαυτὸν

8. ἐδόκησέν τε L. 13. συναξιόντων L. 14. προσχωρῆσαι Symeon logoth. p. 415 D. 15. τοῦ καταγένους L, τοῦ κατὰ γένους Symeon. 21. ἐν τοῖς B.

illis quae sunt ad Oxiam mansionibus, quae Bosporo et Cornu Byzae filiae Byzantis e regione sunt sitae) non ex externis solum et accidentalibus notis, sed etiam ex illis essentialibus indiciis mentis et animi habitusque et affectionis, nobilitatem generis regiumque decorem congruenter repraesentantibus, viciniae etiam conversatione testificante rei veritatem, cumque de eo fama statim etiam ad imperatorias aures pervenisset, visum est eis propter hanc causam [et ut subiicerentur] ut cum Romanis per legationem gens Persica ageret, et ut his subiicerentur ad foedera pacis solidae venerunt. Quibus auditis in Persia, cum ex iis qui legationis nomine venerant, tum ex iis qui propter Theophobum idem quod imperator postulabant, rem optatam putarunt patria migrare et ad Romanam ditionem concedere, ut generis regii ducem nanciscerentur; ac vel maxime quod et Persarum dux Babec defectione ad ameramnumem per quinque annos contineretur, quo spatio, cum maxima bella accidissent victusque fuisset Babec, ingressus fuit cum septem millibus in Romanam ditionem, apud urbem Sinopen investigans patrem Theophobi, apud Persas valde honoratum, Romanis militantem: quem cum Babec invenisset atque ab imperatore securitatis fidem accepisset, cum sui prae-

τῷ βασιλεῖ ὑπήκοον τέθεικεν. ὁ δὲ βασιλεὺς Θεόφιλος τὸν μὲν εὐγενῆ νεανίαν Θεόφοβον καταγεραίρει πατρικιότητι καὶ τὴν ἑαυτοῦ ἀδελφὴν τούτῳ πρὸς γάμον ἐκδίδωσιν, τῷ τε Ῥωμαϊκῷ πολιτεύματι τοὺς Πέρσας συναριθμήσας ἀξιωμάτων τε βαθμοῖς καὶ στρατείας πρὸς ἀγχιστείαν τε Ῥωμαίων ἐν γάμοις ἁρμόζεται, εἰ καὶ τὸν Θεόφοβον ἀναιρεῖ μετὰ ταῦτα δολιωσάμενος.

Ὡς δέ τινες, καὶ ἄλλως τὰ κατὰ Θεόφοβον διιστόρηται, ἃ τῶν λεχθέντων τελοῦσι παρόμοια, ἀπαράλλακτα δὲ οὐδαμῶς, B κατὰ τὸ διάφορον τῶν ταῦτα διεξιόντων τῆς τε αὐτοψίας καὶ τῆς πρὸς ἑτέρους ἐν διηγήσει μετοχετεύσεως. ἐκ Περσῶν τοίνυν ἀπαναστὰς ὁ πατὴρ Θεοφόβου βασιλικοῦ αἵματος προενηνεγμένος εἰσήει τῷ Βυζαντίῳ πενόμενος, καὶ κατὰ μισθαρνίαν ἐξυπηρέτει τινὶ γυναικὶ ἣ τὸ καπηλεύειν εἰς ἐργασίαν παρῆν. ἐπὶ μακρὸν δὲ καθυπουργήσας αὐτῇ, ἔρωτι τούτου περικατάληπτος γίνεται, καὶ πρὸς ἡδονὴν συμβιβάζονται· ἐξ οὗ συνειληφυῖα ἐγγάστριον ἄρρεν ἐκτέτοκεν. τῶν οὖν ἐκ Περσίδος κατὰ διαφόρους χώρας μεμερισμένων, τούτων τινὲς ἀστρονομίαν μετῄεσαν· αὕτη γὰρ τούτοις τῶν ἄλλων τεχνῶν καὶ ἐπιστημῶν προτετίμηται εἰς τὸ ἀκριβὲς ἐκπεπονημένη, καὶ ἄλλαι τυχὸν μαντικαί τε καὶ προγνω- C στικαὶ μέθοδοι· δι᾽ ὧν ἴσως διεγνώκεσαν περιεῖναι Κωνσταντίνου τῇ πόλει Θεόφοβον. ἐνθένδε προσιόντες τῷ τηνικαῦτα διέποντι

ὧ

11. προηγμένος L. 13. γυναικι L. 15. συμβιβάζεται Symeon p. 416 B. 19. ἐκπεπονημένης L. ibid. προγνωστικοὶ L. 20. περιέναι L.

erat militum manum seque ipsum imperatori subiecit. Porro imperator Theophilus generosum adolescentem Theophobum patricia dignitate cohonestat, sororemque suam ei in matrimonium tradit, atque in civitatem Romanam receptos Persas ad dignitatum gradus et militiae cognationemque cum Romanis per matrimonia iungit, etsi Theophobum interfecerit post haec dolo circumventum.

Etiam aliter autem de Theophobo per historiam traditum, ita ut similia quidem dicantur iis quae diximus, minime tamen nullatenus variantia, pro diversitate eorum qui ea referunt, dum vel ipsi praesentes cognoverunt vel memoria narrando ad ipsos propagata fuit. Cum e Persis excessisset pater Theophobi regio sanguine prognatus, venit Byzantium egens atque pro mercede servivit cuidam mulieri quae rem cauponariam exercebat. Cumque diu ministrasset ei, haec amore eius capitur, atque voluptatis causa coniunguntur: ex quo mulier cum concepisset, masculum enixa est. Ceterum Persis per diversas regiones dispersis, nonnulli ex iis astronomiae addicti erant: haec enim ab illis prae ceteris scientiis aestimatur, ad summam perfectionem deducta, et fortasse aliae etiam vaticinandi et futura praedicendi disciplinae; quarum ope forte cognoverant superesse Theophobum in Constantini urbe. Proinde profecti ad

Θεοφίλῳ τὸ βασίλειον κράτος, συνεχῶς ἐδεδέηντο τοῦ ἐρεύνης τυχεῖν ἐν αὐτῇ φανερῶς μὴ διάγοντα, καὶ τούτοις εἰς βασιλέα φανερωθήσεσθαι. ὡς οὖν ἀσμένως τοῦτο διηκηκόει ὁ βασιλεύς, διὰ πάσης ἠκριβολογεῖτο τῆς πόλεως. τῆς δὲ περὶ τούτου φήμης πανταχόσε διαδεδραμηκυίας ἐπὶ παρεκτάσει πολλῶν ἡμερῶν, καὶ εἰς ἀμηχανίαν τοῦ ἐρευνωμένου συνεστηκότων, τῶν κατὰ γειτο-
D νίαν τις τῷ ῥηθέντι γυναίῳ συνών, ὅτῳ συνειλῆφθαι παρὰ τοῦ Πέρσου διετετράνωτο, καθ' ὁμιλίαν τε πολλαχῶς αὐτῷ συνελθεῖν τὰ πρὸς ὑπηρεσίαν διενεργοῦντι, πυθέσθαι τε καὶ σαφῶς διαγνῶναι ὅτι περ ἐκ Περσῶν εἴη, βασιλικοῦ δὲ πέφυκεν αἵματος· καὶ τοῖς ἐρευνῶσι τὰ περὶ τούτου κατασημήνασθαι. τῶν δὲ τὸ μὲν γύναιον κατασχόντων, μεθ' οὗ ὁ Πέρσης τὴν ἀναστροφὴν ἐπεποίητο, καὶ ἐνδελεχέστερον ἀσφαλῶς διεξετασάντων τὴν τοῦ ἐρευνωμένου διαγωγήν, τὸν μὲν τῇ γυναικὶ συνελθόντα προτετελευτηκέναι διεμαρτύρατο, τὸν δὲ ἐκ τούτου προενηνεγμένον κατὰ συζυγίαν ἄρρενα παῖδα τούτοις ἐδείκνυεν ἐπὶ δυσὶ καὶ ι' καθ' ἡλι-
E κίαν χρονίζοντα ἔτεσιν. ὅνπερ κατ' ὄψιν ἰόντα μετὰ καὶ τῶν συνόντων αὐτοῖς κατειληφότες Περσῶν, ἐπείπερ αὐτὸν ἔκ τε τοῦ βασιλικοῦ ὁμοιώματος ἔκ τε τῆς κατὰ Κῦρον γρυπότητος συμβολαιωσάμενοι καὶ ἐξ ἄλλων τινῶν τῶν ἐφωμαρτηκότων αὐτῷ, τοῖς τούτου ποσὶ προσεκύνησαν καὶ ἀνῃρημένοι πρὸς βασιλέα ἠγέ-

6. γειτωνίαν L. 12. καταστοχέντων L. 18. fort. ἐπείπερ ἔγνωσαν αὐτόν. 20. ἐφομαρτηκότων L.

Theophilum tunc imperium administrantem, instanter petierunt ut sibi fieret facultas quaerendi illum qui palam in ea urbe non versaretur: ipsos autem regi indicaturos esse. Quibus lubenti animo auditis imperator per totam sciscitatus est urbem, famaque de ea re utique pervulgata spatio multorum dierum, in angustia super eo qui quaerebatur iam constitutis, quidam ex vicinia praedictae mulierculae coniunctus exstitit, a quo significabatur eam ex Persa concepisse, seque cum illo saepius conversatum, cum is ministerii functiones perageret, atque audivisse certoque cognovisse illum ex Persia esse regioque sanguine cretum: isque fertur quaesitoribus omnia de illo indicasse. Cum illi porro mulierem arripuissent cum qua ille Persa consuetudinem habuisset, atque diligenter accurateque percontati essent de eius qui quaerebatur vivendi ratione et mansione, eum quidem qui cum muliere consuetudinem habuisset iam mortuum esse testabatur: qui autem illo prognatus esset ex ea consuetudine, eum ostendebat filium duodecimum aetatis annum agentem. Quem in conspectum ipsorum progressum ceterorumque qui cum ipsis erant Persarum, ut cognoverunt, de eo ex regio charactere et ex aduncitate nasi, quae in Cyro fuerat, coniecturam facientes aliisque ipsum concomitantibus, ad eius pedes adorarunt assumptumque ad imperatorem

γοντο. ὅστις θεασάμενος αὐτόν, καὶ τὴν τεκοῦσαν προσηκάμενος, πεπυσμένος τε, ὁ πρὸς γάμον Πέρσης αὐτῇ συνιὼν τίς ἄρα ὑπάρχοι καὶ πόθεν ἐκτέθραπτο, ταύτης παρεδηλοῦτο ὡς ἀπὸ Περσῶν εἴη τῆς γενεᾶς, εὐγενείας τε βασιλίδος ἐξέχεσθαι. τούτοις κατ' εὐθυμίαν ὁ αὐτοκράτωρ διατεθεὶς τὸν μὲν Θεόφοβον ἐν τοῖς βασιλείοις ἐσκήνωσεν ἀνατροφῆς τε προσηκούσης καὶ τῆς κατὰ μαθητείαν ἠξίου παιδεύσεως· ὁ δὲ φύσεως εὐκληρίᾳ, οὐχ ἧττον δὲ καὶ μεγαλοπρεπείᾳ συνδιαιτώμενος, εἰς ἄκρον ἧκεν ἐλλογίμου παιδεύσεως, ὡς ἐντεῦθεν παρὰ τῷ βασιλεῖ πλεῖστα στεργόμενος εὐμοιρῆσαι πατρικιότητα, δορυφορίας τε καὶ σεβασμιότητος περιδόξου, ἀλλὰ μὴν καὶ τῆς κατὰ θεραπείαν πολυτελοῦς καὶ ἱκανοτάτης, ἐφάψασθαι. διά τοι τοῦτο ὁ μὲν βασιλεὺς τοὺς Πέρσας ἐκ τούτου ὡς νεανικοὺς ἐν πολέμοις καὶ μεγαλόφρονας ἐπιστάμενος τοῖς στρατιωτικοῖς ἀναγράφεται κώδιξιν, καὶ τούτοις Περσικὸν σύλλογον ἐγκατέστησε, καὶ αὐτοὺς ταῖς Ῥωμαϊκαῖς στρατοπεδαρχίαις συνηριθμῆσθαι προσέταξεν. V. 27 B

denique et tremores terrae, in diebus imperii eius extiterunt, et summatim fuga erat piorum in hieme eius impietatis, secundum oraculum, nec ulli quovis sabbato requies ab eius immanitate, Christianorum tranquillum statum turbante et iactante. Etenim eiusmodi improbarum eius machinationum et id fuit quod Iohannem patriarcham constituit, socium et administrum pessimae illius haeresis.

Idem Theophilus in pluribus vitiis etiam superciliosus erat ac superbus, quamvis in laudabilibus etiam quibusdam contenderet, sive sponte sive non sponte, abundantia naturae. Etenim cum muri Byzantinae urbis essent humiles ac proinde hostibus facilem praeberent ascensum, iste eos altius eductos instauravit, in quibus nominis sui inscriptionem fecit. Ad laudem etiam hoc eius generosum factum addatur, a principibus fortasse non improbandum, lucri cupiditatem aut potius eius turpe studium a se amolientibus, quamquam convenientius superbiae ascribendum. Aliquando enim nave transeunte apud Bucoleontem, super ea quaesivit imperator cuius esset. Adstantes respondebant "dominae." Tum ille aegre id ferens, accersit eam, cumque rei veritatem ex illa comperisset, "hei mihi" inquit: "naucleri effecti sumus, quandoquidem haec coniugis est meae." Quod simul ac dixit, comburi navem imperavit una cum merci-

V. 36 μοις πολλοῖς καὶ τιμίοις κατὰ πραγματείαν ὑπάρχουσιν, μὴ τούτων ὅλως φεισάμενος εἰς ἔπαινον βασιλικῆς τιμιότητος δημοκηδίᾳ μᾶλλον ἢ δημοβορίᾳ συνιστώσης ἐπίκτησιν.

Πολυπράγμων δὲ περὶ ζητημάτων τῶν ἀποκρύφων ἐτύγχανε λίαν Θεόφιλος· ὧν χάριν καὶ Μεθόδιον τὸν ὅσιον, ἅτε σοφὸν ὄντα καὶ περὶ τὰς λύσεις αὐτῶν ἱκανῶς ἔχοντα, τῆς φυλακῆς ἀνερρύσατο, συνδιάγειν αὐτῷ κατὰ τὸ παλάτιον αἱρησάμενος, κἂν διὰ τὸ ὀρθὸν δόγμα πως αὐτὸν ἐμυσάττετο.

Ὃς τὴν τῆς βασιλείας ἀρχὴν διαιτήσας ἐπὶ ιβʹ ἔτεσι μησί τε τρισὶν κατὰ τὴν προρρηθεῖσαν νόσον τὸ κοινὸν ἀνέπλησεν ὄφλημα, μετὰ Ἰαννοῦ ΚΔ ἀφρόνως τῆς ὀρθοδόξου πλεῖστα καταλαζονευσάμενος πίστεως.

11. ΚΔ] his notis numeros non indicari patet. Bergleri commentum delevi.

bus, quae multae et pretiosae erant ad negotiandum comparatae; plane non parcens illis ad laudem imperatoriae dignitatis, non exsugendo populum sed ei prospiciendo possessionem acquirentis.

Curiosus autem erat valde circa occultas quaestiones Theophilus: quapropter etiam sanctum Methodium e carcere liberavit, utpote virum sapientem et ad eas solvendas idoneum, secum esse eum in palatio cupiens, etiamsi propter orthodoxam fidem eum quodam modo aversaretur.

Hic igitur cum imperii regimen administrasset per duodecim annos mensesque tres, ex morbo de quo diximus commune debitum naturae implevit, postquam adversus orthodoxam fidem plurimas insolentias insipienter exercuisset una cum Iohanne ΚΔ.

ΒΑΣΙΛΕΙΩΝ Δ

ΠΕΡΙ ΜΙΧΑΗΛ ΤΟΥ ΘΕΟΦΙΛΟΥ.

REGUM LIBER IV

DE MICHAELE THEOPHILI FILIO.

Τὰ δὲ πατρῷα σκῆπτρα ἐν ἔτει ,ϛτμ', ἰνδικτιῶνι ε', διιθύνειν A καταλιμπάνεται Μιχαὴλ σὺν μητρὶ Θεοδώρᾳ θεόφρονι, αὐτοῦ τε τὰ τῆς ἐπιτροπείας ὅ τε πατρίκιος Θεόκτιστος καὶ Μανουὴλ ὁ πρωτομάγιστρος ἠξίωται, ᾧ καὶ διὰ μερίμνης ἐνῆν τὸ φιλοδεσποτεῖν καὶ λόγοις πρὸς τοῦτο καὶ πράξεσι διατίθεσθαι. οὐκοῦν ἔξεισι κατὰ τὸν ἱππόδρομον, καὶ πάντα τὸν ὑπασπιστὴν λαὸν συναγείρας καὶ οἷς πληροφορίαν ἐκέκτητο στρατιώταις τὰ πρὸς εὐπείθειαν αὐτῷ συντηρῆσαι, προοίμιον οὕτω τοῦ λόγου προδιατίθησιν. "οἴδατε πάντες, ὦ ἄνδρες, ὁποῖα τὰ πρὸς ὑμᾶς τῆς ἀγάπης γνωρίσματα, ἔν τε κηδεμονίαις ἔν τε προστασίαις φιλό-

Inscr. Βασιλειῶν δ' om. L. 10. κηδεμονείαις L.

Paternum autem imperium anno mundi sexies millesimo trecentesimo quadragesimo, indictione quinta, gubernandum relinquitur Michaeli matrique Theodorae piae ac fideli, ipsiusque tutela patricio Theoctisto et Manueli primo magistro commissa. Cui Manueli et curae erat ut dominum diligeret, et verbis factisque ad eam rem se componeret. Itaque progreditur in circum, cunctisque satellitibus convocatis et militibus in quos fiduciam habebat, fidem et oboedientiam erga eum conservaturos, eiusmodi orationem orditur. "Scitis omnes, o viri, qualia nostri erga vos amoris extent documenta, dum in cura pro vobis gerenda et patro-

φροσι, σὺν ἅμα ταύταις καὶ εὐεργεσίαις, μηδ' ὅλως ἐξισταμέ- [B] νων ἡμῶν. καὶ διὰ τοῦτο χρεὼν ὑμᾶς ἡμῖν ἀποδοῦναι τὰς ἀντιχάριτας, ἔν τε λόγων πειθοῖ καὶ τῶν ἔργων· καὶ ὅπερ ἂν ἡμῖν αἱρετὸν διακέκριται, τοῦτο ἑλέσθαι σπουδάζοιτε, καὶ ὃ ἐὰν ἀρέσκον, κατὰ σπουδὴν καὶ προαίρεσιν τὸ εὐπειθὲς αὐτῷ μέχρι καὶ κινδύνου παντὸς ἐπιδείξασθαι." τούτοις οὖν αὐτοὺς παραινέσας, παραχρῆμα ἅπαντες τὰ τῆς ἀρεσκείας αὐτῷ καὶ ὑπακοῆς δι' ὅρκων συχνῶν παρετίθεντο· ἠλπίκεσαν γὰρ κατὰ νοῦν ὄρεξιν ἔχειν τῆς βασιλείας τὸν Μανουὴλ καὶ διὰ τοῦτο τοιαῦτα κατεπᾴδειν αὐτῶν, εἰ καὶ τὰ ὑπεναντία τούτοις παρ' αὐτοῦ διηγόρευτο. ἐκεκράγει γὰρ διαρρήδην "Μιχαήλ τε καὶ Θεοδώρας τὰ ἔτη πρὸς πλεῖστον ὁδεύσειεν." ὡς δὲ ταύτης τῆς ἀναρρήσεως διενήχηντο, [C] ἐπλήσθησαν ἀθυμίας καὶ πολυειδοῦς ἐνεφορήθησαν θλίψεως, ἀλλ' ὅμως τὸ προσταγὲν ἐξεπλήρουν· καὶ τὰ τῆς αὐτοκρατορίας διετετράνωτο.

Καὶ τὰ τῆς ὀρθοδοξίας ἀνακαλύπτεται, καιροῦ λαβόμενα εὐαγοῦς καὶ θεοφιλίας ἀνδρῶν εὐπροθέτων, τῆς στυγητῆς αἱρέσεως τῶν εἰκονομάχων διασυρείσης ἀπὸ βασιλείας Λέοντος τοῦ Ἀμαληκίτου μέχρι χρόνων λ'. εἴχοντο δὲ τοῦ εὐθέος σκοποῦ ὅ τε Θεόκτιστος, ἄλλως τε καὶ αὐτὸς Μανουήλ, εἰ καὶ διὰ μέσου [V. 88] τινὸς παρεμπεσόντος διώκλασεν. ἀλλὰ περιπίπτει τινὶ ἀρρωστίᾳ, δι' ἥσπερ ἀπέγνωστο· καθ' ἣν θεὸς παραδοξοποιῶν ὡς ἐπὶ τοῦ Ἐζεκίου δηλαδὴ καταφαίνεται. συνείχετο τοίνυν τῇ νόσῳ καὶ

10. αὐτῶν] αὐτὸν L. 17. θεοφιλείας L.

cinii comitate cum beneficentia coniuncta neutiquam officio desumus. Quapropter decet vos nobis referre gratiam, dictorum et factorum oboedientia: atque quod nostro iudicio placitum fuerit, hoc facite ut vobis placeat, placitoque studiose et volenter oboedientiam, etiam periculi tenus cuiusvis, accommodate et ostendite." His cum eos adhortatus fuisset, statim omnes promptam erga ipsum voluntatem et oboedientiam multiplici iureiurando detulerunt: putabant enim eum in animo habere affectationem imperii, ac propterea talia incantare. Sed contrarium ipse indicavit: clamavit enim clara voce "Michaelis et Theodorae anni longissime procedant." Quam acclamationem ut perceperunt, tristitia repleti sunt variaque anxietate satiati, sed tamen iussionem impleverunt: atque imperii initi ratio fama divulgabatur.

Atque orthodoxa fides revelatur, occasionem nacta piam et virorum bonum propositum habentium religiosum affectum, cum detestabilis haeresis imagines oppugnantium deducta fuisset inde ab imperio Leonis illius Amalecitae ad trigesimum annum. Tenebant autem hoc rectum consilium Theoctistus, ac praeterea ipse Manuel, etsi hic interveniente tempore quodam nutaret. Sed incidit in aliquem morbum, ob quem pro desperato habebatur: in illo morbo deus miraculose agere visus est, ut in Ezekia scilicet. Hoc igitur morbo tenebatur, et vehementer macerabe-

χαλεπῶς ἐτετρύχωτο καὶ ἐγκατόχῳ κάρῳ νενέκρωτο, ὡς ἐντεῦθεν ἐδόκει πᾶσι τεθνάναι, εἰ καὶ βραχύ τι πνεῦμα ἐν αὐτῷ ἐσπινθήριζεν ἀμυδρά τε φωνὴ διαστηματικῶς ἐξ αὐτοῦ διηκούετο. πρὸς ταῦτα τί γίνεται, καὶ τί τὸ περὶ ἡμᾶς τοῦ θεοῦ μηχανούργημα; διανίστησι μοναχοὺς τῶν Στουδίου, ἄνδρας τῷ ὄντι θεῷ γνωστούς, ἐπισκεψαμένους κατὰ τὴν ὑστεραίαν αὐτόν. ἐξήκουστο γὰρ ὅτι περ ἀπεβίω, καὶ συνεπεφοιτήκεσαν ὅπως ἐπικηδείους αὐτῷ B ὕμνους προσοίσειαν· ὃ τέως ἐπεποιήκεσαν, ὀλιγοδρανέοντι κατὰ ποίησιν. καὶ προσελθόντες τῇ κλίνῃ τῶν μοναζόντων τινές, περὶ ὧν ἤδη ἀνωτέρω μνείαν πεποιήμεθα, τεθαρρηκότες θεῷ καὶ τῇ τῆς ἀρετῆς τελειότητι ἀναθαρροῦσι τὸν ὡς νεκρὸν ἢ μετ᾽ ὀλίγον ἐσόμενον, λέγοντες τοῦτον ἀναρρωσθήσεσθαι. τοῦ δὲ ἐκ βάθους ἐστενωμένης ψυχῆς μικρόν τι ἀνενεγκόντος καὶ διαπορήσαντος εἰ τοῦτο ἔσται αὐτῷ κατ᾽ ἐλπίδα, ἐπεβόησαν ὡς "εἴπερ ἐν ὑποσχέσει ἔστι σοι πρὸς θεὸν τὰς θείας εἰκόνας κατὰ τὸ ἀρχαῖον ἀνανεώσασθαι, τὴν ζωὴν εὐαγγελιζόμεθα βεβαιούμενοι." ἀπῄεσαν, καὶ τὸ εὐαγγελισθὲν συντόμως ἐπεπραγμάτευτο, C καὶ παραδόξως ὡς ἐξ ᾅδου ἀνέδυ τοῦ θανάτου ἀπαλλαγείς. ὡς οὖν ἑαυτὸν διέγνωκε παρ᾽ ἐλπίδα τῆς ἀσθενείας ἀποραΐσαντα, πρὸς βασίλισσαν Θεοδώραν ὀρθοδόξως διαγωνίζεται, φράζων αὐτῇ τὰς σεβαστὰς ἀνακαινίζειν εἰκόνας κατὰ τὸ πρότερον, καθὼς περὶ τούτου τάχα καὶ ταύτῃ συνήρεσκε θεοφιλίας γνησίας ἐξεχομένῃ, συνεπιλαμβανομένης ὥς φασι καὶ πατρικίας

17. ἀπίεσαν L. 22. θεοφιλείας L.

tur ac intus stabulante torpore mortificabatur, ut omnibus videretur mortuus esse, etsi exiguum spiraculum scintillaret exilisque et debilis vox per intervalla ex ipso audiretur. Ad haec quid fit, et quae dei machinatio? Excitat monachos ex Studii monasterio, viros revera deo notos et amicos, qui visitarent ipsum postridie. Auditum enim fuerat quasi mortuus esset, convenerantque ut hymnos funebres ei accinerent: quod usque adhuc fecerant, languido et debili. Cumque accessissent ad lectum quidam ex monachis, de quibus superius mentionem fecimus, confisi deo et virtutis integritati, bono animo esse iubent illum quasi mortuum aut iamiam moriturum, dicentes eum convaliturum. At illo ex intimo pressae angustiis animae non nihil respirante ac dubitante an sperandum id sibi esset, acclamarunt "quod si pollicitus fueris deo te divinas imagines in pristinum statum restituturum et instauraturum, vitam tibi laeto nuntio annuntiamus, pro certo affirmantes." Abierant: atque is, sicut annuntiaverant, miraculose quasi ab inferis emersit, morte liberatus. Ut igitur se cognovit praeter spem a morbo convaluisse, cum imperatrice Theodora de orthodoxa fide agit et contendit, indicans ei ut venerabiles instauraret imagines in statum pristinum; quemadmodum de ea re forte et ipsi imperatrici videbatur et placebat, quod pietati et

τῆς ταύτης μητρὸς καὶ τῶν αὐταδέλφων αὐτῆς πατρικίων.
ἀλλ' ἀντέπιπτεν αὕτη τούτοις καὶ τῷ Μανουὴλ ἐπὶ μᾶλλον, εἴτε
διὰ τὴν τοῦ τηλικούτου μετάθεσιν πράγματος, εἴτε διὰ φιλαν-
D δρίαν ἴσως παράλογον, προτιμωμένην τοῦ θεοῦ τὰ ἀνθρώπινα.
εἰρήκει γὰρ πρὸς Μανουὴλ ὡς "ὁ ἐμὸς ἀνήρ γε καὶ βασιλεὺς
μακαρίτης σοφίας ἀρκούντως ἐξείχετο, καὶ οὐδὲν τῶν δεόντων
αὐτῷ ἐλελήθει· καὶ πῶς τῶν ἐκείνου διαταγμάτων ἀμνημονήσαν-
τες εἰς ἑτέραν διαγωγὴν ἐκτραπείημεν;" ταῦτα εἰποίσης κατη-
πείλησε σωφρόνως ὁ Μανουὴλ ὡς "εἴπερ τῶν εἰκόνων μὴ φρον-
τίσειας ἀναμορφῆς τε καὶ προσκυνήσεως, ἑτέρως τὰ τῆς εὐνοίας
ἢ αὐτῆς τῆς βασιλείας, θεοῦ εὐδοκοῦντος, διατεθήσεται."
τούτοις τῷ φαινομένῳ καταπεσοῦσα ἡ βασιλίς, τῷ δὲ νοουμένῳ
καὶ μάλα χαρεῖσα, τὸ δοκοῦν αὐτοῖς ἐπαφίησι καὶ σὺν αὐτοῖς
E διανίσταται· καὶ τοὺς ὀρθοδόξους τοῖς τοῦ κανικλείου ἐνδιαιτή-
μασιν ἀγείρεσθαι διεθεσμοθέτησεν, κἀκεῖσε πρὸς ἀλλήλους γυ-
μνάζειν τὰ περὶ ὀρθοδοξίας προβλήματά τε καὶ δόγματα.

Καὶ ταχέως μετὰ προσηκούσης τῆς διασκέψεως αἵ τε θεῖαι
εἰκόνες ἀνεμορφοῦντο καὶ τὰ τῆς ἐκκλησίας πρὸς τὸ ὀρθοτομοῦν
μετεκλίνετο, τῶν ἐν αὐτῇ ἱερέων, πρὸς δὲ καὶ ἀρχιερέων, τῶν
μὲν μεταστοιχειουμένων τῆς δυσσεβείας, τῶν δὲ ἀνθεστηκότων
τῷ εὐσεβεῖ δόγματι καὶ δικαίως ἐξωθουμένων, καὶ πρό γε πάν-
V. 39 των Ἰαννοῦ τοῦ δυσσεβοῦς πατριάρχου τοῦ ἀρχιερατικοῦ θρόνου
καθαιρουμένου. τοιγαροῦν ἀποστέλλουσι πρὸς αὐτὸν ἄνδρας

religioni verae adhaereret, adiutante, ut aiunt, etiam patricia matre eius germanisque eiusdem patriciis: sed illa istis obstitit, ac Manueli multo magis, sive propter tantae rei mutationem, sive ob amorem erga maritum fortasse nimium humana divinis praeferens. Dixit enim ad Manuelem "maritus meus et imperator beatae memoriae, sapientia sufficienter instructus erat, nec eum quid fieri deceret aut e re esset latebat: quomodo igitur illius constitutionum immemores ad aliud institutum deflectemus?" Haec locutae minatus est moderate Manuel dicens "siquidem imaginum non procurabis instaurationem et cultum, alia ratio benevolentiae aut ipsius etiam imperii existet deo volente." His consternata imperatrix ut quidem videbatur, ut autem intelligi poterat admodum laeta, quod placeret ipsis permittit cumque ipsis exsurgit, atque orthodoxis conventum in caniclei mansionibus indicit, utque ibi inter se examinarent orthodoxae fidei quaestiones et decreta.

Ac celeriter cum decenti consideratione divinae imagines instaurabantur, ecclesiaque ad rectum sensum dirigebatur, sacerdotibus principibusque sacerdotum partim deserentibus impietatem, partim reluctantibus pio decreto iureque et merito eiectis; Iohanne ante omnes, ille impio patriarcha, sede pulso. Ad quem cum misissent viros praestantes

ἀξιολόγους τῶν ἐπὶ τῆς φυλακῆς βασιλέως, τοῦ πατριαρχείου καταγαγεῖν· οἷς οὐκ ἐνεδίδου πρὸς κάθοδον. οἱ δὲ καὶ βουλόμενοι τοῦτον καταβιβάσαι ὅμως οὐ πείθουσι, παρ' αὐτοῦ κακοτρόπως μεταπεισθέντες τοῦτον τέως ἐᾶσαι· διὸ περί γε τούτου τοῖς ἀποστείλασιν ἀπαγγέλλουσι, καὶ κατ' αὐτοῦ πλείονα τὴν ὁρμὴν διεξάπτουσιν. εἰσῄει οὖν πρὸς αὐτὸν ὁ πατρίκιος Βάρδας, πευσόμενος ὅτου χάριν τοῦ πατριαρχείου οὐκ ἀπανίσταται· καὶ τὴν ἀπολογίαν ἐμεθοδεύκει, δεικνὺς τὴν ἑαυτοῦ γαστέρα δι' ὀβελίσκων κατάστικτον αὐτῷ, ἐπειπὼν ὅτι παρὰ τῶν ἐκπεμφθέντων ὡς ἐθνικῶν ἐπεπόνθει τοιαύτην ἀναιτίως ποινήν, "δι' ἧς χαλε- B
πῶς ἄγαν ἔχων, εἰ οἷόν τε, τὸ παρὸν συγχωρηθείην τῆς καταβάσεως· ἐπεπόνθειν δὲ μάλιστα παρὰ Κωνσταντίνου τοῦ ἐξ Ἀρμενίων καὶ τῷ τῶν ἐξκουβίτων ἐμπρέποντος τάγματι." τοῦτον δέ φησιν, ὦ ἀκροαταί, ὁ βδελυκτὸς καὶ παμβέβηλος, τὸν κεχρηματικότα ἀπόγονον Ἀρμενίων, ἐξ ἀρχηγῶν καὶ συναυταδέλφων σταλέντα πρὸς βασιλέα Θεόφιλον ἐπικηρυκεύσεως ὅμηρον, ὃς οὐ μετὰ μακρὸν χρόνον διά τε τὴν αὐτοῦ ψυχῆς τε καὶ σώματος εὐκοσμίαν καὶ τὴν ἄλλην περὶ τὰ βέλτιστα φιλόκαλον πρόθεσιν δρουγγάριος τοῦ ἀριθμοῦ ἤτοι τῆς βασιλικῆς βίγλης καθίσταται, ἐντεῦθεν πατρίκιός τε καὶ λογοθέτης τοῦ δρόμου γεραίρεται. τοῦ οὖν δραματουργήματος κατὰ κακόφρονα γνώμην ἀπε- C
λεγχθέντος, εἰς θυμὸν μᾶλλον ἐξῆγεν τὸν ἐταστὴν ἔμφρονα,

8. ἐμεθοδεύει L. 18. φιλόκαλλον L.

de custodia imperatoris, ut eum sede patriarchali dimoverent, his ille non cessit. Qui quamvis conarentur eum abducere, tamen permovere non potuerunt, ab ipso malitiose eo inducti ut eum interim missum facerent: quapropter de ea re iis qui ipsos miserant renuntiant, maioremque adversus eum excitant impetum. Ivit ergo ad eum patricius Bardas interrogatum quamobrem e patriarchali sede non discederet. At is responsionem et excusationem meditatus ostendit ventrem suum obeliscis compunctum, subindicans ei quod ab iis qui missi ad ipsum fuissent, tamquam ab ethnicis, perpessus fuerit sine causa talem cruciatum, ex quo male admodum affectus remitti sibi decessionem in praesens, si fieri posset, postulabat; "passus sum, inquiens, praecipue multa a Constantino illo ex Armeniis, conspicuo in excubitorum cohorte." Istum scilicet dicit, o auditores, homo exsecrabilis ac profanissimus, oriundum ex Armeniis, a ducibus ac fratribus missum ad imperatorem Theophilum legationis obsidem, qui non multo post tempore, cum propter animi corporisque decorem, tum propter reliquam rerum optimarum elegans studium, drungarius numeri sive imperatoriae vigiliae constituitur, exin patricius et logotheta cursus salutatur. Itaque machinatio pravi animi deprehensa in iracundiam adhuc magis coniecit inquisitorem prudentem,

δι' οὗ καὶ τῆς ἐκκλησιαστικῆς ἐπικρατείας ἐνδίκως ἐκπέπτωκεν, τῷ κατηγορηθέντι μᾶλλον, κἂν μὴ ἐθέλων, δωρησάμενος ἀπαρέγγραπτον ἔπαινον. καὶ εὐσεβὴς ἀντεισάγεται πατριάρχης Μεθόδιος, ἐν ἑαυτῷ πλεῖστα τὰ ὑπὲρ εὐσεβείας στίγματα καὶ τὴν δι' εἱρκτῆς σαπρώσης τῶν τριχῶν ψίλωσιν οἷά τινα γέρα προκομιζόμενος. τούτῳ τὰς ἀρχιερατικὰς ἀγκύρας ἐπέδοσαν σὺν ἀποδοχῇ πάσῃ θεοφόρων ἁπάντων ἀνδρῶν, τῶν τε τῇ βασιλίδι περινοστούντων καὶ τῶν πανταχόθεν πρὸς ταύτην ἐληλυθότων. καὶ D γὰρ κατὰ διωρισμένην ἡμέραν τῆς αὐτῶν συνελεύσεως, καθ' ἣν ἡ τοῦ θεοῦ ἐκκλησία τὴν ἑαυτῆς εὐπρέπειαν ἀμφεβάλλετο, κατίασιν ἐκ τοῦ περιωνύμου ὄρους Ὀλύμπου Ἄθω τε καὶ τῆς Ἴδης, ἀλλὰ μὴν καὶ τοῦ κατὰ Κυμινᾶν συμπληρώματος, περιφανῶς τὴν ὀρθοδοξίαν κηρύσσοντες, βασιλικαῖς τε διαμοιβαῖς καὶ σεβασμίοις αἰσίοις ἱκανωθέντες πρὸς τὸς ἰδίας σκηνὰς ὑπεχώρησαν· ὧν ἔκτοτε καὶ μέχρι τῆς δεῦρο οἱ τῆς ὀρθοδοξίας λιμένες Χριστοῦ δυνάμει φρουρούμενοι διατηροῦσιν ἀχείμωνες.

Ταῦτα μὲν ἐν πρώτοις Μιχαὴλ τε καὶ Θεοδώρας, τῶν εὐσεβῶν βασιλέων, τὰ κατορθώματα. ὁ δὲ Ἰαννῆς τινὶ μοναστηρίῳ ἐγκαθειρχθεὶς καὶ ἐν μέρει τοῦ κατ' ἐκεῖνο ναοῦ κατιδὼν τοῦ E σωτῆρος Χριστοῦ τοῦ θεοῦ ἡμῶν σαρκικὸν χαρακτῆρα, οὐ μὴν ἀλλὰ καὶ τῆς θεομήτορος καὶ τῶν στρατιαρχῶν, διωρίσατο τῷ ἑαυτοῦ ὑπηρέτῃ διανιόντι τῶν σεβασμίων εἰκόνων ἀνορύξαι τὰ ὄμματα, φάσκων ἀμηχανεῖν πρὸς ταῦτα τὴν ὁρατικὴν προτείνα-

19. ἐκείνῳ ναοῦ κατειδὼν L.

per quem etiam ecclesiastico principatu iure ac merito excidit, incusato magis, quamvis non sponte, largitus laudem haud subditiciam. Piusque ac fidelis in eius locum introducitur patriarcha Methodius, in se ipso plurimas pietatis inscriptas notas et ex carceris squalore capillorum raritatem quasi quaedam insignia virtutis prae se ferens. Huic summi sacerdotii ancoras tradiderunt, cum approbatione summa omnium religiosorum hominum, cum eorum qui in imperatoria urbe versabantur, tum eorum qui undique in eam convenerant. Etenim definito quodam die eorum conventus, in quo ecclesia suum decus et ornatum induit, descenderunt ex celebri monte Olympo, Athone item et Ida, quin et ex congregatione ad Cyminan, aperte et clare veram fidem praedicantes, imperatoriisque remunerationibus et honorariis decentibus affecti ad sua tabernacula recesserunt: quorum verae fidei portus ab illo tempore ad hunc usque diem virtute Christi custoditi permanent tempestatis expertes.

Haec prima sunt Michaelis ac Theodorae, piorum imperatorum, facta praeclara. Porro Iohannes cuidam monasterio inclusus atque in parte templi in eo conspicatus salvatoris Christi dei nostri carnalem imaginem, deiparae item et archangelorum, praecepit suo ministro ut ascenderet et venerandarum imaginum effoderet oculos, dictitans haud se posse ad

σθαι αἴσθησιν, εἰκονιστὴς ἐκ νεότητος ὁ τρισκατάρατος καθεστὼς καὶ μονῆς τῶν ἀθλοφόρων Σεργίου καὶ Βάκχου τῆς βασιλεῦσιν ἀφωρισμένης προβάθμιος. ὡς οὖν ἐπύθετο ταῦτα ἡ θεοσεβεστάτη δέσποινα Θεοδώρα, ζήλῳ τῆς πρὸς Χριστὸν ἀγαπή- V. 40
σεως διακαῶς ἐκεκίνητο, καὶ τοὺς αὐτοῦ μισητοὺς ὀφθαλμοὺς ἐκμοχλεύειν προτεθύμητο, κἂν δεήσεσι παρά τινων ἐκεκώλυτο· ὅθεν τινὰς τῶν δορυφόρων ἐκπέμψασα πρὸς αὐτὸν σ' λώροις ἐμάστιξεν.

Οἱ οὖν αἱρετικοὶ τοῖς προσαχθεῖσι προπετῶς διαπληκτιζόμενοι, χρήμασιν ἱκανοῖς φρεναπατήσαντες κόρην πρὸς τὰ δημόσια ἐπὶ τῆς ἐκκλησίας κατηγορῆσαι τοῦ πατριάρχου, σὺν τῷ ἐξ αὐτῆς τεχθέντι υἱῷ Μητροφάνῃ, τῷ κατὰ καιρούς τινας προέδρῳ τῶν Σμυρναίων πόλεως χρηματίσαντι, κρυψιγαμίας ἔγκλημα θριαμβεύουσαν, ἐντεῦθεν πλεῖστος παρὰ τῶν κακοδόξων ἐπισυνίσταται τάραχος ἐπισχετλιαζόντων ἡμῖν καὶ ἀμέτρως ἐπεγγελώντων. οὗ χάριν τῷ πατριαρχείῳ προσίασιν ὁ πρῶτα φέρων Μα- B
νουὴλ ἐν μαγίστροις, καὶ ὁ πατρίκιος καὶ ἐπὶ τοῦ κανικλίου καὶ λογοθέτης τοῦ δρόμου Θεόκτιστος, σὺν ἑτέροις συγκλητικοῖς, κατηφιῶντες ἐπὶ τοῖς ἀναίδην ἐνωτισμένοις. οὓς ὁ ἀρχιερεὺς ἐπιδὼν καὶ τῆς κατὰ βάθος ἀνίας τῶν συνεληλυθότων εὐσεβῶν ἐπαισθόμενος, μηδαμῶς τε πρὸς ὀρθοδόξους [ἑαυτὸν] θέλων πέτρα σκανδάλου τίθεσθαι καὶ λίθος προσκόμματος, τὰ κρύφια

13. τῶν σμυρνέων L. *ibid.* κρηψιγαμίας L. 15. ἐπεγγελόντων L. 22. κρύφα L.

ea dirigere oculorum aciem; cum effigiarius in iuventute exsecrabilissimus ille fuisset, atque monasterio Sergii et Bacchi martyrum, quod imperatoribus dicatum, praepositus. Ut igitur id audivit piissima domina Theodora, zelo amoris erga Christum ardenter commota fuit, illiusque invisos oculos eruere volebat: sed precibus quorundam prohibebatur: proinde missis aliquot ex satellitibus ad eum, ducentis illum flagrorum verberibus flagellavit.

Ceterum haeretici, his eis obvenientibus proterve certantes, pecuniis multis corruptam mulierculam subornarunt, ut publice in ecclesia accusaret patriarcham, cum filio ex ea nato Metrophane, qui quodam tempore praepositus Smyrnaeorum urbis fuit, occultarum nuptiarum crimen iactans. Hinc maxima a male sentientibus excitatur turba, nos vexantibus et sine modo irridentibus. Quapropter ad patriarchalem sedem adeunt Manuel primarius inter magistros, et Theoctistus patricius ac canilclei praefectus atque etiam cursus logotheta, cum aliis senatoriis viris, maesti ob ea quae vulgo propalam audirentur. Quos summus sacerdos conspicatus, cum profundum maerorem piorum qui convenerant sensisset, minimeque vellet orthodoxis se ipsum petram scandali exponere ac lapidem offensionis, occultam turpitudinem denudat verecundus ille in oculis

αἴσχη ἀπογυμνοῖ ὁ αἰδέσιμος πάντων ἐπ' ὄψεσιν, καὶ εὕρητο παρὰ τὸ εἰκὸς μαρασμῷ τῆς φύσεως ἐσκληκώς, οὗ ματαίως C *εὐϑύνετο, καὶ τὸ αἴτιον ἐρεῖν διανίστατο, ὅτι περ "ἐν Ῥώμῃ διάγων, ἀποσταλεὶς πρὸς τὸν ἀρχιερέα ταύτης διὰ τὰς ἐπὶ Νικηφόρῳ τῷ πατριάρχῃ αἰτιαϑείσας ἐπαγωγάς, πλεῖστα ἐπισινιῶσαι με γαργαλισμοῖς τὸν Σατανᾶν, ἱκανῶς τε περὶ τούτου Πέτρῳ τῷ ἀποστόλῳ ἐπεντυχεῖν, ἀλλοτριῶσαι τῆς ἐνσωματούσης κινήσεως. καὶ δὴ ἐμοῦ νύκτωρ ἐν τῷ ἀποστολίῳ εὐναζομένου, ἐπιστάντα τὸν κορυφαῖον δεξιᾷ τῇ χειρὶ τὰ αἰδοῖα καταπιέσαι καὶ ἐπιφϑέγξασϑαι μὴ τοῦ λοιποῦ πτοεῖσϑαι τὴν φιλήδονον ἔφεσιν μήτε τὴν ἐκ ταύτης εἰς τὸ ἑξῆς ὑφορᾶσϑαι ζωπύρησιν. ἐγὼ δὲ διυπνισϑεὶς μετὰ σφοδρᾶς ἀλγηδόνος περιῆλϑον ἐν σαρκικῇ τοιαύτῃ, καϑὼς ὁρᾶτε, νεκρότητι." τοιαῦτα τοῦ πατριάρχου ταπεινο-* D *φρόνως εἰπόντος πανάληϑες, τῆς κατηφείας οἱ συμπαρόντες διίσταντο. ἐξ ὧν Μανουὴλ πρὸς ἀνέτασιν τῆς γυναικὸς ἀγωνίζεται διασαφῆσαι τὸ ἀκριβές, τὸ ξίφος ἐπανατείνων καὶ παρὰ τίνος ὑποβεβλῆσϑαι αὐτὴν ἀνετάζων. ἡ δὲ τοῖς κατ' ἀπειλὴν λόγοις ἐκ τῆς ξιφήρους ἐκτάσεως τὴν ἀλήϑειαν παρεδήλου, διὰ τῶν πρὸς τοῦτο συσκευασϑέντων καὶ ποσὸν ὅσον χρήματος καταβαλομένων, καὶ τῷ εἴς τι ἀγγείδιον τοῦτο εἶναι ἀπόϑετον καὶ ὑποκεκρύφϑαι κατά τι κιβώτιον σίτου ὑπάρχον κατάπλεον. καὶ καϑὼς ἀνωμολόγητο ταύτῃ, οὕτως τὰ τῆς εὑρέσεως ἐμφανῶς ἐγνωρίζετο, καὶ οἱ αἱρετικοὶ τηνικαῦτα ἄχλυσιν αἰσχύνης ἠμαύρωντο·*

12. *ἀλγηδῶνος* L. 13. *ὁρᾶται* L. 18. f. *ἐξετάσεως*. 19. *καταβαλλομένων* L. 20. *τῷ*] *τὸ* L.

omnium, et inventus est praeter solitum marcore naturae tabefactus: quare vana erat accusatio. Causam etiam eius rei indicavit: se, cum Romae ageret missus ad summum sacerdotem eius urbis propter intentata Nicephoro patriarchae crimina, valde vexatum fuisse titillationibus a Satana, multumque de ea re supplicasse Petro apostolo, ut liberaretur a corporis pruritu. "Atque cum per noctem, inquit, in templo apostoli dormirem, coryphaeus ille apostolorum mihi adstans dextera manu virilia mea pressit, dixitque ne deinceps timerem voluptuosam concupiscentiam, neve opinarer eam in posterum revicturam. Ego autem somno excitatus cum vehementi dolore, ambulavi ex illo in eiusmodi carnali mortificatione, ut videtis." Haec patriarcha humiliter locuto verissime, contristari praesentes destiterunt. Post haec Manuel ad examinandam mulierem se accingit, ut verum indicaret, intentans ei gladium. quaerens a quo subornata esset. Quae propter minas verborum gladiique intentationem, veritatem indicavit de iis qui ea omnia struxissent et certam summam pecuniae dedissent; eamque in quodam vasculo esse repositam atque absconditam in quadam arca frumenti plena. Atque ut ab ea dictum fuerat, res inventa et patefacta est. Tum haeretici caligine

οἷς ὁ θεοφιλὴς πατριάρχης τῶν εἰς αὐτὸν ἐπταισμένων παρέσχε E συμπάθειαν, τοῦ οζ' συγχωροῦντος Χριστοῦ τῷ νόμῳ πειθόμενος. διὸ καὶ παρὰ τῶν ἐπιστατούντων τοιούτου ἐλέγχου κατὰ τῶν ἐλεγχθέντων ἔκτοτε διώρισται αὐτοῖς πρὸς ἀντέκτισιν, κἂν ὠφελείας ἀντεχομένην, ὅπως κατὰ τὸ τῆς ὀρθοδοξοποιοῦ ἡμέρας γενέθλιον ἀπὸ τοῦ ἐν Βλαχέρναις τῆς θεοτόκου τιμωμένου ναοῦ τῆς λιτανείας μετὰ λαμπάδων προάγοιεν. [Βλαχέρναις. ἀπό V. 41 τινος ἀρχηγοῦ Σκύθου Βλαχέρνου ἀναιρεθέντος ἐκεῖσε πεφήμισται.] καὶ τὸ τοιοῦτον ἰδίωμα χρόνῳ πολλῷ μέχρι διήρκεσεν, διακαρτερούντων δῆλον ὅτι τῶν ἀλλοδόξων ἐν τῇ κατὰ τὸν μέγαν ναὸν ἐπισυναγωγῇ καὶ τὸν ἴδιον ἀναθεματισμὸν διενηχουμένων ἐπὶ θριάμβῳ τῆς παντομισοῦς αὐτῶν ἀποστάσεως.

Κατ' ἐκεῖνο δὲ καιροῦ ἡ τῶν Ζηλίκων αἵρεσις ἀνεφάνη σὺν τῷ ἀρχηγῷ αὐτῶν Ζήλικι, ὄντι τῶν βασιλικῶν ἐν πρώτοις ὑπογραφέων, ὃς ἐν εὐσήμῳ ἡμέρᾳ καὶ βασιλείῳ προόδῳ ἐν τῇ μεγίστῃ ἐκκλησίᾳ θεοῦ τὰ τῆς αἱρέσεως κατάδηλα τεκτηνάμενος μετὰ τῶν ὁμοφρόνων ἐμφωτίοις ἐσθῆσιν ἠμφίαστο, χρισθεὶς τῷ μύρῳ B τῆς τελειότητος.

Ἐν δὲ τῷ μεταξὺ χρόνῳ καλῶς τὰ τῆς πολιτείας ἐκεκυβέρνητο παρά τε βασιλέως Μιχαὴλ καὶ Θεοδώρας τῆς τούτου μητρός, μεσιτευόντων τῶν προδηλωθέντων ἀνδρῶν. ὁ δὲ ἀρχηγὸς Βουλγαρίας (οἷς τὸ γένος ἐξ Ἀβάρων τε καὶ Χαζάρων, ἀπὸ Βουλγάρου κυρίου ὀνόματος, ὃς παρὰ Ῥωμαίων ἐν κατοικήσει

20. καὶ om. L.

pudoris obfuscati sunt. Quibus pius ille patriarcha delictorum veniam dedit, Christi septuaginta septem remittentis legi obtemperans. Itaque ab iis qui praefuerant eiusmodi inquisitioni, in deprehensos et convictos statutum duntaxat est, ad ultionem cum utilitate etiam coniunctam, ut in orthodoxiae renatae natali die ab ea quae in Blachernis est deiparae sacrata aede litaniam cum facibus praecederent: [Blachernae a quodam duce Scytharum Blacherno ibi interfecto nominatae:] isque mos singularis longo tempore usque duravit, tolerantibus scilicet heterodoxis id in congregatione in magno templo, ut anathema contra se ipsos audirent, ob triumphatam eorum detestabilem haeresin.

Porro illis temporibus Zelicum haeresis exorta est cum auctore suo Zelice, uno ex primariis amanuensibus imperatoriis. Qui cum festo quodam die in solenni pompa imperatoris haeresin suam publicaret, tunc statim, una cum asseclis, albis tunicis ac vestibus induitur unctus unguento perfectionis.

Interea imperium bene administrabatur ab imperatore Michaele ac Theodora matre eius, mediantibus viris illis quos dixi. Dux autem Bulgariae (cuius incolarum genus ex Avaris et Chazaris, a Bulgaro, no-

Δορυστόλου καὶ τῆς Μυσίας γεγένητο) ἐπαχθῆ προΐησι ῥήματα ἐπιδρομὴν Ῥωμαίοις ἐπαπειλῶν. ἡ δὲ βασίλισσα τούτῳ ἀνδρειοφρόνως μετὰ τοῦ ἑαυτῆς στρατοπέδου ἄχρι Βουλγαρικῆς γῆς αὖθις ἐπαναστεύειν ἐμεγαλαύχησεν· "καὶ εἰ μὲν γυναῖκα ἡττήσειας, οὐδέν σοι πρὸς νῖκος τὸ καύχημα· εἰ δὲ καὶ ὑπὸ ταύτης ἐκνικη- C *θείης, πᾶσι τὸ σὸν ἥττημα καταγέλαστον." ταῦτα ὁ Σκύθης συνεὶς ἠρεμεῖν κατὰ τὴν ἰδίαν χώραν διέγνωκεν.*

Οὐ πολὺς δὲ χρόνος προεβεβήκει, καὶ ἡ τῶν λεχθέντων ἀνδρῶν πρὸς ἀλλήλους ὁμόνοια διαφθείρεται, καὶ ἐξάπτεταί τις ἔρις χαιρέκακος παρὰ Θεοκτίστου πρὸς Μανουήλ, εἰς ἀποικίαν αὐτὸν διωθήσασα. τῷ παλατίῳ γὰρ μετ' αὐτοῦ γε συνῴκιστο, καὶ ἄμφω τὰ τοῦ κοινοῦ διεπραγματεύοντο· καὶ καθοσίωσιν ὑποσμύχουσαν διεσυκοφάντει, ἀλλ' ἐν παραβύστῳ τῇ περισκέψει· ἧς ἐντέχνως καταστοχασάμενος ὁ Μανουὴλ οἴκαδε χωρεῖν καθ' ἑαυτὸν τίθεται, κἀκεῖθεν τοῖς βασιλείοις ἐπιδημεῖν καὶ D *συμπράττειν τὰ δέοντα. κατῴκει δὲ τοῖς κατὰ τὴν κιστέρναν χώροις τοῦ Ἄσπαρος, ἣν ἐκεῖνος ἱδρύσατο, δι' οὗ καὶ τὴν προσηγορίαν αὕτη ἀπείληφεν· καὶ ἐπὶ μακρὸν χρόνον βιώσας ἐνδόξως ἀποβεβιώκει, ἀποκαταστήσας τὸν ἑαυτοῦ οἶκον μονασταῖς καταγώγιον, ἐν ᾧ καὶ κεκήδευτο.*

Μετὰ δὲ τὴν ἐκ τοῦ παλατίου αὐτοῦ ἀποικίαν φθόνῳ τῷ πρὸς τὸν Θεόκτιστον διεγείρεται Βάρδας, αὐτὸν ἀφαντῶσαι, καὶ

11. *διωθίσασα* L. 18. *ἀποβιώσας* L.

mine proprio, qui a Romanis Dorystolum et Mysiam incolendam habuit) molesta iactabat verba, incursionem Romanis minitans. Cui imperatrix virili animo cum suo exercitu usque in Bulgaricum solum se occursuram et obstituram gloriose denuntiat: "et si quidem, inquit, mulierem viceris, nihil tibi ad gloriam victoria: quod si vero a muliere victus fueris, omnibus tua clades derisui erit." Quibus intellectis Scytha quiescere in sua regione decrevit.

Ceterum non multum temporis processit, et praedictorum virorum inter se concordia dissolvitur, excitaturque contentio malevolens a Theoctisto adversus Manuelem, quae hunc ad migrandum impulit. nam in palatio cum illo habitabat, et simul rem summam administrabant: atque hunc ille crimine maiestatis gliscente insimulat, sed occulte per cautionem; quam industrie odoratus Manuel, domum secedere, ut solus esset, statuit, atque inde, cum res postularet, adesse ad commune officium in regiam. Habitabat autem ille apud cisternam Asparis loca, quam hic exstruxit, a quo eadem nomen etiam accepit: atque cum diu vixisset, gloriose vita functus est, mutata domo sua in habitaculum monachorum, ubi etiam sepultus est.

Post migrationem autem Manuelis ex palatio invidia erga Theoctistum excitatur Bardas ad hunc e medio tollendum, idque hoc modo ma-

τρόπῳ τοιούτῳ τεχνάζεται. παρεντίθησι βασιλεῖ Μιχαὴλ τὴν μητέρα φρονεῖν ἑαυτῇ γάμον ἢ ἐν μιᾷ τῶν αὐτῆς θυγατέρων ἐπισκευάσασθαι, δι' οὗ τὴν αὐτοῦ βασιλείαν ποιήσειεν ἔκδοτον, τοῦτόν τε καθαιρήσειν αὐτῆς καὶ ἀπομματῶσαι. ὡς δὲ τοῖς E τοιούτοις λόγοις ἐκεκλυδώνιστο Μιχαήλ, ἐπεῖπε τὸν Θεόκτιστον τούτων αἴτιον ἔσεσθαι. καὶ ἐμμεριμνῶσιν ἀμφότεροι περὶ τῆς κατ' αὐτοῦ ἐπιθέσεως, δολοφονῆσαι ἢ μᾶλλον ὑπερορίσαι τοῦτον, εἴγε δυνήσονται· καὶ ἐπὶ ταύτῃ τῇ συσκευῇ προσλαμβάνουσιν ὑποστρατήγους τινὰς τῆς οἰκείας περιῃρημένους ἀρχῆς, ὅπως αὐτοῖς συνεργήσαιεν, ἀλλὰ μὴν καὶ Θεοδώρας τὴν σύγγονον, V. 42 ἐφ' ᾗ Καλὴ Μαρία τὸ εὔσημον, ὡς ἂν καὶ αὕτη τὰ κατὰ δολοφονίαν τοῦ Θεοκτίστου συμπράξει τῷ βασιλεῖ κρυφίως, ἐξ ὑπερτέρου τετρημένου οἰκίσκου διόπτειραν καταστήσαντες, ἐντεῦθεν κατασημῆναι τῷ βασιλεῖ ὁπόταν τὸν Βάρδαν ἴδοι Θεοκτίστῳ ἐπιτιθέμενον. ὡς οὖν ταῦτα περὶ τούτου διεσκοπήκει ὁ Βάρδας, ταῖς πρὸς τὸν Λαυσιακὸν καθέδραις προσεποιεῖτο διαναπαύσασθαι τοῖς πραιποσίτοις συνεδριάζων· καὶ δὴ τὰ λογοθέτου τοῦ δρόμου πραγματικῶς Θεοκτίστου διευθετοῦντος, πάνυ τετηρημένως ἔσχεν ὁ Βάρδας ἐκ βασιλέως ἀπανιόντα ἢ πρὸς τοῦτον B ἐπανιόντα ἐνεδρεύειν ὡς λέων ἐν ἀποκρύφῳ ἀθρόως τε προσπηδῆσαι κατακολουθῆσαί τε καὶ ἐνστῆναι ἢ καὶ μᾶλλον ὑποσκελίσαι καταπρηνῆ. συνεῖχε μὲν αὐτὸν συνεῖχε πολὺς ὁ ἀγών, καὶ ἐπι-

7. περιορίσαι L. 13. τετριμένου L. 17. πραιπωσίτοις L.
18. θεοκτίστῳ L. 21. ἐνστῆσαι L.

chinatur. Ingerit imperatori Michaeli quasi mater eius meditaretur sibi aut uni ex filiabus coniugium cum Theoctisto ineundum, per quod et imperium tradendum sit, quo ipsum exuere velit et oculis orbare. Cum eiusmodi sermonibus turbaretur Michael, subiunxit dicens Theoctistum istorum auctorem esse, cogitantque ambo de aggrediendo illo ita ut aut fraude ac dolo interficiant aut in exilium mittant potius, si possent: atque ad hanc molitionem adsciscunt duces quosdam secundi ordinis, munere suo exutos, ut ipsis sociam operam praestarent; quin et Theodorae sororem, cui Pulchra Maria honorificum nomen, ut et ipsa in eiusmodi dolosa nece adiutrix clam esset imperatori, in superiore domuncula perforata eam speculatricem constituentes, ut inde signum daret imperatori quando viderit Bardam aggredi Theoctistum. Haec de ea re speculatus et meditatus Bardas simulavit se velle in sedibus ad Lausiacum requiescere, cum praepositis una assidendo. Atque dum ea quae sunt logothetae cursus administrat Theoctistus, perdiligenter observabat Bardas ab imperatore redeuntem aut adeuntem ad eum, insidians ut leo in occulto, ut cum impetu prosiliret insequereturque et impediret aut potius supplantatum pronum prosterneret. Tenebat eum quidem tenebat magna

θέσθαι πολλάκις διώρμητο, καὶ τῆς ὁρμῆς ἀνεκόπτετο· ἀλλ' ὅμως, εἰ καὶ βραδέως, τῆς καθέδρας ἀνίσταται καὶ καταδραμὼν φθάνει, καὶ ἵνα λεχθείη ποιητικῶς,

κόψ' ὄπιθεν κώληπα τυχών, ὑπέλυσε δὲ γυῖα,

καταπρηνίξας αὐτόν. καὶ εὐθέως ἐπιδίδοται σὺν κουλεῷ σπάθη ἐπώμιος, ἣν πρὸς ἀποτροπὴν ἐναντίων ἐγύμνωσεν. τῆς ἕδρας οἱ ἀποστράτηγοι διανίστανται θαρσαλέως ἀπαμυνοῦντες τῷ ἐγ-
C χειρήματι. καὶ τῇ σκοπῷ γυναικὶ κατασημαίνεται βασιλεὺς πρὸς ἐξέλευσιν τὴν διὰ χαλκηλάτων πυλῶν Τιβερίου τοῦ ἄνακτος· καὶ στὰς ἐκεῖσε τὸν Θεόκτιστον βασιλικῇ ψήφῳ προστέταχεν αἴρεσθαι. καὶ ἑλκύεται χαμαὶ δι' ὑπασπιστῶν μέχρι τῶν ἔξω περὶ τὰ Σκῦλα, κἀκεῖσε συνέχεται πρός τινος βασιλικῆς ἀποφάσεως τελέσων ἐνέργημα. ὡς δὲ περὶ τούτου ἡ δέσποινα διεμεμαθήκει, ἐξῄει πρὸς τὸν Λαυσιακὸν αὐτοσχέδιος, ἐπιζητοῦσα τὸν ταύτης θεράποντα καὶ ἀπεκτονέναι μὴ συγχωροῦσα· ἀλλ' ἀπρακτί, κἂν τότε τολμηρὸν ἐπεβόα. ἔπειτα δὲ φωνῇ βριαρᾷ καταπτοηθεῖσα, θρηνωδῶς θαλαμεύεται· τῶν ἀποστρατήγων γάρ τις, ἐκ Μελισ-
D σηνῶν κατάγων τὸ γένος, αὐτῇ ἐπεφθέγξατο παλινδρομεῖν οἴκαδε, τὴν αὐτὴν ἡμέραν κρουόντων ἀποκαλῶν.

Ὡς οὖν ἐπὶ πολὺ κατὰ τὰ Σκῦλα ὁ Θεόκτιστος ἐκεκράτητο, τῶν ἐξ Ἀρμενίων Κωνσταντῖνος, οὗ προμεμνήμεθα, δυσωπεῖ

4. κόψεν ὄπισθε κόλη κατυχὼν L. conf. Il. φ, 726. 5. fort. καταπρηνῆ νύξας αὐτόν. 8. βασιλέως προσεξέλευσιν L. 14. ἐξίει L. 15. ἀποκτονέναι L. 17. μελισσινῶν L. 19. τὴν τοιαύτην ἡμέραν Symeon log.th. p. 435 B.

anxietas, saepeque aggrediendi impetum cepit, atque in impetu retardatus fuit: sed tamen, quamvis tarde, a sede surgit, et currens illum occupat, atque ut poetice dicatur, *Tergum percussit feriens huic membraque solvit*, ipsumque prostravit. Ac statim traditur cum vagina gladius humeralis, quem ad propulsationem adversariorum nudavit. A sede expraetores surgunt audacter auxiliaturi in facinore. Atque a speculatrice muliere significatur imperatori ut veniat per aeneas portas Tiberii imperatoris: atque is consistens illic Theoctistum imperatorio calculo praecipit tollendum esse. Trahiturque iste humi a satellitibus usque ad exteriora circa Scyla, atque ibi tenetur imperatorii mandati passurus effectum. Ut autem de ea re domina certior facta est, exivit ad Lausiacum ut erat incompta, requirens suum ministrum nec permissura ut occidatur: sed frustra, quamvis tunc audacter clamaret. mox namque voce asperiore conterrita, lamentans in thalamum se recepit: quidam enim expraetorum a Melissenis genus deducens ei indixerat ut recurreret domum, diem illum percussorum vocans.

Quum igitur diu apud Scyla Theoctistus teneretur, Constantinus ex Armeniis, cuius supra mentionem fecimus, commotus fuit ad ei succur-

ἀντιλαβέσθαι αὐτοῦ. οὗτος δὴ χρηστότητος τρόποις φερόμενος τὰς πρὸς τὸν Ἰουστινιανοῦ τρίκλινον φερούσας πύλας συνέπτυξεν, τὴν δι' αὐτῶν ἀπείργων φορὰν στρατιωτικὴν τέως ἀκρατῶς ἐρχομένην, ἕως ἂν τὰ πρὸς ἐξορίαν αὐτοῦ διορίσειαν, καὶ μὴ κεχράνθαι Χριστιανικῷ τινὰς αἵματι. τοῦτο γὰρ καὶ Βάρδᾳ πολυμερῶς ἐπεφρόντιστο, εἴγε ῥᾳδίως τὰ πραττόμενα διεξάγοιτο. ἀλλὰ τὸν βασιλέα παρορμῶσί τινες συμβουλεύοντες ὡς εἴπερ μὴ διὰ τάχους ἀναιρεθείη Θεόκτιστος, ἐπανάστασις ἔσται παρὰ δε- E
σποίνης δυσφόρητος. τοὺς ἐκ Ταυρικῆς καθ' ἑταιρείαν Σκύθας ὁ βασιλεὺς ῥαγδαίῳ προστάγματι διαρώννυσιν ἐπελθεῖν κατ' αὐτοῦ καὶ συντόμως διαχειρίσασθαι. οἱ δὲ ἐπῄεσαν ὁμοθυμαδόν· ὡς δὲ τὰς πύλας εὗρον συνεπτυγμένας, ἐπείπερ ὁ Κωνσταντῖνος ἐντὸς ἐφειστήκει, κακῷ μετρίῳ τὸ ἄμετρον τῶν κακῶν ἐξιώμενος ὑπεξίσταται, εἰ καὶ γενναῖος τήν τε φρόνησιν καὶ τὴν ψυχὴν κα- V. 43
θεστήκει· καὶ ὅσον ἐνῆν αὐτῷ σθένους ἔν τε λόγοις καὶ ἔργοις, κατευνάζειν ἐπεχείρει τοὺς ἐπιόντας κατὰ Θεοκτίστου, κατὰ τὸ μᾶλλον ἱκετευόμενος. ὡς δὲ τὰ τῆς σωτηρίας Θεοκτίστῳ ἐν τῇ δυνάμει τοῦ βοηθοῦ διητόνει, τῆς ἀνάγκης κορυφουμένης, ἐπείπερ δύναμις

ἀνάγκης ἐγγύθι ναίει

καὶ

τὸ τῆς ἀνάγκης ἔστ' ἀδήριτον σθένος

κατὰ τὰ λόγια, ἐξίσταται τῶν πυλῶν, καὶ τῶν εἴσω ῥύδην προσκεχωρήκεσαν. καί τις αὐτῶν ὑπεισέρχεται τῇ καθέδρᾳ καθ' ἣν

1. δὲ L. 2. Ἰουστινιανὸν L. 5. τούτω L. 11. ἐπίεσαν L.

rendum, isque humanitatis moribus impulsus eas quae ad Iustiniani triclinium ducunt portas clausit, prohibens militarem impetum per eas immodice ingruentem, usque dum de eius exilio aliquid determinaretur, ne inquinarentur Christiano aliqui sanguine. Istud enim et Bardae omnino curae erat, si facile possent quae agerentur ad finem perduci. Sed imperatorem impellunt aliqui monentes, nisi celeriter interficiatur Theoctistus, rebellionem orituram a domina, vix sustinendam. Itaque Scythas ex Taurica sociales imperator acri ac vehementi mandato roboratos instigat ut adorirentur eum et confestim interficerent. At illi invadebant unanimiter: cumque portas invenissent clausas, siquidem Constantinus intus adstabat, malo mediocri nimium malum sanans iste cedit, quamvis mente animoque esset fortis ac strenuus, et quantum poterat dictis ac factis sedare conabatur in Theoctistum irruentes, maiorem in modum obsecrans. Cum autem salutis spes Theoctisto in viribus auxiliatoris evanesceret, necessitate crescente, quandoquidem *Vis prope necessitatem habitat* et *Necessitatis est inexpugnabile robur* secundum oracula, recedit a portis: illique impetu facto in interiora penetrant, et quidam eo-

ὁ Θεόκτιστος ὑποκέκρυπται, καὶ ἐκεῖσε τὴν διὰ ξίφους τελευταίαν
B τομὴν αὐτῷ ἐγγαστρίζεται. ἐντεῦθεν εἰπεῖν τῷ Βάρδᾳ τὸν Μανουὴλ σιβυλλαίνοντα

"σπάθην γυμνώσας Βάρδα τοῖς ἀνακτόροις,
σαυτῷ γυμνώσεις εἰς τομὴν τοῦ σαρκίου."

Καὶ μετὰ βραχὺ τὰ κατὰ τὴν δέσποιναν ἐκταράττεται· διὸ σὺν ταῖς ἑαυτῆς θυγατράσι τῆς πρὸς τὸν υἱὸν ὁμοτιμίας ἐκπεπτωκυῖα τοῦ παλατίου ἐξοστρακίζεται καὶ τῇ τῶν Γαστρίων προσονομαζομένῃ μονῇ κατοικίζεται, καὶ τῷ μοναχικῷ μεταμείβονται σχήματι. ὅτε δὲ αὕτη προέγνω τὰ κατ' αὐτὴν συμβησόμενα, προσκαλεσαμένη τὴν σύγκλητον καὶ τὸ ἐν τῷ ταμείῳ χρῆμα κατεμφανίσασα τὸ τούτου ποσὸν διωρίζετο ͵α κεντηναρίων πρὸς
C τοῖς Ϟʹ διὰ χαράγματος τοῦ χρυσοῦ, ὡσαύτως καὶ ἀργυρίου ὡσεὶ κεντηναρίων τριῶν· ὧν τὸ μὲν κατὰ διαθήκας παρῆκεν ὁ ταύτης ἀνήρ, τὸ δὲ κατὰ προσθήκην, ὃ αὕτη συνέλεξεν. ἐπὶ τῇ καταβάσει δὲ δυσχεραίνουσα τῷ υἱῷ προσενείρει τὸ ἐξ ἀπαιδευσίας πολυανάλωτον, ἔτι δὲ καὶ ἐκ τούτου τὸν ἄφυκτον ὄλεθρον.

Αἱ δὲ αὐτοκρατορικαὶ ἡνίαι μόνῳ τῷ Μιχαὴλ προσανήρτηνται, καὶ ἐξ ἑτοίμου ὁ Βάρδας, οἷα πρὸς γένους τῷ βασιλεῖ ὤν, προσῳκείωτο, οὐχ ἧττον δὲ καὶ ἐκ τοιούτου τολμήματος. διὰ ταῦτα καὶ τὴν τοῦ Καίσαρος δόξαν προσπορίσασθαι ἑαυτῷ κατεφαίνετο εὔλογον, ἀλλὰ καὶ πρὸς τὴν αὐτοῦ ἀσφάλειαν προσ-

14. τριῶν] immo τρισχιλίων. 20. ἧττων L.

rum subit sellam sub qua Theoctistus occultabatur, ibique gladio supremum ictum ei in ventrem infert. Hinc dixisse fertur Manuel de Barda vaticinans

Nudatus abs te Barda in ipsa regia
Stringetur ensis in tuum corpusculum.

Ac paullo post turbatur status dominae: itaque deiecta honoribus quos pares habuerat cum filio, ex palatio cum filiabus removetur, atque in monasterio Gastria dicto collocatur et ad monasticum statum redigitur. Quae cum praesensisset ea quae sibi eventura essent, convocato senatu ac monstrata pecunia aerarii, magnitudinem eius indicavit, mille nonaginta centenaria signati auri, argenti item quasi ter mille centenaria; quae partim testamento reliquisset suus maritus, partim additamento accessissent, quantum ipsa collegisset. Cum autem aegre ferret abitum ex aula, filio praedicit profusionem propter inscitiam, atque insuper ex ea inevitabilem interitum.

Ceterum imperii habenae ad solum Michaelem redactae, facileque Bardas propter affinitatem cum imperatore familiariter conciliatus, nec minus propter eiusmodi facinus. Itaque et Caesaris dignitatem sibi acquirere consultum videbatur, et ad securitatem ac salutem propriam

ἐχέστερον, εἰ καὶ ταύτης διήμαρτεν· οὕτως γὰρ αὐτῷ Φιλόθεός τις τῶν αὐτοῦ λίαν γνωστὸς καὶ τὴν τοῦ πρωτοσπαθαρίου ὑπέχων τιμὴν ἐβεβούλευτο. ὁ δὲ Βάρδας τὴν Καίσαρος εὔκλειαν D εἰληφὼς πολλοῖς ἐθεδραστηρίωτο κατορθώμασιν, ὡς ἐντεῦθεν αὐτῷ τὰ τῆς Καισαρείας ἐπαύξοιτο κἀκεῖθεν ὥς φασι τῆς βασιλείας ἐπαναβήσοιτο.

Τῶν δὲ δυσσεβῶν Ἰσμαηλιτῶν ἐπηρεαζόντων Ῥωμαίους, ἐξηγουμένου αὐτῶν κατὰ Μελιτηνὴν τοῦ Ἄμερ, οὐκ ἐκλελύσθαι τοσοῦτον ὁ βασιλεὺς ἐβεβούλητο, ἀνδρικῆς ἐμπράκτου μεταποιούμενος καταστάσεως. διὸ καὶ εἰς τὰ Σαμόσατα πολεμικῶς προβιβάζεται, πόλιν Ἰσμαηλίτιδος. καθ᾽ ἣν προσεδρεύσας ἐπὶ ἡμέραις τρισὶ μέχρι τε τῆς κυρίας ἐλθὼν παρ᾽ αὐτῇ τὰ κατὰ λειτουργίαν Χριστιανῶν ἀνατίθησι, μετασχεῖν μέλλων τῆς ἀναιμάκτου πληρότητος. καὶ κατ᾽ αὐτήν γε τὴν ὥραν ἐξαίφνης τὰς E πύλας οἱ Ἀγαρηνοὶ ἀνεῴξαντες ἐξεληλύθεσαν, καὶ εὐχερῶς εἰς τροπὴν τὸν ἄνακτα διεκρούσαντο, καὶ τοσοῦτον ἀπήλασαν ὡς καὶ τὰς σκηνὰς αὐτοῦ καὶ πᾶν ἄλλο τι τῶν πρὸς χρείαν σκευῶν σφετερίσασθαι, τοῦ βασιλέως μόλις ἀνασωθέντος.

Εἶτα χρόνων δύο παριππευσάντων Ἄμερ σὺν μυριάσι τρι- V. 44 σὶν αὐθαδῶς ἐκστρατεύεται. καὶ Μιχαὴλ ἐν πρώτοις Θρᾷκας καὶ Μακεδόνας σὺν λοιποῖς θεμάτων στρατεύμασι μέχρι τετράδος δεκαδικῆς χιλιάδος συλλεξάμενος διεξῄει, καὶ καταλαβών τινα

8. καταμελιτινὴν L. 10. σαμώσατα L. 22. δεκατικῆς χιλιάδας L.

convenientius, etsi circa hanc falsus fuit. Sic enim Theophilus quidam, ex suis, admodum familiaris, protospatharii dignitate, ei consuluerat. Porro Bardas assumpta Caesaris dignitate multis rebus praeclare administrandis alacrem se praestabat, ut inde Caesarea dignitas cresceret atque hinc, ut aiunt, ad imperium grassaretur.

Ceterum impiis Ismaelitis impetentibus Romanos, duce Amere ex Melitena, haud segnis nec adeo remissus esse imperator voluit, virilis iam aetatis strenuitatem prae se ferens. Itaque Samosatam versus cum exercitu proficiscitur, urbem Ismaelitarum. Quam cum triduo iam obsideret, die dominica res divinas Christianorum celebrare instituit, communicaturus incruento complemento. Eadem autem hora repente Agareni portis patefactis erumpunt, facileque in fugam imperatorem compellunt, atque in tantum fugant ut et tentoria eius et reliquam omnem supellectilem abstulerint, ipso imperatore aegre elapso.

Postea post decursum duorum annorum Amer cum triginta millibus superbe egressus est. Atque Michael postquam Thracenses in primis ac Macedones cum reliquis thematum exercitibus usque ad quadraginta millia collegisset, obviam profectus est, occupatoque loco quodam cui no-

χῶρον ᾧ ἐπώνυμον Δαξιμών, ἐκεῖσε σκηνοῦται εἴς τι λιβάδιον
κατωνομασμένον Κελλάριον. ὁ δὲ Ἄμερ στρατηγικῶς παρεκβα-
τικώτερον διελθὼν τῆς ἀπαγούσης ὁδοῦ πρὸς τὴν Ζέλισαν, ἀπῄει
πρὸς τὸ Χωνάριον, ἐν τούτῳ τε πόλεμον πρὸς Ῥωμαίους ἀράμε-
νος, αὐτίκα πρὸς αὐτοῦ τροποῦται ὁ βασιλεὺς φυγαδείας ἐπιλα-
βόμενος μιλίων ἕως ἕξ. ἐντεῦθεν τοῦ δρόμου τῶν βασιλικῶν
B ἵππων ἀτονησάντων καὶ τοῦ συμφυγαδευομένου λαοῦ, καὶ μάλι-
στα διὰ τὸ παρεῖναι δυσφόρητον καύσετον ἐκ τῆς καιρικῆς διαθέ-
σεως, λυσιτελείας ἡγοῦνται σκοπὸν ἀναβεβηκέναι πρός τι ὄρος
πέτραις τραχέσιν ἀντίτυπον καὶ παρόδῳ δύσβατον, ὃ Ἀνζῆς κα-
τωνόμασται. τοῦτο δήπερ ὁ βασιλεὺς καταλαβὼν ἐναυλίζεται·
ὁ δὲ Ἄμερ γυρώσας αὐτὸν παρεντίθεται. καὶ διὰ τοῦτο μάχης
σφοδρᾶς ἐκ τοῦ σύνεγγυς ἀμφοτέρων συγκροτηθείσης, ἡ τῶν
ἐναντίων ἰσχὺς τῆς βασιλικῆς ἂν περιγέγονε σοβαρευομένη πανω-
λεθρίαν (τοσοῦτον γὰρ ἐκρατύνετο), εἰ μὴ ἔκ τε τοῦ τόπου καὶ
τῆς τῶν συμπαρόντων τῷ βασιλεῖ ἀνδρειόφρονος συλλογῆς, πολ-
C λῷ δὲ μᾶλλον ἐκ τῆς ἄνω συμμαχίας, ἀντέπιπτεν. ὅθεν οὗτος
συνεγνωκὼς τὴν ἀπειλουμένην ἀπώλειαν τῷ μαγίστρῳ Μανουὴλ
τὰ περὶ σωτηρίας κεκοινολόγητο, τοιαῦτα εἰπών. "τί δρῶμεν,
ὦ Μανουὴλ μάγιστρε; ἀπολλύμεθα γάρ." καὶ οὗτος ἀντέφη
αὐτῷ "τὰ μὲν φοινικίζοντα πέδιλα, δέσποτα, ἃ τὴν βασιλι-
κὴν περιφάνειαν δηλοῦσιν, ἀπαμφιάσθητι, μελαμβαφῆ δὲ περί-
βαλε, ὡσαύτως καὶ τὴν λοιπὴν βασιλικὴν πανοπλίαν. ἐγὼ δὲ

1. δόξυμον L. 19. fort. τί δρῶμεν, ὦ μάγιστρ'; ἀπολλύμεσθα γάρ. conf. Eurip. Med. 1238. 22. περίβαλλε L.

men Daximon, ibi castra ponit in quodam prato Cellarium dicto. Ceterum Amer astutia quadam bellica longius divertens ab ea quae Zelisam versus ducit via, Chonarium petit. Cumque inde proelium excitasset adversus Romanos, mox ab ipso in fugam vertitur imperator fugitque ad sex usque milliaria. Hinc cum in cursu equi multitudoque una fugiens deficerent, praecipue quod esset intolerabilis aestus propter diei tempus, utile consilium putant ascendere in montem quendam saxis asperum et accessu difficilem, cui Anzes nomen; quo occupato imperator ibi stabulatur: ceterum Amer locum cingens ipsum intercludit. Itaque acri pugna ex propinquo utrinque excitata, hostilis multitudo valida internecionem insolenter minitans imperatoriam superasset (adeo roborata erat), nisi ex loci opportunitate et virtute imperatoriae cohortis, aut multo magis ex caelesti auxilio, impedimentum obiectum fuisset. Proinde imperator intelligens internecionem intentari, cum magistro Manuele de salute communicat, sic dicens: "quid agimus Manuel magister? perimus enim." Atque hic ei respondit "puniceos calceos, domine, qui imperatorium splendorem significant, exue, ac nigros indue, pariterque reliquum imperatorium ornatum. Ego autem delectos viros quingentos stre-

λογάδας ἀνδρῶν φʹ γενναίους συλλάβοιμι· καὶ δι' αὐτῶν γε πρὸς ἓν μέρος τῶν πολεμίων χωρήσομεν καὶ ῥᾳδίως διελευσόμεθα." καὶ ὁ βασιλεὺς ἀντειρήκει "ὁ δὲ λαὸς ἐκ τούτου τί πείσεται;" καὶ ὁ Μανουὴλ ἀπεκρίνατο ὅτι "ἡ μὲν βασιλεία σου πάντως ἐξ ἀναγκαίου διασωθήτω, ὥστε μὴ κατασχεθῆναί σε τοῖς πολεμίοις· D τοῦτο γὰρ εἴγε συμβήσεται, ἐλεεινὸν ἔσται Χριστιανοῖς. περὶ δὲ τοῦ λαοῦ ὅπερ τὸ θεῖον κράτος κελεύσειεν εὐσεβῶς διακαρτερήσομεν." φʹ οὖν ἄνδρας γενναίους ἀφορίσας ὁ Μανουὴλ παρεγένετο εἴς τι μέρος Σαρακηνικοῦ τάγματος, καὶ "τὸ σωτῆρος νενίκηκεν" ἀνακεκραγὼς αὐτὸς μετὰ τῶν κατ' ἐκλογὴν αὐτῷ προσβαλὼν ἀνδρείως διέκοψε καὶ ἐξέθορεν· ὁ δὲ βασιλεὺς δειλίᾳ κατασχεθεὶς ὑπεστράφη. ὁ δὲ μάγιστρος βραχύ τι διαδραμὼν καὶ τὸν βασιλέα μὴ ἐκβεβηκότα πυθόμενος αὖθις ἀπῄει πρὸς ἕτερον μέρος, καὶ αὐτὸ διασχίσας εἰσέδυ ἔνθα ὁ ἄναξ διέτριβεν. βραδείας δὲ ὥρας γενομένης ἐπὶ ταῖς τοιαύταις παρεμβολαῖς καὶ πολλῶν ἐν ταύταις ἀναιρεθέντων Σαρακηνῶν, ἔτι δὲ καὶ διὰ τὸ σπανίζειν τὸν τόπον ὕδατος, ἀλλὰ μὴν καὶ νομῆς, ὑπεχώρησεν ὁ Ἄμερ μετὰ τοῦ ἰδίου στρατεύματος, καὶ παραγενόμενος εἴς τι V. 45 λιβάδιον ὅπερ Δῶρα κατονομάζεται, εὐθέως προσανεπαύσατο. ἀδείας οὖν ἐντεῦθεν ὁ ἄναξ λαβόμενος τὰς τῶν ἐχθρῶν μιαιφόνους χεῖρας διέδρασεν ὅλην ἡμέραν τῇ φυγῇ προστιθέμενος, καὶ τοιούτῳ τρόπῳ διεσέσωστο.

11. ἐξέθωρεν L. 13. πυθόμενος L. ibid. ἀπίει L.

nuos assumam, cumque iis ab una parte hostes aggrediar, facileque per eos transibimus." Cui imperator regerit "multitudine vero postea quid fiet?" Respondit Manuel "imperatoriam tuam maiestatem omnino oportet incolumem evadere, ne apud hostes detinearis: hoc enim si contingat, lamentabile erit Christianis. Quod ad multitudinem attinet, divini numinis voluntatem pie feremus." Quingentos itaque viros strenuos cum delegisset Manuel, accessit ad unam partem Saracenici exercitus, atque "Salvatoris signum vicit" exclamans ipse cum delecta manu facto impetu perrumpit atque exsilit: ceterum imperator metu impeditus reversus fuerat. Magister vero cum paullulum procurrisset atque imperatorem non exivisse audivisset, rursus abiit ad aliam partem, eamque perrumpens penetravit eo ubi imperator morabatur. Cumque longo tempore durarent eiusmodi incursiones multique Saracenorum in iis interficerentur, insuper et locus aquae laboraret penuria, nec minus pascuorum, recessit Amer cum suo exercitu, profectusque in locum quendam herbosum Dora dictum mox requievit. Securitatem igitur hinc nactus imperator ex cruentis hostium manibus effugit per totum diem fugae deditus, atque hoc modo salvus evasit.

Ἐτῶν δὲ δύο διαβεβηκότων πάλιν ὁ αὐτὸς Ἄμερ τοῖς Ῥωμαϊκοῖς ὁρίοις ἐφάλλεται, ἐπὶ μ' χιλιάσι μεγαλειούμενος, ἐξ ὧν τὸ τῶν Ἀρμενιακῶν θέμα παντάπασι διωλόθρευσε, παρεμβαθύνας μέχρι τῆς πρὸς θάλασσαν Ἀμινσοῦ. καὶ τὴν πολυάνθρωπον τεθεαμένος αἰχμαλωσίαν καὶ λαφυραγωγίαν πολλὴν ὧν γέγονεν ἐγκρατής, ὅλος καθέστηκεν ἐμμανής, τῇ θαλάσσῃ περισχεθεὶς B τῆς ἀπλήστου φορᾶς, καὶ τῷ ἰδίῳ λαῷ ὀξέως διενετείλατο κοπείσαις ῥάβδοις τύψαι τὴν θάλασσαν (καθὼς ὁ Ξέρξης κατὰ τὸ πρὸς Ἑλλήσποντον ζεῦγμα σιδηροῖς ταύτην ἐμάστιξεν), ἐπειπών "ἵνα τί αὐτὴν εὕρομεν ἐνθάδε; καὶ ἵνα τί μὴ περαιτέρω ληλατοῦντες τοὺς ἐγχωρίους προέβημεν;" περὶ δὲ τῆς πλείστης αἰχμαλωσίας πεπυσμένος ὁ βασιλεὺς δυσφορήτως εἶχε καὶ ἠνιᾶτο, καὶ τοῖς ὑποχειρίοις ἐντραπεζούμενος τοιαῦτα φησίν. "οἴμοι οἴμοι, οὐχ εὕρηταί τις ἀνθρώπων ὃς πρὸς τὴν βασιλείαν ἡμῶν καὶ πρὸς Χριστιανοὺς ἀγάπην εἰλικρινῆ διασώσειεν, ὡς ἐνθένδε C προθυμοποιηθεὶς ἀπέλθοι καὶ τῷ ἀσεβεῖ πολεμήσειεν Ἄμερ." οὕτως τοῦ βασιλέως διατεθέντος ἀνέστη Πετρωνᾶς ὁ Θεοδώρας καὶ Βάρδα αὐτάδελφος, καὶ πρὸς τὸν βασιλέα φησὶν ὅτι "ὑπηκόους μὲν πολλοὺς τῇ σῇ μεγαλοδόξῳ βασιλείᾳ δέδωκεν ὁ θεός, οἵτινες πλεῖστά σε στέργουσι, δέσποτα, προτεθύμηνται δὲ καὶ ὑπὲρ τῆς σῆς ἀγάπης τεθνάναι· πλὴν τοῖς πολέμοις ποτὲ μὲν εὐτυχίαι, ποτὲ δὲ δυστυχίαι συμβαίνουσιν· τὴν δὲ νίκην ἀνενδοίαστον οὐδεὶς ἀνθρώπων ἐπίσταται, εἰ μὴ μόνῳ αὕτη θεῷ

6. ὅλως L.

